## Commentaria in Isaiam

# ΘΕΟΔΩΡΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΗΣΑΙΑΝ

ΠΡΟΛΟΓΟΣ

Εἰ μὲν τὴν ἐμαυτοῦ πτωχείαν ἐλογιζόμην, παρ' ἑτέρων ἠρανιζόμην τροφήν· ἐπειδὴ δὲ καὶ πτωχοὺς οἶδα πολλοὺς ἀφ' ὧν ἔχουσι μεταδιδόντας καὶ τὸν δίκαιον κριτὴν ἐπαι νοῦντα τὴν γνώμην καὶ ταύτῃ μετροῦντα τὴν ἀμοιβήν, ἐπιχειρῶ κἀγὼ τῆς πτωχείας ὑπερβῆναι τοὺς ὅρους καὶ ὧν ἔλαβον ψιχίων μεταδοῦναι τοῖς ὁμοπίστοις. Μεμάθηκα γὰρ ὡς οὐ μόνον τῶν πέντε καὶ τῶν δύο ταλάντων τὴν ἐργασίαν ὁ δεσπότης τοὺς οἰκέτας εἰσέπραξεν, ἀλλὰ καὶ τὸν ἓν εἰληφότα μόνον εἰς μέσον ἤγαγε καὶ τὴν ἀργίαν εὑρὼν τιμωρίαν ἐσχάτην ἐπέθηκεν. Τοῦτό με διαφερόντως δεδίττεται, τοῦτο τὸ δέος ἐξελαύνει τῆς πενίας τὸ δέος καὶ κατατολμᾶν βιάζεται πράγματος τοῖς εὐπόροις ἁρμότ τοντος. Θαρρῶ δὲ καὶ τῇ τοῦ θεοῦ μου δυνάμει καὶ χάριτι· οὕτω μὲν γὰρ αὐτῷ ῥᾷστα πάντα καὶ λίαν ἐστὶν εὐπετῆ, ὡς καὶ ὄνῳ φωνὴν ἀνθρωπείαν πρὸς ὀλίγον χαρίσασθαι καὶ πέτραν ἄγονον πηγὴν ἡδίστων τε καὶ πλείστων ἀποφῆναι ναμάτων· οὕτω <δὲ> φιλότιμός ἐστι τῶν ἀγαθῶν χορηγός, ὡς μὴ μόνον τοῖς ἁγίοις παρασχεῖν τῆς προφητείας τὴν χάριν, ἀλλὰ καὶ γλώττῃ μαντικὴν ψευδολογίαν δεδιδαγμένῃ ἀληθῆ δοῦναι χρησμολογίαν καὶ πρόρρησιν τῶν μετὰ χρόνους ἐσομένων μακρούς. Τοῦτο τῆς φιλανθρωπίας τὸ πέλαγος ἐπιστάμενος ἀνοίγω τὸ στόμα καὶ τοὺς κρουνοὺς ἀναμένω. Μιμήσομαι δὲ καὶ τὴν χήραν ἐκείνην ἣ τὴν προφητικὴν εὐλογίαν τῷ ἐλαίῳ κομίσασα ἐκ τῆς βραχείας λιβάδος ὅσα συνήθροισεν ἀγγεῖα πεπλήρωκε καὶ τὸ χρέος ἐξέτισεν. Ἐμβαλῶ γὰρ κἀγὼ τῷ τῆς ψυχῆς ἀγγείῳ τὴν προφητικὴν εὐλογίαν καὶ ἀναβλύσειν πιστεύω τὴν ἑρμηνείαν· τὰ <αὐτὰ> γὰρ Ἐλισσαίῳ τῷ θεσπεσίῳ καὶ ὁ θειότατος Ἡσαΐας δρᾶσαι δυνήσεται. Τούτου γὰρ ἐπὶ τοῦ παρόντος ἑρμηνεῦσαι τὴν προφητείαν πειράσομαι· τῶν γὰρ ἄλλων προφητῶν σὺν θεῷ φάναι πλὴν Ἱερεμίου τοῦ θαυμασίου τὸν νοῦν ὡς ἐνῆν ἀνεπτύξαμεν, συντομίας ὅτι μάλιστα καὶ σαφηνείας πεφροντικότες. Μεταδώσει δὲ πάντως καὶ νῦν ἡμῖν ὁ φιλάνθρωπος φωτι ζούσης ἀκτῖνος καὶ τὰ κεκρυμμένα γυμνούσης. Οὕτως γὰρ τοῦ παναγίου πνεύματος εὑρόντες τὸν θησαυρὸν τοῖς φιλομαθέσι προθήσομεν. Πρὸ δὲ πάντων ἐροῦμεν τὴν τῆς προφητείας ὑπόθεσιν· οὕτω γὰρ εὐσύνοπτος ἡ κατὰ μέρος ἑρμηνεία γενήσεται.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΗΣΑΙΟΥ ΠΡΟΦΗΤΕΙΑΣ

Ἅπαντες οἱ θεσπέσιοι προφῆται οὐ μόνον τὰ τῷ Ἰσραὴλ συμβησόμενα ὑπηγόρευσαν, ἀλλὰ καὶ τῶν ἐθνῶν τὴν σωτηρίαν ἐθέσπισαν καὶ τὴν δεσποτικὴν προεμήνυσαν ἐπιφάνειαν· πάντων δὲ μάλιστα ὁ θειότατος Ἡσαΐας ταύτην ἐπιστεύθη τὴν πρόρρησιν. Σαφῶς γὰρ ἅπαντα προλέγει· καὶ τὴν ἐξ Ἀβραὰμ καὶ Δαυὶδ βλαστήσασαν εὐλογίαν καὶ τὴν ἐκ παρθένου γέννησιν τοῦ σωτῆρος καὶ τὰς παντοδαπὰς θαυματουργίας καὶ τῆς ἰάσεως τὰς πηγὰς καὶ τὴν Ἰουδαίων βασκανίαν καὶ λύτταν καὶ τὸ πάθος καὶ τὸν θάνατον καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον τῶν τε ἀποστόλων τὴν ἐκλογὴν καὶ τῶν ἐθνῶν ἁπάντων τὴν σωτηρίαν· προλέγει δὲ πρὸς τούτοις καὶ τὴν δευτέραν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, προαγορεύει καὶ τὴν Ἰουδαίων διασπο ρὰν καὶ τὴν παντελῆ τοῦ ναοῦ ἐρημίαν καὶ Ἀσσυρίων καὶ Ῥωμαίων τὰς κατ' αὐτῶν στρατείας, προλέγει καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον καὶ τὴν Βαβυλωνίων πανωλεθρίαν, προαγορεύει καὶ τῇ Αἰγύπτῳ τινὰ καὶ τῇ Τύρῳ καὶ τῇ Δαμασκῷ καὶ μέντοι καὶ Μωαβίταις καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀμμανίταις καὶ Ἰδουμαίοις καὶ ἕτερα πρὸς τούτοις πολλά· πρὸ πάντων μέντοι τὴν ἐσχάτην Ἰουδαίων πανωλεθρίαν ὀδύρεται ἣν ὑπέμειναν τῆς κατὰ τοῦ δεσπότου μανίας εἰσπραττόμενοι δίκας. Τῆς δὲ προφητικῆς συνθήκης τὰ μέν ἐστι σαφῆ καὶ γυμνὴν ἔχοντα τὴν διάνοιαν, τὰ δὲ τροπικῶς εἰρημένα καὶ ἑρμηνείας δεόμενα. Ἐγὼ τοίνυν πειράσομαι τὰ μὲν συντόμως εἰπεῖν τὰ δὲ διὰ πλειόνων διεξελθεῖν· πλὴν κἀν τούτοις φροντιῶ τῆς συντομίας εἰς δύναμιν.

1 ΤΟΜΟΣ Α΄

11Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς, ἣν εἶδε κατὰτῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίουκαὶ Ἰωαθὰμ καὶ Ἄχαζ καὶ Ἐζεκίου οἳ ἐβασίλευσαντῆς Ἰουδαίας. |96 b| Ὅρασιν καλεῖ τῶν μελλόντων τὴν πρόγνωσιν. Ὥσπερ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοὶ ὑγιῶς διακείμενοι τὰ προκείμενα ὁρῶσιν, οὕτω τὸ ὀπτικὸν τῆς διανοίας ὑπὸ τοῦ θείου φωτιζόμενον πνεύματος ὡς παρόντα βλέπει τὰ μὴ παρόντα. Λέγει τοίνυν ἑωρακέναι τινὰ σκυθρωπὰ κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ. Καλεῖ δὲ Ἱερουσαλὴμ μὲν τὴν μητρόπολιν, Ἰουδαίανδὲ τὰς ὑπ' αὐτὴν τελούσας πόλεις καὶ κώμας. Δηλοῖ καὶ τῆς προφητείας τὸν χρόνον τῇ μνήμῃ τῶν βασιλέων· ἤρξατο μὲν γὰρ ταύτης ἐπὶ Ὀζίου, μέχρι δὲ Ἐζεκίου διέμεινεν. 2Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν. Τούτους τοὺς μάρτυρας καὶ Μωυσῆς ὁ μέγας ἐκάλεσε προσταχθείς. Ἀκούσας γάρ· «Καταβὰς διαμάρτυραί μοι τὸν οὐρανὸν καὶ τὴν γῆν», οὕτω τῆς διαμαρτυρίας ἤρξατο· «Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.» Προστεθεικὼς δὲ καὶ ἕτερα τούτοις ἐπήγαγεν· «ὅτι ὄνομα κυρίου ἐκάλεσα». Διαμαρτύρεται δὲ τῷ λαῷ καὶ τὰς παντοδαπὰς ἀπειλεῖ τιμωρίας τὸν δεδομένον παραβαίνοντι νόμον. Καὶ μέντοι καὶ ὁ προφήτης Ἱερεμίας, μᾶλλον δὲ ὁ θεὸς διὰ τούτου, τῆς τοῦ λαοῦ πάλιν δυσσεβείας κατηγορήσας καὶ ταῦτα ἐπήγαγεν· «Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον ἡ γῆ, λέγει κύριος.» Τούτων ἀναμιμνήσκει τῶν λόγων μετὰ τὸ τέλος τῶν πραγμάτων διὰ τῆς τοῦ προφήτου γλώττης ὁ τῶν ὅλων θεός· Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν. Οὐ γὰρ ἄνθρωπός φησιν ὁ φθεγγόμενος ἀλλὰ δι' ἀνθρώπου θεός. Οὐρανὸν δὲ καὶ γῆν εἰς μαρτυρίαν οὐχ ὡς ἐμψύχους καλεῖ ἀλλ' ὡς πᾶσαν τὴν ὁρωμένην περι έχοντας κτίσιν καὶ ἐπὶ πλεῖστον διαρκοῦντας. Εὑρίσκομεν δὲ καὶ τὸν Ἰακὼβ καὶ τὸν Λάβαν σωρὸν λίθων πεποιηκότας καὶ μάρτυρα τοῦτον καλέσαντας· ἀλλὰ τοὺς μὲν λίθους μνήμης χάριν συνήγαγον, οὐ γὰρ ἔμψυχοι οἱ λίθοι, τὴν δὲ ἀληθῆ μαρτυρίαν ἐνεπίστευσαν τῷ τῶν ὅλων ἐφόρῳ. Οὕτω καὶ αὐτὸς τὰ μεγάλα ταῦτα στοιχεῖα εἰς μαρτυρίαν ἐκάλεσεν. Καὶ ἐβεβαίωσε τοῖς ἔργοις τοὺς λόγους· ἡνίκα γὰρ Ἰουδαῖοι προσήλωσαν τῷ σταυρῷ τὸν σωτῆρα, ἐκλονήθη μὲν ἡ γῆ τῆς μαρτυρίας ἀναμιμνήσκουσα, ὁ δὲ οὐρανός, ἐπειδὴ ταύτην τοῖς ἀνθρώποις παρέχειν τὴν αἴσθησιν οὐκ ἠδύνατο ἄνωθεν ὤν, τὸν ἐν αὐτῷ βαδίζοντα ἥλιον ἔδειξε τῶν ἀκτίνων ἐστερη μένον καὶ τὸ σκότος εἰς τὴν κατὰ τῆς ἀσεβείας μαρτυρίαν ἐπήγαγεν. Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Οὐ γὰρ μόνον αὐτοὺς εἰς τὸ εἶναι παρήγαγον, ἀλλὰ καὶ πάσης ἐπιμελείας ἠξίωσα καὶ περιβλέπτους διὰ τῆς παντοδαπῆς προμηθείας ἀπέφηνα· αὐτοὶ δὲ ἀχάριστοι περὶ τὸν εὐεργέτην ἐγένοντο. Εἰκότως δὲ τῆς ἀχαριστίας κατηγορῶν οὐρανὸν καὶ γῆν εἰς μέσον καλεῖ· διὰ τούτων γὰρ τὰς παντοδαπὰς εὐεργεσίας ἐτρύγησαν. Οὐρανὸς μὲν γὰρ αὐτοῖς ἄνωθεν ἐχορήγησε τὴν τοῦ μάννα τροφήν· «Ἐνετείλατο» γάρ φησι «νεφέλαις ὑπεράνωθεν καὶ θύρας οὐρανοῦ ἀνέῳξε καὶ ἔβρεξεν ἐπ' αὐτοὺς μάννα φαγεῖν καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.» Ἡ δὲ γῆ ἤνεγκε μὲν αὐτοῖς ἐν τῇ ἐρήμῳ τῶν ὑδάτων τὴν χρείαν, προσήνεγκε δὲ ἐν Παλαιστίνῃ τῶν παντοδαπῶν καρπῶν τὴν ἀφθονίαν. Μετέλαβον δὲ καὶ τοῦ τῆς υἱοθεσίας ἀξιώματος πρῶτοι· οὗ δὴ χάριν καὶ πρωτότοκον υἱὸν αὐτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσηγόρευσεν· «Υἱὸς» γάρ φησι «πρωτότοκός μου Ἰσραήλ.» Ἀλλ' ὅμως οὐδὲν αὐτοὺς ἔπεισε λαβεῖν εὐγνώμονα γνώμην. Διὸ δὴ καὶ τοῖς ἀλόγοις συγκρίνων αὐτοὺς ἀποφαίνει τούτων ἀλογωτέρους· 3Ἔγνω γάρ φησι βοῦς τὸν κτησά μενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. Λόγου γὰρ ἐστερη μένα ταῦτα καὶ νοῦ τὸν τροφέα γινώσκει καὶ τῆς ἐπιμελείας μεταλαγχάνοντα εὐγνωμόνως περὶ τὸν ταύτης διάκειται χορηγόν, καὶ οἶδε μὲν τὸν βοηλάτην ὁ βοῦς, εἴκει δὲ τῇ τούτου φωνῇ, τρέχει δὲ εἰς τὴν συνήθη φάτνην ὁ ὄνος· οὗτοι δὲ πηγὴν ἀγαθῶν ἐξαντλοῦντες οὐκ ἠθέλησαν ἐπιγνῶναι τῶνδε τῶν ναμάτων τὸν χορηγόν. Οὕτω καὶ διὰ Ἱερεμίου πτηνοῖς αὐτοὺς συγκρίνει καὶ τούτων ἀλογωτέρους ἀποφαίνει· «Τρυγὼν» γάρ φησι «καὶ τέττιξ καὶ χελιδὼν ἔγνωσαν καιροὺς εἰσόδου αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα κυρίου.» Ἐγὼ δὲ θαυμάζω τοῦ φιλανθρώπου δεσπότου τὴν ἀγαθότητα · οὐ γὰρ ἁπλῶς λαὸν ἀλλὰ μετὰ τῆς ἀντωνυμίας καλεῖ. Καὶ ὁ μὲν ἀχάριστος λαὸς οὐ λέγει· ὁ θεός μου, ὁ δὲ φιλ άνθρωπος θεὸς λέγει· ὁ λαός μου. Καὶ τὰ ἐπαγόμενα δὲ τὸν ἄρρητον αὐτοῦ δείκνυσιν ἔλεον· θρήνους γὰρ ὑφαίνει τοῖς σωθῆναι μὴ βουληθεῖσιν· τῶν δὲ φιλούντων ἀλλ' οὐ τῶν μισούντων οἱ θρῆνοι. 4Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἀνομίας ὤν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι· ἐγκατελίπετε τὸν κύριον καὶ παρωρ γίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. Τοῦτο δὲ σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· «Κατέλιπον τὸν κύριον, διέσυρον τὸν ἅγιον.» Οὐ γὰρ μόνον καταλιπόντες τὸν ποιητὴν τοῖς εἰδώλοις τὴν τοῦ θεοῦ θεραπείαν προσήνεγκαν, ἀλλὰ καὶ ἐνανθρωπήσαντα καὶ τὴν πάντων ἀνθρώπων πραγματευόμενον σωτηρίαν διέσυρον ἐπιτωθάζοντες καὶ ποτὲ μὲν πλάνον καὶ δαιμονῶντα ποτὲ δὲ Σαμαρίτην καλοῦντες, ποτὲ δὲ κωμῳδοῦντες ἔλεγον· «Οὐὰ |97 a| ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.» Σπέρμα δὲ αὐτοὺς πονηρὸν ὀνομάζει οὐ τοὺς προγόνους ὑβρίζων, ἀλλὰ τὴν τούτων πονηρίαν ἐλέγχων. Οὕτω καὶ ὁ βαπτιστὴς Ἰωάννης γεννήματα ἐχιδνῶν αὐτοὺς ἀπεκάλει, ὁ δὲ κύριος γενεὰν πονηρὰν καὶ μοιχαλίδα. Οὐδὲ γὰρ ἐφύλαξαν τὴν τῶν προγόνων εὐγένειαν. Εἶτα μιμεῖταί τινα κατά τινος χαλεπαίνοντα καὶ ποτὲ μὲν πρὸς ἐκεῖνον ποτὲ δὲ πρὸς ἑαυτὸν διαλεγόμενον καὶ ἐπάγει· Ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω. Τουτέστιν· ἐμὲ καταλιπόντες πρὸς τοὺς ἐναντίους ἐχώρησαν. Τοῦτο γὰρ καὶ ἀλλαχοῦ φησιν· «Ἔδωκαν ἐπ' ἐμὲ νῶτα καὶ οὐ πρόσωπα αὐτῶν.» 5Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην· 6ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία. Κεφαλὴν καλεῖ τοὺς βασιλέας καὶ ἄρχοντας, καρδίαν δὲ τοὺς ἱερέας καὶ διδα σκάλους. Ὅπερ γάρ ἐστι σώματι καρδία, τοῦτο ἱερεῖς καὶ διδάσκαλοι τῷ λαῷ· καὶ ὅπερ ἐστὶ κεφαλὴ σώματι, τοῦτο βασιλεῖς καὶ ἄρχοντες τοῖς ὑπηκόοις. Ὀλοφύρεται τοίνυν αὐτῶν τὴν ἀναλγησίαν· ποίαν γὰρ ἔτι φησὶν ἐπαγάγω τιμωρίαν; Πολλὰς ἐπήγαγον καὶ παντοδαπάς, καὶ μεμενή κατε νοσοῦντες ἀνίατα· τὴν γὰρ νόσον ὅλα τὰ μέλη περί κειται, καὶ κεφαλὴ καὶ καρδία καὶ πόδες· οὗ δὴ χάριν ἀπαγορεύω τὴν σωτηρίαν. Οὔτε γὰρ τραῦμα οὔτε μώλωψ οὔτε πληγὴ φλεγμαίνουσα, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους. Σαφέστερον δὲ ταῦτα ὁ Σύμμαχος τέθεικεν· «Οὐκ ἔστιν ἐν αὐτῷ ὑγιές, ἀλλὰ τραῦμα καὶ μώλωψ καὶ πληγὴ κρούματος οὔτε σφιγγομένη οὔτε ἁπαλυνομένη ἐλαίῳ.» Νικᾷ φησι τὴν τῶν φαρμάκων ἰσχὺν ἡ τῶν τραυμάτων ὑπερβολή. Καὶ ἐπειδὴ ἤρετο· Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίας; εἰκότως καταλέγει τὰ εἴδη τῆς τιμωρίας· 7Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. Τούτων ὑμῖν τῶν κακῶν ἐπήγαγον τὸν κατάλογον, καὶ καταμαθεῖν τὴν τούτων αἰτίαν οὐ βούλεσθε. Ταῦτα δὲ συνέβη μὲν αὐτοῖς καὶ ἡνίκα Ναβουχοδονόσορ αὐτοῖς ὁ τῶν Βαβυλωνίων ἐπεστράτευσε βασιλεύς· τὸν ἔσχατον δὲ αὐτοῖς ὄλεθρον μετὰ τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωτήριον σταυρὸν οἱ Ῥωμαίων ἐπήνεγκαν βασιλεῖς. Καὶ ὁρῶμεν μέχρι καὶ τήμερον ἀλλόφυλα ἔθνη καὶ τὰς πόλεις αὐτῶν οἰκοῦντα καὶ τὴν γῆν νεμόμενα. Ταῦτα περὶ τῆς Ἰουδαίας εἰπὼν προλέγει καὶ τὴν τῆς πόλεως ἐρημίαν· 8Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυ ηλάτῳ, ὡς πόλις πολιορκουμένη. Θυγατέρα Σιὼν τὴν Ἱερουσαλὴμ ὀνομάζει. Ὥσπερ γὰρ υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους καλεῖ καὶ υἱοὺς προφητῶν τοὺς προφήτας, οὕτω καὶ θυγατέρα Ἱερουσαλὴμ καὶ θυγατέρα Σιὼν τὴν αὐτὴν προσαγορεύει. Αὕτη ἤνθει μὲν πάλαι, ἡνίκα ὁ ἀμπελὼν τὸν ὥριμον εἶχε καρπόν· ἐκείνου δὲ τρυγηθέντος μεμένηκεν ἔρημος ὡς ἀμπελῶνος σκηνή. Καὶ γὰρ οἱ φυτουργοὶ περιφράττουσι μὲν αἱμασιαῖς καὶ φραγμοῖς τὰς ἀμπέλους, ὅταν βρίθωσι τῷ καρπῷ, καὶ σκηνὰς ὑψηλὰς πηγνύντες ἐν ἐκείναις κάθηνται φυλάττοντες τὸν καρπόν· ὅταν δὲ τοῦτον συλλέξωσι, καταλύουσι μὲν τὴν σκηνήν, ἀφύλακτον δὲ τὴν ἄμπελον καταλείπουσιν. Οὕτω καὶ τοῦ Ἰσραὴλ ὁ ἀμπελών, ἕως μὲν εἶχε τὴν ἐπηγγελμένην τοῖς ἔθνεσιν εὐλογίαν, πάσης ἐπιμελείας ἐτύγχανεν· ἐκείνης δὲ τρυγηθείσης καὶ τῶν εἰς ἐκείνην πεπιστευκότων ὑπ' αὐτῆς ἐκλεγέντων ἀπεστερήθη μὲν τοῦ φραγμοῦ, ἀπεστερήθη δὲ τοῦ ναοῦ, μεμένηκε δὲ ὁ περίβλεπτος οἶκος οἷον ὁρῶσιν οἱ αὐτόσε παραγινόμενοι. 9Καὶ εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Ὅτε τὰ Σόδομα καὶ τὰ Γόμορρα πυρὶ παρέδωκεν ὁ θεός, οὐδεὶς διεσώθη τῶν οἰκητόρων· μόνος δὲ Λὼτ οὐκ ἐκοινώνησε τῆς φθορᾶς, οὐδεμίαν ἔχων πρὸς ἐκείνους συγγέ νειαν. Ἐκ δὲ τοῦ Ἰσραὴλ πολλαὶ διεσώθησαν μυριάδες, ἡνίκα οἱ Ῥωμαίων στρατηγοί τε καὶ βασιλεῖς ἐπιστρα τεύσαντες καὶ τὰς πόλεις ἐνέπρησαν καὶ τῶν ἐνοικούντων τοὺς μὲν πλείστους κατηκόντισαν, τοὺς δὲ ὑπολειφθέντας ἐξηνδραπόδισαν. Προείρηκε γὰρ τοῖς ἱεροῖς ἀποστόλοις ὁ κύριος καὶ τοῖς δι' ἐκείνων πεπιστευκόσι τὰ συμβησόμενα καὶ παρηγγύησε φειδοῖ τὴν σωτηρίαν καρπώσασθαι· «Ὅταν» γάρ φησιν «ἴδητε κυκλουμένην ὑπὸ στρατο πέδων τὴν Ἱερουσαλήμ, γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς», καὶ πάλιν· «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβήτω |97 b| ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ.» Οἱ τοίνυν εἰς τὸν κύριον πεπιστευκότες διὰ τῆς πίστεως τῆς σωτηρίας ἀπέλαυσαν· καὶ τὸ σπέρμα ἐκεῖνο, δι' οὗ τοῖς ἔθνεσι τὴν εὐλογίαν ὁ θεὸς ἐπηγγείλατο, οὐκ εἴασε Σοδόμοις καὶ Γομόρροις παραπλησίως τῶν Ἰουδαίων ἐξαλειφθῆναι τὴν μνήμην. 10Ἀκούσατε λόγον κυρίου ἄρχοντες Σοδόμων, προσέχετε νόμον θεοῦ λαὸς Γομόρρας. Τὴν μὲν τιμωρίαν Σοδομίταις ἀντίρροπον οὐκ ἐδέξαντο, οὐ γὰρ εἴασε τὸ σπέρμα ἐκεῖνο, τὰς δὲ Σοδομιτῶν καὶ Γομορρηνῶν εἰκότως προσηγορίας λαμβάνουσιν. Ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπὶ τῇ ῥίζῃ τοῦ Ἀβραάμ, τὴν δὲ τοῦ Ἀβραὰμ οὐκ ἐζήλωσαν πίστιν, τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐνδίκως ἐκβάλλονται. Οὕτω καὶ ὁ θεσπέσιος Ἰωάννης ὁ βαπτιστὴς βοᾷ· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ· ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.» Καὶ τῷ προφήτῃ Ἰεζεκιὴλ ὁ θεὸς παρεγγυᾷ εἰπεῖν «τῇ Ἱερουσαλήμ· Τὸ σπέρμα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς Χαναάν· ὁ πατήρ σου Ἀμορραῖος καὶ ἡ μήτηρ σου Χετταία»· καὶ τὰ Σόδομα δὲ πάλιν ἀδελφὴν αὐτῆς ὀνομάζει. Ὧν γὰρ τὴν παρανομίαν ἐζήλωσαν, τούτων τὴν προσηγορίαν εἰσὶ δίκαιοι δέξασθαι. 11Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. Ἐντεῦθεν μανθάνομεν ἐναργῶς ὡς οὐ θυσίαις ἀρεσκόμενος ὁ θεὸς ταύτας αὐτοῖς προσφέρειν ἐνομοθέτησεν, ἀλλὰ τὴν ἀσθένειαν αὐτῶν ἐπιστάμενος. Ἐν Αἰγύπτῳ γὰρ τραφέντες καὶ θύειν εἰδώλοις μεμαθηκότες τῆς παιδείας ἐκείνης ἀπολαύειν ἐβούλοντο. Ἐκείνης τοίνυν αὐτοὺς ἀπαλλάξαι τῆς πλάνης βουληθεὶς ὁ θεὸς καὶ θυσιῶν καὶ μουσικῶν ὀργάνων ἠνείχετο, τὴν ἐκείνων ὑπερείδων ἀσθένειαν καὶ τὴν μειρακιώδη γνώμην ψυχαγωγῶν. Ἐνταῦθα μέντοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετὰ πολὺν ἐτῶν ἀριθμὸν ἅπασαν τὴν νομικὴν ἀπαγορεύει λατρείαν. Πλήρης γάρ εἰμί φησιν· Ὁλοκαυτώματα τῶν κριῶν καὶ στέαρ ἀρνῶν καὶ αἷμα τράγων οὐ βούλομαι, 12οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Διὰ δὲ τούτων ὁ προφήτης, μᾶλλον δὲ ὁ διὰ τούτου λαλήσας θεός, καὶ τὰς περὶ πλημμελείας καὶ τὰς περὶ ἁμαρτίας καὶ τὰς τῆς τελειώσεως θυσίας καὶ τὰς ὁλοκαρπώσεις ἐξέβαλεν. Τῶν μὲν γὰρ τὸ αἷμα καὶ τὸ στέαρ προσεφέρετο καὶ οἱ νεφροὶ καὶ τοῦ ἥπατος ὁ λοβός, τὰ δὲ τέλεια κατεκαίετο. Εἶτα σαφέστερον δείκνυσι τὸ τῶν θυσιῶν περιττόν· Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Δι' ὑμᾶς τούτων ἠνειχόμην, οὐκ αὐτὸς τούτων ἐδεόμην. Πατεῖν τὴν αὐλήν μου 13οὐ προσθήσεσθε. Κατα λύσαντες γὰρ Ῥωμαῖοι τὸν θεῖον ναὸν νόμῳ τοῦτον αὐτοῖς ἀπέφηναν ἄβατον. Ἐὰν προσφέρητε σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστιν. Εἴδη καὶ ταῦτα θυσιῶν. Καὶ ἀναγκαίως αὐτῶν ἐποιήσατο μνήμην διὰ τὴν τῶν Ἰουδαίων ἀναίδειαν, ὡς ἂν μὴ λέγοιεν· Τόδε μὲν οὐ βούλεται προσφέρειν ἡμᾶς, τῷδε δὲ θεραπεύεται. Οὕτως ἐν τοῖς μετὰ ταῦτα διὰ τοῦ προφήτου φησίν· «Οὐκ ἐμοὶ πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με, οὐκ ἐδούλευσάς μοι ἐν δώροις, οὐδὲ ἔγκοπόν σε ἐποίησα ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα, ἀλλ' ἐν ταῖς ἀνομίαις σου καὶ ἐν ταῖς ἀδικίαις σου προέστην σου.» Καὶ διὰ τοῦ θεσπεσίου Δαυίδ· «Οὐ δέξομαί» φησιν «ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ἐμὰ γάρ ἐστι πάντα τὰ Θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. Μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι;» Καὶ διδάσκων, τίσιν ἀρέσκεται· «Θῦσον τῷ θεῷ» φησι «θυσίαν αἰνέσεως», καί · «Θυσία αἰνέσεως δοξάσει με.» Καὶ αὐτὸς δὲ ὁ μακάριος Δαυίδ φησι πρὸς αὐτόν· «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας.» Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν 14καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ἰδοὺ καὶ τὰς πολυθρυλήτους |98 a| ἐξέβαλεν ἑορτάς· τὴν τοῦ πάσχα, τὴν τῶν ἑβδομάδων, τὴν τῶν σκηνῶν καὶ πρὸς τούτοις τὴν τῶν σαλπίγγων, τὴν τοῦ ἱλασμοῦ. Ἡμέραν γὰρ μεγάλην τὰς μεγάλας ἑορτὰς ὀνομάζει, νηστείαν δὲ τὴν τοῦ ἱλασμοῦ ἡμέραν. Καὶ καθολικῶς πᾶσαν ἑορτὴν καὶ πᾶν σάββατον μεμισηκέναι φησίν. Καὶ τὴν αἰτίαν διδάσκει· Ἐγενήθητέ μοι εἰς πλησ μονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Κόρον φησὶν ὑμῶν ἔλαβον καὶ παντελῶς ὑμᾶς ἀποστρέφομαι διὰ τὴν τῶν ἁμαρτημάτων ὑπερβολήν. 15Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Ταῦτα πάντα διεξελθών, καὶ τὴν τοῦ νόμου λύσιν καὶ τοῦ ναοῦ τὴν κατάλυσιν, ἐδίδαξε τὸ εἶδος τῆς ἁμαρτίας δι' ὃ ὑπέστησαν τὰς παντοδαπὰς τιμωρίας καὶ κατηγορεῖ αὐτῶν οὐκ εἰδώλων θεραπείαν οὐδὲ μοιχείαν καὶ πλεονεξίαν ἀλλὰ μιαιφονίαν· πάσης γὰρ δυσσεβείας καὶ παρανομίας χαλε πωτέρα ἡ κατὰ τοῦ κυρίου μανία. Αὐτῶν γάρ ἐστιν ἡ φωνή· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.» Τοῦτο τὸ αἷμα τῆς παλαιᾶς αὐτοὺς ἐστέρησεν εὐκληρίας, τοῦτο τὸ αἷμα μετοίκους τῆς οἰκουμένης ἀπέφηνεν. Ἀλλ' ὅμως φιλάνθρωπος ὢν ὑποδείκνυσιν αὐτοῖς σωτηρίας ὁδόν· 16Λούσασθε, καθαροὶ γένεσθε. Ἵνα μὴ νομίσωσιν αὐτὸν τὰ κατὰ νόμον ὑπαγορεύειν περιρραντήρια, προστέ θεικεν ἀναγκαίως· Ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. Καὶ τοὺς κεκρυμ μένους ὑμῶν ἐπίσταμαι λογισμούς, οὐδέν με λέληθε τῶν πονηρῶν ὑμῶν βουλευμάτων· τῷ λουτρῷ τοίνυν τῆς παλιγγενεσίας ἐκκαθάρατε τὰς ψυχάς. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. Πρὸς γὰρ τῷ τὰ πρότερα ἀπορρῖψαι δεῖ φυγεῖν τῶν ὁμοίων τὴν ἐργασίαν. 17Μάθετε καλὸν ποιεῖν. Οὐκ ἀρκεῖ γὰρ πρὸς τελείωσιν ἡ ἀποχὴ τοῦ κακοῦ, ἀλλὰ δεῖ προσθεῖναι τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κτῆσιν τῶν ἀγαθῶν· Ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν. 18Καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος. Ὡς ἂν δὲ μὴ δείσαιεν τοὺς ἐλέγχους ἀκούσαντες, τῶν ἀγαθῶν ἐπαγγέλλεται χορηγίαν· Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. Εἰσάγων φησὶν ὑμᾶς εἰς δικαστήριον οὐ δίκας εἰσπράξομαι τῶν τετολμημένων, ἀλλὰ τὴν μεταμέλειαν ὁρῶν μιμήσομαι τοὺς δευσοποιοὺς καὶ τῷ τοῦ παναγίου βαπτίσματος λουτρῷ ἀμείψω τοῦ αἵματος τὴν χροιὰν καὶ οὐκ ἐάσω ὑμᾶς φέρειν ἔλεγχον τῆς μιαιφονίας διηνεκῆ. Παράδοξος γὰρ ἡ ἐμὴ ἐπιστήμη· τῶν γὰρ δευσοποιῶν ῥοδοειδῆ καὶ κροκοειδῆ καὶ ἰοειδὴ καὶ ἁλουργὰ βαπτόντων ἐγὼ τὸ ἐρυθρὸν χιονοειδὲς ἀπεργάζομαι. Εἶτα καὶ τῶν παρόντων ἀγαθῶν τὴν ἀπόλαυσιν ὡς περὶ ταῦτα κεχηνόσιν ἐπαγγέλλεται δώσειν· 19Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Μὴ πειθομένοις δὲ ἀπειλεῖ· 20Ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Καὶ διδάσκων ὁ προφήτης ὡς οὐκ αὐτοῦ ταῦτα τὰ ῥήματα ἀλλὰ τοῦ τῶν ὅλων θεοῦ, ἐπήγαγεν· Τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Ταύτῃ τῇ φιλανθρωπίᾳ καὶ τῷ σταυρῷ προση λούμενος ὁ δεσπότης ἐχρήσατο· «Πάτερ» γὰρ ἔφη «ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν.» Μετὰ μέντοι τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν καὶ τὴν τοῦ θείου πνεύματος ἐπιφοίτησιν καὶ τὰ παράδοξα τῶν ἀποστόλων θαύματα τοὺς μὲν πεπι στευκότας τῆς σωτηρίας ἠξίωσεν· ἐκ τούτων γάρ εἰσιν οἱ τρισχίλιοι καὶ οἱ πεντακισχίλιοι οὓς τῶν πρώτων ἀποστόλων ἡ ξυνωρὶς ἐσαγήνευσεν, ἐκ τούτων αἱ πολλαὶ μυριάδες ἃς ὁ θεῖος Ἰάκωβος τῷ θεσπεσίῳ ὑπέδειξε Παύλῳ, ἐκ τούτων αὐτὸς ὁ μακάριος Παῦλος· θηρὸς γὰρ δίκην ἀγρίου διέσπα τοῦ κυρίου τὴν ποίμνην, ἀλλὰ τῆς θείας ἀξιωθεὶς κλήσεως πέπονθε μεθ' ἡδονῆς ἅπερ ἔδρα μεθ' ἡδονῆς. |98 b| Τούτους μὲν οὖν ὁ δεσπότης κατὰ τὴν ἰδίαν ὑπόσχεσιν τῆς σωτηρίας ἠξίωσε, τοὺς δὲ ἄλλους μαχαίρᾳ κατὰ τὴν προφητείαν παρέδωκεν. 21Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών, πλήρης κρίσεως; Ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί. Ἐπειδὴ εἶδεν ἀντιλέγοντας καὶ μὴ πειθομένους μηδὲ ἀνεχομένους λούσασθαι καὶ τὴν σωτηρίαν καρπώσασθαι, ὀλοφύρεται καὶ θρηνεῖ τὴν ἐπὶ τὸ χεῖρον μεταβολήν. Πιστὴ μὲν γὰρ ἦν, ἡνίκα Δαυὶδ μὲν αὐτὴν ὁ βασιλεὺς καὶ Ἰωσαφὰτ καὶ Ἐζεκίας καὶ Ἰωσίας εὐσεβῶς ᾠκονόμουν, πόρνη δὲ ἐγένετο καὶ ἀντὶ δικαίων φονευτὰς ἔσχεν οἰκήτορας, ἡνίκα τὸν νυμφίον παραγενόμενον οὐκ ἐδέξατο ἀλλὰ θηριωδῶς αὐτὸν ἀνελοῦσα ἐφοινίχθη τῷ αἵματι. 22Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. Οὐδὲ καπήλων οὐδὲ ἀργυραμοιβῶν ποιεῖται κατηγορίαν ἀλλ' ἱερέων καὶ διδασκάλων τὸν θεῖον νοθευόντων νόμον καὶ τὰ οἰκεῖα παραμιγνύντων δόγματα. Ταύτην γὰρ καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ κύριος αὐτοῖς τὴν κατηγορίαν ἐπήγαγεν· «Ἵνα τί παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν;» Ὥσπερ γὰρ ὁ τῷ χρυσῷ ἢ τῷ ἀργύρῳ ἑτέραν ὕλην παραμιγνὺς κίβδηλον τοῦτον ἐργάζεται καὶ ἀδόκιμον καὶ ὁ τὸν οἶνον ὕδατι κεραννὺς λυμαίνεται τῇ τοῦ οἴνου ποιότητι, οὕτως οἱ τῶν Ἰουδαίων διδάσκαλοι τὸν θεῖον νόμον διέφθειραν τοὺς οἰκείους αὐτῷ συντά ξαντες λογισμοὺς καὶ τὰς μυθώδεις δευτερώσεις συνάψαντες. 23Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ κρίσει χηρῶν οὐ προσέχοντες. Ἀναγκαία καὶ ἡ τούτων κατηγορία· οὐκ ἀρκεῖ γὰρ ἡ πίστις εἰς σωτηρίαν, ἀλλὰ χρεία καὶ τῆς πρακτικῆς ἀρετῆς. Τούτου δὴ χάριν ἐν τοῖς ἔμπροσθεν τῷ σωτηρίῳ κελεύσας βαπτίσματι προσελθεῖν καὶ τἆλλα τῆς ἀρετῆς αὐτοῖς ὑπηγόρευσεν εἴδη. Μετὰ μέντοι τὴν κατηγορίαν ἐπιφέρει τῆς τιμωρίας τὰς ἀπειλάς· 24Διὰ τοῦτο τάδε λέγει κύριος ὁ δεσπότης Σαβαώθ, ὁ δυνάστης τοῦ Ἰσραήλ· Οὐαὶ τοῖς ἰσχύουσιν ἐν Ἰσραήλ, οὐ παύσεται γὰρ ὁ θυμός μου ἐν τοῖς ὑπε ναντίοις μου, κρίσιν ποιήσω ἐκ τῶν ἐχθρῶν μου. Τὸ κύριος Σαβαὼθ ὁ μὲν Σύμμαχος καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θεοδοτίων «κύριος τῶν δυνάμεων» ἡρμήνευσαν, ὁ δὲ Ἀκύλας «κύριος στρατιῶν». Συνᾴδει δὲ ἡ διάνοια· καὶ γὰρ τοὺς στρατιωτικοὺς κατα λόγους δύναμιν ὀνομάζειν εἰώθαμεν. Ὁ δὲ τῶν οὐρανῶν βασιλεὺς στρατιὰν ἀκαταγώνιστον ἔχει τὰς ἀοράτους δυνά μεις. Τὸν δὲ αὐτὸν καὶ δυνάστην τοῦ Ἰσραὴλ ὀνομάζει ὡς διὰ τῶν παραδόξων θαυμάτων, ἃ ὑπὲρ τοῦ Ἰσραὴλ πεποίηκε, τὴν οἰκείαν δείξαντα δύναμιν. Ὑπεναντίους δὲ αὐτοὺς καλεῖ ὡς ἀντιτείνοντας ἀεί, ἐχθροὺς δὲ ὡς δυσμενεῖς ὄντας. 25Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ καὶ πάντας ὑπερηφάνους ταπεινώσω 26καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς. Πάλιν τῆς κρίσεως ἐμνημόνευσε καὶ ὑπέσχετο τοὺς μὲν ἀξίους πυρώσειν μέν, ἀλλ' οὐκ εἰς κατάκαυσιν, ἀρίστους δὲ καὶ δοκίμους ποιήσειν. Τοιαύτη γὰρ ἡ τοῦ βαπτίσματος χάρις· οὗ δὴ ἕνεκα καὶ ὁ θειότατος Ἰωάννης ὁ βαπτιστὴς ἐβόα λέγων· «Ἐγὼ μὲν ὑμᾶς ἐβάπτισα ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὔκ εἰμι ἱκανὸς τὸν ἱμάντα τῶν ὑποδημάτων λῦσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.» Καὶ τοῦ παναγίου πνεύματος κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς ἐπιφοιτήσαντος ἐγένοντο ἐν τοῖς ἀποστόλοις «διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός». Τούτου δὴ χάριν διὰ τοῦ πυρὸς τοῖς πιστεύουσιν ὑπισ χνεῖται τὴν κάθαρσιν, τοῖς δὲ δι' ἀλαζονείαν ἀντιλέγουσι ταπείνωσιν ἀπειλεῖ. .......... τ οὺς ἐκδεξαμένους τὸ κήρυγμα, οὓς τοῖς ἱεροῖς ἀπεικάζει προφήταις. Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ 27Σιών. Οὐ μέγεθος αὐτῇ καὶ οἰκοδομημάτων κάλλος καὶ οἰκητόρων ἐπαγγέλλεται πλῆθος ἀλλὰ δικαιο σύνην καὶ πίστιν· μήτηρ γάρ ἐστι τῶν πεπιστευκότων. Οὗ δὴ χάριν καὶ πρὸς αὐτὴν συντρέχουσιν ἅπαντες ἰδεῖν ποθοῦντες οὐ περιβόλων μέγεθος οὐδὲ πύργων ὕψος οὐδὲ κιόνων καὶ λίθων μαρμαρυγὰς ἀλλὰ τάφον δεσποτικὸν |99 a| καὶ σταυροῦ τύπον δεσποτικοῦ καὶ τὴν σμικρὰν ἐκείνην καὶ πολυθρύλητον φάτνην. Μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης· 28καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοί, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον συντελεσθήσονται. Ἐλέῳ γὰρ κεράσας τὸ δίκαιον τοῖς μὲν τὸν σταυρὸν τετολμηκόσιν εἶτα μεταμεληθεῖσι συνέγνω καὶ τὴν μεταμέλειαν δεξάμενος παρέσχε τὴν σωτηρίαν καὶ τοῖς τὰ δεινὰ ἐκεῖνα πεπονθόσι καὶ αἰχμαλώτοις γεγενημένοις οὐ συναπώλεσεν, ἐκείνους δὲ πανωλεθρίᾳ παρέδωκεν. 29Διότι νῦν αἰσχυνθήσονται ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν ἐφ' οἷς αὐτοὶ ἐποίησαν καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν ἐφ' οἷς αὐτοὶ ἐβουλεύσαντο καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν ἐφ' οἷς ἐπεθύμησαν. Εἰκότως καὶ ἐπὶ τοῦ παρόντος καὶ τούτων ἐποιήσατο μνήμην. Ἐπειδὴ γὰρ ὡς ὑπὲρ τοῦ νόμου ζηλοῦντες οὐκ ἐδέξαντο παραγενόμενον τὸν σωτῆρα Χριστόν, τῆς πολλῆς δυσσεβείας ἀναμιμνῄσκει ὅτι καὶ εἰδώλων τὴν πόλιν ἐνέπλησαν καὶ ἄλση τοῖς εἰδώλοις ἐφύτευσαν καὶ ἐν ἀγοραῖς καὶ ἐν οἰκίαις καὶ ἐπὶ τῶν δωμάτων τοῖς δαίμοσι θυσίας προσέφερον καὶ ταῦτα δρῶντες οὐκ ἐλογίζοντο τὴν τοῦ νόμου παράβασιν· ὅτε δὲ αὐτὸς ὁ νομοθέτης ἀφίκετο, τὴν εἰς αὐτὸν πίστιν παρανομίαν ὑπέ λαβον. Εἶτα πάλιν ἐπιφέρει τῆς ἐρημίας τὴν πρόρρησιν· 30Ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα αὐτῆς καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. Πάντα τὰ καρποφόρα δένδρα καταλιπὼν τερεβίνθῳ ἀπείκασε τὴν τῆς πόλεως ἐρημίαν καὶ τερεβίνθῳ τῶν φύλλων γεγυμνωμένῃ· φυτὸν δέ ἐστιν ἐν ξηροῖς τόποις φυόμενον, κλάδους ἔχον κατεσκληκότας. Ἀπείκασε δὲ αὐτοὺς καὶ παραδείσῳ ἀνύδρῳ· οὐκέτι γὰρ τῶν προφητικῶν ναμάτων ἀπολαύουσιν οὐδὲ τὴν ἄνωθεν φερομένην δέχονται δρόσον. 31Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππείου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες πυρός. Εὔπρηστος ἡ τοῦ στυππείου καλάμη. Εἰκότως τοίνυν τῇ μὲν καλάμῃ ταύτῃ παρέβαλεν αὐτῶν τὴν ἰσχύν, πυρὶ δὲ τὰ πονηρὰ αὐτῶν ἔργα· ἡ πονηρία γὰρ ἡμᾶς τῆς θείας προμηθείας γυμνοῖ καὶ καταναλίσκει τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεδομένην ἡμῖν ἰσχύν. Καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. Θεοῦ γὰρ κολάζοντος τίς ὁ ῥυόμενος; Οὕτω καὶ διὰ τοῦ μεγάλου Μωυσέως ἔφη· «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι· καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.» Ταῦτα τοίνυν εἰδότας δεδιέναι προσήκει καὶ φρίττειν· «φοβερὸν» γὰρ «τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος». Ὁ μέντοι προφήτης ἐνταῦθα τὴν πρώτην συνεπέρανεν ὅρασιν· ἡμεῖς δὲ τοὺς ἐντευξομέν ους τῇδε τῇ βίβλῳ  μικρὸν διαναπαύσωμεν, δόξαν ἀναπέμποντες τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2 ΤΟΜΟΣ Β΄

21Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶτῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ. Ἐν τῇ Ὀζίου βασιλείᾳ–ἐν ἐκείνῃ γὰρ τῆς προφητείας ἤρξατο–καὶ τούτους προσετάχθη διαπορθμεῦσαι τοὺς λόγους, οὐ κατὰ τὸν αὐτὸν μέντοι καιρόν· οὗ δὴ χάριν ἑτέρῳ πάλιν ἐχρήσατο προοιμίῳ. 2Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. Τὸ περιφανὲς καὶ περί βλεπτον τῆς εὐσεβείας προλέγει καὶ ὅτι σβεσθήσεται μὲν ἡ τῶν εἰδώλων θεραπεία, ὁ δὲ τοῦ θεοῦ οἶκος παρὰ πάντων τὸ προσῆκον δέξεται σέβας. Διὰ γὰρ τῶν ὀρέων καὶ τῶν βουνῶν οὐ τὸ ὕψος μόνον δηλοῖ ἀλλὰ καὶ τὴν ἐν τούτοις πάλαι κρατήσασαν πλάνην· ἐν γὰρ ταῖς ἀκρω ρείαις καὶ τοῖς ὑψηλοῖς λόφοις τεμένη τοῖς εἰδώλοις ἀνέστησαν καὶ ἄλση κατεφύτευσαν καὶ τὴν διὰ θυσιῶν αὐτοῖς προσέφερον θεραπείαν. Μετὰ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν ἐπιφάνειαν τὸ μὲν ἐκείνων διελήλεγκται ψεῦδος, |99 b| δέδεικται δὲ τῆς ἀληθείας τὸ κάλλος, καὶ ὁρῶμεν τῆς προφητείας τὸ τέλος. Ἐσχάτας δὲ ἡμέρας τὰς μετὰ τὴν δεσποτικὴν ἐπιφάνειαν λέγει. Οὕτω καὶ διὰ Ἰωὴλ τοῦ προφήτου φησίν· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»–τοῦτο δὲ κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς ἔλαβε πέρας–, καὶ ὁ θεῖος ἀπόστολος· «Πολυμερῶς καὶ πολυτρόπως» ἔφη «πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ.» Καὶ ἥξουσιν ἐπ' αὐτὸν πάντα τὰ ἔθνη, 3καὶ πορεύσονται λαοὶ πολλοὶ καὶ ἐροῦσιν· δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ταῦτα διπλῆν ἔχει τὴν ἑρμηνείαν, ἑκατέρας δὲ τὸ τέλος ὁρῶμεν· κἄντε γὰρ τὴν Ἱερουσαλὴμ νοήσωμεν ὄρος εἶναι τοῦ θεοῦ, ὁρῶμεν ἐκεῖσε τοὺς πεπιστευκότας ἐκτρέχοντας καὶ ἐξ ἁπάσης τῆς οἰκουμένης ἐκτρέχοντας καὶ ἀφικνουμένους τοὺς τὸ κήρυγμα δεξαμένους καὶ τὴν ἐκεῖθεν βλαστήσασαν εὐλογίαν ἁρπά σαντας· κἄντε τὰς πανταχοῦ γῆς καὶ θαλάττης ἐκκλησίας φῶμεν οἶκον θεοῦ–τῷ θείῳ Παύλῳ πειθόμενοι· «Οἶκος γὰρ αὐτοῦ» φησίν «ἐσμεν ἡμεῖς»–, καὶ οὕτως ἔστιν ἰδεῖν τὴν τῆς προφητείας ἀλήθειαν· περιφανὴς γὰρ ἡ τοῦ θεοῦ ἐκκλησία, καὶ τὴν πάλαι κρατήσασαν ἀσέβειαν τὰ ἔθνη καταλιμπάνοντα ταύτῃ πρόσεισι καὶ παρὰ ταύτης φωτίζεται. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ. 4Καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν καὶ ἐλέγξει λαὸν πολύν. Θαυμάζω τοὺς ἑτέρως νοεῖν τόδε τὸ χωρίον ἀνεχομένους καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οἰομένους διὰ τούτων προλέγεσθαι. Ποῖα γὰρ ἔθνη μετὰ τὴν δευτέραν τοῦ ναοῦ οἰκοδομίαν ἐκεῖσε ἔδραμεν; Ποῖος δὲ νόμος ἐκεῖσε ἐδόθη; Τὸν γὰρ παλαιὸν νόμον οὐκ ἐν τῇ Σιὼν ἀλλ' ἐν τῷ Σινὰ ὄρει δέδωκεν ὁ θεός. Εὔδηλον τοίνυν ὡς τὴν καινὴν αἰνίττεται διαθήκην, ἐκεῖ μὲν πρώτοις δοθεῖσαν τοῖς ἀποστόλοις, δι' ἐκείνων δὲ πᾶσι παρασχεθεῖσαν τοῖς ἔθνεσιν. Οὐ μόνον νόμον ἀλλὰ καὶ λόγον ἐκεῖθεν ἐξελεύσε σθαι προθεσπίζει· οὕτω δὲ τὸ εὐαγγελικὸν ὠνόμαζε κήρυγμα. Τοῦτο γὰρ καὶ ὁ μακάριος ἡμᾶς διδάσκει


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λουκᾶς· «ὡς παρέδοσαν ἡμῖν οἱ ἐξ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γενόμενοι». Λόγον γὰρ ἐνταῦθα οὐ τὸν θεὸν λόγον καλεῖ ἀλλὰ τὴν τοῦ θείου λόγου διδασκαλίαν· οὐ γὰρ ὁ θεὸς λόγος ἐκ Σιὼν ἐξελήλυθεν, ἀλλ' ἐν τῇ Σιὼν τὴν ἀλήθειαν ἐξεπαίδευσεν. Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. Οὐδὲ ταῦτα μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον γεγενημένα εὑρίσκομεν· πόλεμοι γὰρ ἐπάλληλοι ἦσαν κατὰ πᾶσαν τὴν οἰκουμένην, εἰς πολλὰ τῆς βασιλείας μεμερισμένης καὶ τῶν κατ' ἔθνος βασιλευόντων ἐπανισταμένων ἀλλήλοις. Τῇ δὲ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφανείᾳ συνήκμασεν ἡ τῶν Ῥωμαίων ἀρχή, αὕτη δὲ τὰς πολλὰς καταλύσασα βασιλείας τὸ κατὰ πάντων ἀνεδήσατο κράτος, ὑπ' ἐκείνην δὲ τὰ ἔθνη τελοῦντα οὐκέτι τοῖς πολεμικοῖς ὀργάνοις κέχρηνται κατ' ἀλλήλων, τῶν δὲ ἀπὸ γεωργίας ἅπαντες ἀπολαύουσιν ἀγαθῶν. Τοσαύτη δὲ πάλαι διάστασις ἦν, ὅτι καὶ ὁ Ἰσραὴλ διχῇ διῃρημένος ἦν καὶ ἑαυτὸν κατανήλισκεν καὶ ἐν μιᾷ γωνίᾳ τῆς οἰκουμένης, μᾶλλον δὲ ἐν ἐπαρχίᾳ μιᾷ–τῇ Παλαιστίνῃ φημί– Ἀλλόφυλοι καὶ Μωαβῖται καὶ Ἀμμανῖται καὶ Ἰδουμαῖοι καὶ Ἀμαληκῖται κατ'ἀλλήλων ἐστράτευον. Ἀλλὰ ταῦτα |100 a| πάντα ἡ τοῦ σωτῆρος ἡμῶν ἔσβεσεν ἐνανθρώπησις. Κατ' αὐτὴν γὰρ τὴν ςωτήριον τῆς παρθένου γέννησιν ἔπεμψέ φησιν Αὔγουστος «ἀπογράψασθαι πᾶσαν τὴν οἰκουμένην». Ἐντεῦθεν ἀρχὴν ἔλαβεν ἡ εἰς εἰρήνην τῶν πολέμων μεταβολή, καὶ τὸ κήρυγμα ἔτρεχεν ἀκωλύτως τῶν κατ' ἔθνος ἐσβεσμένων πολέμων, καὶ τῶν ἐθνῶν ἁπάντων ὑπὸ μίαν ἐξουσίαν τελούντων ἀδεῶς οἱ κήρυκες τῆς ἀληθείας διέβαινον τὰ σωτήρια διαπορθμεύοντες δόγματα. Οὕτω ταῦτα προθεσπίσαι κελευσθεὶς ὁ προφήτης τῷ λαῷ παραινεῖ τῷ καλουμένῳ Ἰακὼβ τὸ φῶς τῆς ἀληθείας εἰσδέξασθαι, λέγει δὲ οὕτω· 5Καὶ νῦν, σὺ οἶκος τοῦ Ἰακώβ, δεῦτε καὶ πορευθῶμεν τῷ φωτὶ κυρίου· 6ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰσραήλ. Οἶκον Ἰακὼβ τοὺς ἐξ Ἰακὼβ ὀνομάζει. Τούτων δὲ οἱ μὲν πιστεῦσαι θελήσαντες προσελήφθησαν, οἱ δὲ ἀπιστήσαντες ἀπερρίφησαν. Προτρέ πει τοίνυν ὁ προφητικὸς λόγος μηκέτι προσεδρεύειν τῷ λυχνιαίῳ φωτὶ τοῦ νόμου, ἀλλὰ τῷ ἀληθινῷ τὰς ψυχὰς καταυγάζειν· οὐκέτι γὰρ τῆς προτέρας ἐπιμελείας οἱ ἀντιλέγοντες ἀπολαύσονται. Εἶτα δείκνυσιν, ὡς οὐκ ἐννόμως ἀλλὰ καὶ λίαν παρανόμως πολιτευόμενοι τὴν ὑπὲρ τοῦ νόμου δῆθεν σπουδὴν ἐπεδεί κνυντο καὶ τὴν καινὴν οὐκ ἐδέχοντο διαθήκην, καὶ διδάσκει τὰ ὑπ' αὐτῶν τολμώμενα· Ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν ὡς ἡ τῶν Ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. Ἀμφότερα ὁ νόμος ἐναργῶς ἀπηγόρευσε, καὶ τὸ ἀλλοφύλοις ἐπιμίγνυσθαι καὶ τὰς πρὸς ἐκείνους ἐπιγαμίας ποιεῖσθαι καὶ τὸ κληδόσι κεχρῆσθαι· ἀμφότερα δὲ οὗτοι παρέβησαν. 7Ἐνεπλήσθη ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. Καὶ ἵπποις θαρρεῖν καὶ τῇ τοῦ πλούτου δυνάμει ὁ θεῖος ἀπηγόρευσε νόμος· «οὐ ποιήσεις» γάρ φησι «σεαυτῷ ἅρματα οὐδὲ πληθυνεῖς ἵππους.» Ταῦτα δὲ ἀπηγόρευσεν, ἵνα μὴ τῇ οἰκείᾳ δυνάμει θαρρῶσιν ἀλλὰ τὴν θείαν ῥοπὴν ἀναμέ νωσιν. Οὕτω καὶ ὁ μακάριος Δαυὶδ βοᾷ· «Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ», καὶ πάλιν· «Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς», καὶ αὖθις· «Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με.» 8Καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. Ἀποχρώντως αὐτῶν τὴν ἄνοιαν ἐκωμῴδησε τῆς ἀσεβείας κατηγορῶν· ἃ γὰρ ταῖς χερσὶ καὶ τοῖς δακτύλοις εἰργά ζοντο, ταῦτα θεοὺς ἐπωνόμαζον καὶ τὸ θεῖον αὐτοῖς προσέ φερον σέβας. Εἶτα πάλιν αὐτῶν ὀλοφύρεται τὴν τῆς ἀξίας μεταβολήν· 9Καὶ ἔκυψεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄνθρωπος καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς. Ὁ γὰρ κατ' εἰκόνα θείαν γεγενημένος καὶ τῶν ἐν τῇ γῇ πάντων τὴν ἐξουσίαν λαχὼν ἐξ ἀβουλίας τῆς βασιλείας ἐξέπεσεν· καὶ δέον αὐτὸν ἔχειν τὸ γέρας, αὐτὸς τοῖς χειροποιήτοις ἀπονέμει τὸ σέβας κύπτων καὶ προσκυνῶν καὶ τῇ τῶν δαιμόνων δεσποτείᾳ προστρέχων. Ἐγὼ δέ φησι ταῦτα οὐ παρόψομαι, ἀλλὰ δίκας αὐτοὺς τῆς ἀσεβείας εἰσπράξομαι. Τίνες δὲ αὗται, |100 b| διὰ τῶν ἐπαγομένων διδάσκει· 10Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Διὰ δὲ τούτων τὸν Ῥωμαϊκὸν πόλεμον προθεσπίζει· ἐκείνης γὰρ τῆς στρατιᾶς ἐπελθούσης, εἰς τὰ ὄρη καὶ τὰς ἐν τούτοις οἱ πλεῖστοι κατεκρύπτοντο καταδύσεις. 11Οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός· καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Οἱ γὰρ ἐπιτωθάζοντές φησι τῷ σωτῆρι παραγενομένῳ καὶ ἀλαζονικῶς αὐτῷ προσδιαλεγόμενοι τῇ πείρᾳ μαθήσονται τῆς φύσεως τὸ διάφορον καὶ ὅτι ὁ μέν ἐστιν ὕψιστος ὡς θεός, αὐτοὶ δὲ «γῆ καὶ σποδὸς» κατὰ τὴν θείαν γραφήν. 12Ἡμέρα γάρ φησι κυρίου Σαβαὼθ παραγίνεται ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται, 13καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασὰν 14καὶ ἐπὶ πᾶν ὄρος ὑψηλὸν καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν 15καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν καὶ ἐπὶ πάντα πύργον ὑψηλὸν 16καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης καὶ ἐπὶ πᾶσαν θέαν κάλλους πλοίων· 17καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων. Καὶ ὑψω θήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ὅταν ἐπελθόντες πολέμιοι περιγένωνται, οὐ μόνον τοὺς ἄνδρας ἀναιροῦσιν ἀλλὰ καὶ τὴν γῆν δῃοῦσι καὶ τὰ δένδρα ἐκτέμνουσι καὶ τοῖς περιβόλοις προσφέρουσι μηχανήματα καὶ θαλαττοκρά τορες γινόμενοι τὰς ἐμπορίας κωλύουσιν. Ταῦτα δὲ πάντα κατὰ ταὐτὸν Ἰουδαίοις συνέβη τῆς Ῥωμαϊκῆς αὐτοῖς στρατιᾶς ἐπελθούσης. Εἰ δὲ καὶ τροπικῶς τις νοεῖν βούλεται δρῦς μὲν τοὺς ἐπὶ ῥώμῃ σώματος μέγα φρονοῦντας, κέδρους δὲ τοὺς ἐπὶ δυναστείᾳ εὐθηνουμένους, πλοῖα δὲ τοὺς ὀξεῖς τὴν διάνοιαν καὶ τἆλλα τούτοις παραπλησίως, εὑρήσει καὶ οὕτως τὴν τῆς προφητείας ἀλήθειαν. Οὐδὲν γὰρ ὤνησεν Ἰουδαίους ἐν τῷ τοῦ πολέμου καιρῷ οὔτε στρατηγὸς ἄριστος οὔτε σοφὸς σύμβουλος, οὐχ οἱ τῷ πλούτῳ κομῶντες, οὐχ οἱ γαυριῶντες ἐπὶ τῇ δυνάμει· ἀλλὰ πάντα κατὰ ταὐτὸν ἐξηλέγχθη, καὶ μόνου τοῦ θεοῦ τῶν ὅλων ἐδείχθη τὸ κράτος. Ἡνίκα μὲν γὰρ αὐτῶν ἐκήδετο, πάντων ῥᾳδίως περιεγί νοντο· ὅτε δὲ αὐτοὺς τῆς οἰκείας προμηθείας ἐγύμνωσεν, εὐχείρωτοι πᾶσιν ἐγένοντο. 18Καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν 19εἰσενέγ καντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Καὶ τῇσδε τῆς προφητείας ἐθεασάμεθα τὴν ἀλήθειαν· πλεῖστοι γὰρ τῇ πλάνῃ δουλεύοντες τῆς εὐσεβείας τὸ κράτος θεώμενοι κατέκρυψαν μὲν ἐν σπηλαίοις τισὶ καὶ ἄντροις τοὺς ὑπ' αὐτῶν προσκυνουμένους θεούς, ἐφωράθησαν δὲ καὶ τὴν αἰσχύνην ἐδρέψαντο, καὶ τὰ τούτων εἴδωλα τῆς εὐσεβείας οἱ τρόφιμοι παρέδοσαν τῷ πυρί. <20Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν ἑαυτοῖς εἰς τὸ προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, 21τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας καὶ εἰς τὰ σχίσματα τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.> Ταὐτὰ διαφόρως εἴρηκεν. Πέρατος μὲν ταῦτα τετύχηκε μετὰ τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, μάρτυρες δὲ τούτων ἡμεῖς αὐτόπται γενόμενοι. Θρηνῆσαι δὲ ἄξιον τὴν τῆς πλάνης ὑπερβολήν, ὅτι καὶ τῶν εὐτελῶν |101 a| νυκτερίδων εἰκόνας ἄνθρωποι τεκτηνάμενοι θεοὺς τὰς εἰκόνας ὠνόμαζον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πρόσφορος δὲ τοῖς τυφλώττουσιν ἡ τούτων θεοποιία· καὶ γὰρ ἐκεῖναι τὸ φῶς δραπετεύουσαι καταφεύγουσιν εἰς τὸ σκότος, καὶ οὗτοι ὁμοίως τὸ νοερὸν ἰδεῖν οὐ βουλόμενοι φῶς ἠσπάζοντο τῆς ἀγνοίας τὸν ζόφον. 22Παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, ὡς ἔστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς οὕτως; Ταῦτα μετὰ ἀστερίσκων προσκείμενα εὕρομεν. Παρακε λεύεται δὲ ὁ προφητικὸς λόγος μὴ μόνον τῶν εἰδώλων φυγεῖν τὴν προσκύνησιν ἀλλὰ καὶ αὐτὴν τῶν ἀνθρώπων γνωρίζειν τὴν φύσιν καὶ τῇ τούτων μὴ θαρρεῖν προστασίᾳ. Τὴν γὰρ ζωήν φησιν ἐν ταῖς ἀναπνοαῖς ἔχουσιν· κἂν ταύτας ἀποφράξῃς, ἀποστερήσεις αὐτοὺς τῆς ζωῆς. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ Δαυὶδ εἰρημένα· «Μὴ πεποίθατε ἐπ' ἄνθρωπον, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία· ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.» 31Ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰούδα καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, 2γίγαντα καὶ ἰςχύοντα καὶ ἄρχοντα πολεμιστὴν καὶ δικαστὴν καὶ προφήτην καὶ στοχαστὴν καὶ πρεσβύτερον 3καὶ πεντηκόνταρχον καὶ θαυμαστὸν σύμβουλον καὶ σοφὸν ἀρχιτέκτονα καὶ συνετὸν ἀκροατήν· 4καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. Καὶ ταῦτα κατὰ τὴν Ῥωμαϊ κὴν αὐτοῖς συνέβη πολιορκίαν. Ὅτε μὲν γὰρ ὁ Σεναχηρὶμ αὐτοῖς ἐπεστράτευσεν, εἶχον τὸν Ἐζεκίαν εὐσεβῆ βασιλέα καὶ τὸν Ἡσαΐαν ἐπισημότατον προφήτην καὶ τοὺς ἄρχοντας εὐσεβείᾳ κοσμουμένους· οὐδὲ γὰρ τὰ ῥήματα τῆς βλασφημίας ἤνεγκαν ἀπαθῶς, ἀλλὰ τὴν ἐσθῆτα διέρρηξαν. Καὶ ἡνίκα δὲ Ναβουχοδονόσορ αὐτοὺς πολιορκήσας ἐξηνδραπόδισεν, εἶχον μὲν τὸν θαυμασιώτατον Ἱερεμίαν τὸν προφήτην, εἶχον δὲ τὸν μακάριον Ἰεζεκιὴλ καὶ πρὸς τούτοις τὸν θειότατον Δανιήλ, καὶ Οὐρίας δὲ ὁ Σαμαίου κατὰ τὸν αὐτὸν ἦν χρόνον. Ἡνίκα δὲ αὐτοὺς οἱ Ῥωμαίων κατεπολέμησαν βασιλεῖς, οὔτε βασιλεῖς εἶχον οὔτε στρατηγοὺς εὖ καὶ καλῶς τὴν στρατιὰν διατάττοντας οὔτε συμβούλους ἀγχινοίᾳ κοσμουμένους, ἀλλὰ τοὺς τῆς στάσεως ἀρχηγούς, δυσσεβεῖς ἄνδρας καὶ μιαιφόνους· καὶ ταῦτα σαφῶς Ἰώσηπος ἱστορεῖ. Τούτους νεανίσκους καλεῖ καὶ ἐμπαίκτας ἐπονομάζει ὡς νεωτεροποιίαις μὲν χαίροντας, καταπαίζον τας δὲ τῶν ὑπηκόων. Τὸ δὲ ἐπιστήσω κατὰ τὸ τῆς γραφῆς ἰδίωμα πρόκειται· ἔθος γὰρ τῇ θείᾳ γραφῇ τὴν τοῦ θεοῦ συγχώρησιν ὡς ἐνέργειαν ὀνομάζειν· δῆλον δὲ ὡς οὐκ αὐτὸς τούτους κεχειροτόνηκεν, ἀλλὰ κωλῦσαι δυνάμενος διαστασιάζειν αὐτοὺς συνεχώρησεν. Τὸν μέντοι γίγαντα ὁ Σύμμαχος μὲν καὶ ὁ Ἀκύλας «ἀνδρεῖον», ὁ δὲ Θεοδοτίων «ἰσχύοντα» ἡρμήνευσαν· τὸν δὲ στοχαστὴν «μάντιν» οἱ Τρεῖς συμφώνως. Εἶτα σαφέστερον ἐξηγεῖται τὴν στάσιν· 5Καὶ συμ πεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ· προσκόψει τὸ παιδάριον |101 b| πρὸς τὸν πρεσβύτερον καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντι μον. Οὔτε γὰρ πολιὰ ἦν ἐκείνοις αἰδέσιμος, οὔτε γένους ἢ πλούτου περιφάνεια ἐδόκει τινὸς εἶναι ἀξία τιμῆς, ἀλλὰ καὶ οἱ εὐτελεῖς ἐπανίσταντο τοῖς δυνατοῖς, καὶ οἱ νέοι τοὺς πρεσβυτέρους ἐγέλων. 6Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Τοσαύτη φησὶν ἔσται σπάνις ἀρχόντων καὶ τοσαύτη αὐτῶν ἀταξία κρατήσει, ὡς καὶ τοῖς τυχοῦσι τὴν ἀρχὴν ἐπιτρέπειν. Οὕτω δὲ φευκτὴν ἅπαντες τὴν ἀρχὴν νομίσουσιν, ὡς τὸν ἄρχειν παρακαλούμενον εἰπεῖν· 7Οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου· οὐ γὰρ ἔστιν ἐν τῷ οἴκῳ μου ἄρτος οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγός. Καὶ τὴν αἰτίαν τούτων δεικνὺς ἐπήγαγεν· 8Ὅτι ἀνεῖται Ἱερουσαλήμ. Ἀντὶ τοῦ· ἐγκαταλέλειπται καὶ τῆς ἄνωθεν προνοίας οὐκ ἀπολαύει. Καὶ ἡ Ἰουδαία συμπέπτωκε, πρὸς ἑαυτὴν στασιάζουσα. Καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς τὸν κύριον ἀπειθοῦντες. Ταῦτα δὲ αὐτοῖς συνέβη διὰ τὰς βλασφήμους αὐτῶν φωνάς, αἷς κατὰ τοῦ σωτῆρος ἐχρήσαντο ταῖς θείαις αὐτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διδασκαλίαις προφανῶς ἀντι λέγοντες. Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, 9καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. Πάλιν αὐτοὺς τῆς συγγενείας ἀναμιμνῄσκει τῶν τρόπων. Καὶ γὰρ ἐν τοῖς προοιμίοις ἄρχοντας αὐτοὺς Σοδόμων καὶ λαὸν Γομόρρας ὠνόμασεν· ἐνταῦθα δὲ τῇ ἐκείνων ἀνομίᾳ τὴν παρανομίαν αὐτῶν παρατίθησιν, οὐκ ἐπειδὴ τὰ αὐτὰ ἐκείνοις δεδράκασιν ἀλλ' ὅτι, καθάπερ ἐκείνων κεκήρυκται πανταχοῦ γῆς καὶ θαλάττης καὶ τῆς ἀκολασίας καὶ τῆς τιμωρίας τὸ δρᾶμα, οὕτως καὶ ἡ τούτων ἀσέβεια πᾶσιν ἀνθρώποις ἐγένετο φανερά. Τίς δὲ αὕτη, σαφέστερον διδάσκει· Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, 10εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Ταῦτα ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔστιν εὑρεῖν ὑπὸ Ἰουδαίων εἰρημένα. Ὁ μὲν γὰρ Καϊάφας ἔφη τοῖς ὁμοτρόποις· «Ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ λογίζεσθε ὅτι συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.» «Οἱ δὲ Φαρισαῖοι πάλιν συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν.» Καὶ ἄλλα πολλὰ τοιαῦτα εὕροι τις ἂν τῶν θείων εὐαγγελίων ἀναγινώσκων τὴν ἱστορίαν. Τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν φάγονται. Ἐοίκασι γὰρ τοῖς σπέρμασιν οἱ καρποί· καὶ ὁ μὲν πυροὺς σπείρων θερίζει πυρούς, ὁ δὲ ἀκάνθας ταύτας ἕξει καρπόν. 11Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα αὐτοῦ. Τὰ εἰρημένα σαφέστερον εἴρηκε καὶ καθόλου τὴν ψῆφον ἐξήνεγκεν· πᾶς γάρ φησι πονηρίᾳ χρώμενος κατάλ ληλα τὰ ἐπίχειρα δρέψεται. Τοσαῦτα αὐτοῖς ἀπειλήσας δεινὰ τὴν οἰκείαν πάλιν |102 a| ἀγαθότητα δείκνυσι καὶ τῷ τῆς οἰκειότητος ὀνόματι δείκνυσιν · 12Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύσουσιν ὑμῶν. Ἐνταῦθα δοκεῖ μοι κατηγορεῖν μὲν τῶν ἱερέων καὶ διδασκάλων, τὸν δὲ λαὸν διδάσκειν, ὡς οὐ διὰ τὴν τῶν ψυχῶν ἐπιμέλειαν ἀποτρέπουσιν αὐτοὺς προσέχειν τῷ θείῳ κηρύγματι ἀλλὰ διὰ τὰς προσφερομένας αὐτοῖς ἀπαρχὰς καὶ δεκάτας ἃς ἀνάγκην ἐπιτιθέντες εἰσέπραττον. Λαός μου, οἱ μακαρίζον τες ὑμᾶς πλανῶσιν ὑμᾶς καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράττουσιν. Τῇ γὰρ τοῦ νόμου φυλακῇ παραινοῦντες προσμένειν καὶ τοὺς τοῦτο ποιοῦντας μακαρίους καλοῦντες οὐκ εἴων προστρέχειν τῷ σωτηρίῳ κηρύγματι. Καὶ καθόλου δὲ ὁ ἔπαινος οὐκ εἰς καιρὸν γινόμενος βλάβην ἐπιφέρει τοῖς δεχομένοις· ταῖς γὰρ εὐφημίαις θαρροῦντες καὶ τὸ πᾶν κατωρθωκέναι νομίζοντες οὐχ ὁμοίως εἰς τὸ τῆς ἀρετῆς τρέχουσι στάδιον. Εἶτα δείκνυσι, τίνες οἱ πράκτορες καὶ τίνες οἱ μακα ρίζοντες· 13Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν κύριος καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· 14αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Κριτής ἐστι τῶν ὅλων ὁ κύριος καὶ δίκας εἰσπράξεται τοὺς ἄρχειν πεπιστευμένους καὶ τῆς διδασκαλίας τὴν διακονίαν ἐγκεχειρισμένους τῆς εἰς τὸν λαὸν παρα νομίας. Καὶ διὰ τοῦ θεσπεσίου Ἰεζεκιὴλ τοῦτο ἐδίδαξεν· «Κρινῶ» γάρ φησιν «ἀνὰ μέσον ποιμένος καὶ προβάτου». Οὕτω κἀνταῦθα τοῖς ἄρχουσι λέγει· Ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἀπαρχὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; 15Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου καὶ τὰ πρόσωπα τῶν ταπεινῶν καταισχύνετε; φησὶ κύριος κύριος στρατιῶν. Ἐμπυρισμὸν δὲ καλεῖ τὸν οὐ κατ' ἐπίγνωσιν ζῆλον. «Μαρ τυρῶ γὰρ αὐτοῖς» φησιν ὁ θεῖος ἀπόστολος «ὅτι ζῆλον θεοῦ ἔχουσιν ἀλλ' οὐ κατ' ἐπίγνωσιν.» Τούτῳ πυρπολούμενοι ἐβόων· «Αἶρε αἶρε, σταύρωσον αὐτόν.» Ταῦτα δὲ αὐτοὺς οἱ δυσσεβεῖς ἐδίδαξαν ἄρχοντες, ἀρχιερεῖς καὶ Φαρισαῖοι καὶ γραμματεῖς, οὐ κατὰ ἀλήθειαν τῆς νομικῆς ἀντεχόμενοι πολιτείας, ἀλλὰ πρόφασιν ταύτην ἀδίκου πλούτου ποιούμενοι. Ἐπειδὴ δὲ τὴν αὐτὴν τοῖς ἀνδράσι καὶ αἱ γυναῖκες ἐνόσουν ἀλαζονείαν τε καὶ ἀπείθειαν, ἀπειλεῖ καὶ ταύταις ἀνδρῶν ἐρημίαν τε καὶ πενίαν ἐσχάτην καὶ τῆς προτέρας εὐπραξίας τὴν στέρησιν· 16Τάδε λέγει κύριος· ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν καὶ ἐπορεύθησαν ὑψηλῷ τρα χήλῳ καὶ νεύμασιν ὀφθαλμῶν καὶ τῇ πορείᾳ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, 17καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν 18ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ἔδειξεν αὐτῶν διὰ μὲν τοῦ τραχήλου τὸν τῦφον, διὰ δὲ τῶν ὀφθαλ μῶν καὶ τῶν ποδῶν τὴν ἀκόλαστον γνώμην. Μάλιστα δὲ τῶν εὐπόρων κατηγορεῖ, αὐτὰς γὰρ ἀρχούσας |102 b| καλεῖ, καὶ ἀπειλεῖ αὐταῖς τοῦ πολυτελοῦς σχήματος τὴν ἀφαίρεσιν. Εἶτα τούτου τὰ κατὰ μέρος διέξεισιν, ἱματισμὸν ποικίλον λέγων καὶ χρυσία παντοδαπὰ καὶ β.......ν διαπλοκήν· ἐνδιατρίβειν γὰρ τοῖς οὐ δεομένοις ἑρμηνείας περιττὸν εἶναι νομίζω. Ὁ μέντοι Σύμμαχος τοὺς μηνίσκους «μανιάκας» καλεῖ· τοὺς δὲ κοσύμβους ὁ Ἀκύλας «τελαμῶνας», αἰνίττεται δὲ τὰ κρήδεμνα. Εἶτα τὴν εἰς τοὐναντίον προλέγει μεταβολήν· 24Καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, ἀντὶ δὲ ζώνης σχοινίον ζώσῃ. Οὐκέτι τῶν παντοδαπῶν ἀπολαύσῃ μύρων, ἀλλὰ τὸν ἀπὸ τοῦ πολεμικοῦ πλήθους ἐσόμενον δέξῃ κονιορτόν· σχοινίον δέ σοι πληρώσει τῆς ζώνης τὴν χρείαν. Τοιαῦτα γὰρ τῶν αἰχμαλώτων τὰ πάθη. Καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου καὶ ἀντὶ τοῦ χιτῶνός σου τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον. Αἱ κακουχίαι τὰς νόσους ἐπάγουσιν, αἱ δὲ νόσοι πολλάκις ἀφαιροῦνται τὰς τρίχας· οὐκέτι γὰρ τὴν ἀπὸ τῆς τροφῆς ἀρδείαν δεχόμεναι διαρρέουσιν. Καὶ ὁ σάκκος δὲ σημαίνει τὸ πένθος. Ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. Ἐπειδὴ τοσούτων ἀγαθῶν ἀπολαύουσαι τὸν εὐεργέτην οὐκ ἔγνωτε, δέξασθε κακοπραγίαν ἀντὶ τῆς προτέρας εὐημερίας. Τούτοις προστέ θεικε καὶ τῶν ἀγαπητῶν υἱῶν τὴν ἀναίρεσιν καὶ τὴν τῶν ἀνδρῶν ἀπώλειαν καὶ τὴν ἐσχάτην πενίαν. 26Θρηνήσουσι γάρ φησιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν. Τουτέστιν· ἔρημοι μενοῦσι τῶν πολεμίων σφετεριζομένων τὰ ἐν αὐταῖς. Εἶτα πρὸς αὐτὴν τὴν πόλιν τρέπει τὸν λόγον· Καὶ κα ταλειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. Τούτων γὰρ συμβαινόντων καὶ τῶν μὲν ἀνδρῶν ἀναιρουμένων, ἐξανδρα ποδιζομένων δὲ τῶν γυναικῶν ἔρημος τῶν οἰκητόρων μενεῖς οὔτε ταῖς λαμπραῖς οἰκίαις κοσμουμένη οὔτε τὴν ἀπὸ τῶν περιβόλων ἀσφάλειαν ἔχουσα· ταῦτα γὰρ πάντα κατα λύσουσιν οἱ πολέμιοι. 41Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνθρώπου ἑνὸς λέγουσαι· Τὸν ἄρτον ἡμῶν φαγόμεθα καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. Τοσαύτη δὲ ἔσται ἀνδρῶν ἐρημία, ὡς γυναικῶν πλῆθος ἑνὸς ἀνδρὸς ἑλέσθαι τὴν προστασίαν καὶ ὑπὸ τὴν τούτου κηδεμονίαν βιοτεύειν παρακαλέσαι. 2Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ· 3καὶ ἔσται τὸ καταλειφθὲν ἐκ τοῦ Ἰσραὴλ ἐν Σιὼν <καὶ> τὸ καταλειφθὲν <ἐν> Ἱερουσαλὴμ ἅγιοι κληθήσονται, πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ. Τοῦτο καὶ ἀλλαχοῦ φησιν· «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται.» Κατάλειμμα δὲ τοὺς εὐσεβείᾳ κοσμουμένους προσαγορεύει. Τούτοις ὑπισχνεῖται τὴν περιφάνειαν ὁ προφητικὸς λόγος καὶ τὴν τῶν ἁγίων προσηγορίαν. Γνόντες γὰρ ἅπαντες, τίνος ἕνεκεν τὴν πολιορκίαν ἐκείνην καὶ τὸν ἀνδραποδισμὸν ὑπέμειναν Ἰουδαῖοι, τοὺς τοῦ σωτηρίου κηρύγματος ὑπη ρέτας πάσης τιμῆς καὶ θεραπείας ἠξίωσαν. Τούτων καὶ μετὰ θάνατον τὸ κλέος ἀείμνηστον, καὶ παρὰ πάντων ἀνθρώπων ἡ τούτων γεραίρεται μνήμη, οὗτοι καὶ εἰς τὴν ἄνω ἀπεγράφησαν Ἱερουσαλήμ, περὶ ἧς ὁ μακάριος λέγει Παῦλος· «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ |103 a| ἐπουρανίῳ καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.» 4Ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. Πάλιν αἵματος καὶ καθάρσεως μνημονεύει, αἷμα μὲν ἐκεῖνο λέγων ὃ καθ' ἑαυτῶν καὶ τῶν τέκνων ἐξέχεαν βοήσαντες· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν», κάθαρσιν δὲ τὴν διὰ λουτροῦ παλιγγενεσίας προλέγων. Πνεύματι δὲ κρίσεως καὶ πνεύματι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καύσεως ἐπιτελεῖσθαι τοῦτό φησιν, ἐπειδή, ὥσπερ ἐν πυρὶ χρυσὸς χωνευόμενος ἀποφαίνεται δόκιμος, οὕτως οἱ βαπτιζόμενοι τὸν τῶν ἁμαρτημάτων ἰὸν ἀποτίθενται. Τοῦτο δὲ καὶ ὁ μακάριος Ἰωάννης ὁ βαπτιστὴς εἴρηκεν· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.» 5Καὶ ἥξει κύριος, καὶ ἔσται πᾶς τόπος ὄρους Σιὼν καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας καὶ ὡς καπνοῦ καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός· καὶ πάσῃ τῇ δόξῃ σκεπασθήσεται, 6καὶ ἔσται εἰς σκιὰν ἡμέρας ἀπὸ καύ ματος καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Ἡνίκα τὸν Ἰσραὴλ ὁ θεὸς ἠλευθέρωσε τῆς Αἰγυπτίων δουλείας, ἦγεν αὐτὸν νεφέλης ἐπικειμένης καὶ νύκτωρ μὲν δᾳδουχούσης καὶ τοῦ φωτὸς χορηγούσης τὴν χρείαν, μεθ' ἡμέραν δὲ σκηνὴν καὶ ὄροφον μιμουμένης καὶ τῆς ἡλιακῆς ἀκτῖνος τὸ λυποῦν ἀπειργούσης. Τούτων ἀπολαύσειν νοητῶς μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐπιφάνειαν τοὺς εἰς αὐτὸν πεπιστευκότας ἡ προφητεία προλέγει καὶ διὰ τῆς νεφέλης ταύτης ἀπαλλαγήσεσθαι καὶ ὑετοῦ σκληρότητος καὶ καύματος καταφλέγοντος, σκεπασθήσεσθαι δὲ ἐν ἀποκρύφῳ, τουτέστιν ἀοράτῳ. Οἱ γὰρ τῆς πνευματικῆς ἀπολαύοντες χάριτος καὶ ἐν εἰρήνῃ τιμῶσι τὴν τάξιν καὶ τὰς τῶν δυσσεβῶν ἀποκρούονται προσβολὰς κατὰ τὴν δεσποτικὴν παραίνεσιν τὴν φάσκουσαν· «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι», καί· «Μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν», καί· «Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.» Οὕτω ταῦτα τοῖς εἰς αὐτὸν πεπιστευκόσι προαγορεύσας πάλιν τοῦ ἀμπελῶνος τὴν ἀκαρπίαν θρηνεῖ· 51Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. Ἔστιν ᾆσμα πανηγυρικὸν καὶ γαμήλιον καὶ ἔστι θρηνητικόν τε καὶ πενθικόν· ᾄδουσι γὰρ οὐ μόνον ὑμεναίους ἀλλὰ καὶ θρήνους οἱ ἄνθρωποι. Οὕτω καὶ ὁ μακάριος Μωυσῆς τὰ δεινὰ ἐκεῖνα προειπὼν Ἰουδαίοις ᾠδὴν τὴν διαμαρτυρίαν ἐκάλεσεν. Ὁ μέντοι Σύμμαχος οὕτω ταῦτα ἡρμήνευσεν· «Ἄσω δὴ τῷ ἠγαπημένῳ μου ᾆσμα τοῦ ἀγαπητοῦ μου εἰς τὸν ἀμπελῶνα αὐτοῦ.» Ἀγαπητὸς δὲ ὁ μονογενὴς τοῦ θεοῦ προσαγορεύεται λόγος· «Οὕτω γάρ» φησιν «ἠγά πησεν ὁ θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.» Καὶ αὐτὸς δὲ ὁ πατὴρ οὐρανόθεν ἐμαρ τύρησε λέγων· «Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.» Οὗτος ἐξ ἀρχῆς τὸν τοῦ Ἰσραὴλ ἀμπελῶνα ἐφύτευσεν. Ἀμπελὼν γάρ φησιν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. 2Καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα καὶ ἐφύτευσα ἄμπελον ἐκλεκτὴν σωρὴχ καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, |103 b| ἐποίησε δὲ ἀκάνθας. Ἀμπελῶνα τὸν λαὸν ὀνομάζει–οὕτω γὰρ καὶ ὁ μακάριος ἔφη Δα υίδ· «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν», καὶ διὰ τοῦ Ἱερεμίου αὐτὸς ὁ θεός· «Ἐγὼ δὲ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν», καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· «Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν»–, πύργον δὲ τὸν ὀπωροφυ λακίῳ προσεοικότα–οὕτω γὰρ αὐτὸν ὠνόμασεν ἄνω–, προλήνιον δὲ τὸ θυσιαστήριον. Οὐδὲ γὰρ ἦν ἐκεῖνο ληνὸς ἀλλὰ προλήνιον· ἐν αὐτῷ γὰρ ἑαυτὴν ἡ ἀλήθεια προδιέ γραφεν· ληνοὺς γὰρ νῦν ἔχομεν τὰ θεῖα θυσιαστήρια, ἐν αἷς τῆς ἀληθινῆς ἀμπέλου τὸν μυστικὸν ἀποθλίβομεν οἶνον καὶ τὰ ἐπιλήνια λέγομεν ᾄσματα. Τὸ δὲ σωρὴκ ὁ Σύμμαχος «ἐκλεκτὴν» ἡρμήνευσεν. Ἔχει δὲ ἡ ἑρμηνεία τὸ ἀληθές· ἐκλεξάμενος γὰρ Ἀβραὰμ τὸν πατριάρχην ὁ τῶν ὅλων θεὸς ἐκ τῶν τούτου κλημάτων τὸν ἀμπελῶνα ἐφύτευσεν. Κέρας δὲ τὴν βασιλείαν τροπικῶς ὀνομάζει· ὥσπερ γὰρ τὰ κερασφόρα ζῷα ὅπλον ἔχει τὰ κέρατα, οὕτως ὁ βασιλεὺς τῶν ὑπηκόων ὑπερμαχεῖ. Τόπον δὲ πίονα τὴν Παλαιστίνην καλεῖ· ταύτην γὰρ καὶ ἐν τῷ Νόμῳ ὠνόμασε «γῆν ῥέουσαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γάλα καὶ μέλι». Ἀλλ' ὅμως πάσης ἀπολαύσας τῆς ἐπιμελείας ὁ ἀμπελὼν μεμένηκεν ἄκαρπος· ἀκάνθας γὰρ ἀντὶ σταφυλῆς τῷ φυτουργῷ προσήνεγκε καὶ τοιούτῳ στεφάνῳ τὴν δεσποτικὴν ἐταινίωσε κεφαλὴν καὶ ὄξος πάλιν ὡς ἄχρηστος αὐτῷ προσεκόμισεν ἀμπελών. Ταύτην ποιησάμενος τὴν γραφὴν αὐτοὺς ποιεῖται τοὺς ὑπευθύνους κριτὰς καί φησιν· 3Καὶ νῦν, ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. 4Τί ποιήσω τῷ ἀμπελῶνί μου ἔτι καὶ οὐκ ἐποίησα αὐτῷ; Διότι ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Τοῦτο καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ αὐτὸς δεσπότης πεποίηκεν· τὴν γὰρ τοῦ ἀμπελῶνος παραβολὴν τοῖς Ἰουδαίοις προσενεγκὼν αὐτοὺς κυρίους τῆς ψήφου κατέστησεν. Ἐπήγαγε γάρ· «Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος τοῖς γεωργοῖς ἐκείνοις;» Οὐ μόνον δὲ αἱ ἐρωτήσεις ἀλλήλαις ἐοίκασιν, ἀλλὰ καὶ αὐτὴ τῶν ῥητῶν ἡ διάνοια. Ἐνταῦθα γὰρ λέγει· «Τί ποιήσω τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα αὐτῷ;» Ἐν δὲ τοῖς εὐαγγελίοις· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.» Ταύτην κἀνταῦθα κα τὰ τῶν Ἰουδαίων ἐξήνεγκε τὴν ψῆφ ον · 5Νῦν οὖν ἀναγγελῶ ὑμῖν τί ἐγὼ ποιήσω τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς κατα πάτημα, 6καὶ ἀνήσω τὸν ἀμπελῶνά μου καὶ οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν. Ἐπειδὴ γὰρ παντοδαπὴν αὐτοῦ ποιησά μενος πρόνοιαν ἄχρηστον εἶδον καὶ ἄκαρπον, πάσης λοιπὸν αὐτὸν προμηθείας γυμνώσω καὶ τοῖς πατεῖν καὶ κατεσθίειν βουλομένοις γενήσεται πρόχειρος· οὐκέτι δὲ αὐτῷ τὴν λογικὴν γεωργίαν προσοίσω, ἀλλὰ χερσούμενον καὶ ἀκανθῶν πληρούμενον περιόψομαι· οὐκέτι τῆς προφη τικῆς ἀρδείας τὰ νάματα δέξεται. Νεφέλας γὰρ τοὺς προφήτας καλεῖ ὡς ἐκ τῆς πνευματικῆς θαλάττης τὸν προφητικὸν ἕλκοντας ὑετόν. Εἶτα ἑρμηνεύει τὰ τροπικῶς εἰρημένα· 7Ὁ γὰρ ἀμπελὼν |104 a| κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρω πος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. Τῇ κατηγορίᾳ πάσας ὑπέβαλε τὰς φυλάς· οἶκον γὰρ Ἰακὼβ πάντας τοὺς ἐξ ἐκείνου καλεῖ. Τὴν δὲ τοῦ Ἰούδα φυλὴν ὡς καὶ τὴν τῆς ἐπαγγελίας ἔχουσαν εὐλογίαν καὶ τῷ ναῷ κοσμουμένην νεόφυτον ἠγαπημένον ὠνόμασεν. Εἶτα τὴν σταφυλὴν καὶ τὰς ἀκάνθας δήλας ποιεῖ· Ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν. Ἐντεῦθεν ἔστι διαγνῶναι σαφῶς, ὡς κατὰ τοῦ σωτῆρος λυττήσαντες τῆς θείας ἐγυμνώθησαν χάριτος· διὰ γὰρ τῆς κραυγῆς τὴν μανίαν ἐκείνην ἐδήλωσεν. Διδάσκει δὲ καὶ τῶν ἱερῶν εὐαγ γελίων ἡ ἱστορία ὡς ἐπὶ πλεῖστον ἔκραζον ποτὲ μὲν λέγοντες· «Αἶρε αἶρε, σταύρωσον αὐτόν», ποτὲ δέ· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν». Καὶ τὴν ἄλλην δὲ αὐτῶν ἀδικίαν ὁ προφήτης θρηνεῖ· 8Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Ἴδιον τοῦτο τὴν πλεονεξίαν νοσούντων· κόρον γὰρ οὐκ ἀνέχονται τοῦ πλούτου λαβεῖν. Οὐ μόνον δὲ αὐτοὺς θρηνεῖ ὁ προφήτης ἀλλὰ καὶ τοῖς ἐπαγομένοις ἐντρέπει· Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Τοῦτο γὰρ οὐ κατὰ ἀπόφασιν ἀλλὰ κατ' ἐρώτησιν ἀναγνωστέον. Ταύτην δὲ τὴν διάνοιαν πεποίηκεν ἡμῖν σαφεστέραν ὁ Σύμμαχος· «Ἆρα κατοικηθήσεσθε μόνοι ὑμεῖς ἐν τῇ γῇ;» Εἰ τὰ πελάζοντα βούλεσθε συνάπτειν τοῖς ὑμετέροις, ἀεὶ τοῦτο διατελέσετε δρῶντες; Τί οὖν; φησι, μόνοι τῆς γῆς ἁπάσης δεσπόται γενήσεσθε; Καὶ ποῖον ἐντεῦθεν καρπώσεσθε κέρδος; Ἐντίθησι δὲ αὐτοῖς καὶ δέος ὑποδεικνὺς τὸν κριτήν· 9Ἠκούσθη γάρ φησιν εἰς τὰ ὦτα κυρίου Σαβαὼθ ταῦτα. Οὐδὲν αὐτὸν λανθάνει τῶν γιγνομένων· οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἐπιβλέπουσι τὴν οἰκουμένην. Ἀπειλεῖ δὲ αὐτοῖς καὶ παντελῆ ἐρημίαν· Ἐὰν γὰρ γένωνται πολλαὶ οἰκίαι, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοι κοῦντες ἐν αὐταῖς. 10Οὗ γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει μέτρα τρία. Πρὸς τῇ ἐρημίᾳ καὶ ἀκαρπίαν ἠπείλησεν· διάφοροι γὰρ αἱ παιδεῖαι, ἐπειδὴ διάφορα τῶν ἀνθρώπων τὰ πλημμελήματα. Μετὰ τὴν πλεονεξίαν τῆς οἰνοφλυγίας καὶ τῆς γαστρι μαργίας κατηγορεῖ· 11Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. 12Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμ πάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα τοῦ θεοῦ οὐκ ἐμβλέπουσι, τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατα νοοῦσιν. Οὐδεὶς γὰρ κατὰ τὴν κυρίου φωνὴν δυσὶ κυρίοις δουλεύει. Πῶ ς γὰρ οἷόν τε τοὺς κωμαστικὸν βίον ἀσπαζο μένους καὶ μέθῃ καὶ κορδακισμοῖς κεχρημένους καὶ ἐν τούτοις διημερεύοντας τοῖς θείοις προσέχειν λογίοις καὶ τὴν ἐκεῖθεν ὠφέλειαν καρποῦσθαι; Τὸ μέντοι σίκερα ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας «μέθυσμα» ἡρμήνευσαν. Ἐγὼδὲ οἶμαι διὰ τούτων σημαίνεσθαι τὰς τῶν προπομάτων κατασκευάς· σίκερα δὲ κυρίως τὸ ἐκ φοινίκων ὀνομάζεται πόμα. 13Τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος. Σαφῶς ἐδήλωσε τῶν κακῶν τὴν αἰτίαν. Τὸν δὲ λιμὸν καὶ τὸ δίψος καὶ τὴν αἰχμαλωσίαν ἀκριβέστερον ἡμᾶς αἱ Ἰωσήπου διδάσκουσιν ἱστορίαι· ἐκεῖνος γὰρ καὶ τὸ ἀνιαρὸν ἐκεῖνο δρᾶμα τῆς τὸν υἱὸν διὰ λιμὸν καταφαγούσης συνέγραψεν. 14Καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ καὶ διήνοιξε τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν. Τὸ πλῆθος τῶν νεκρῶν διὰ τούτων δεδή λωκεν. Προσωποποιΐᾳ δὲ ἐχρήσατο καὶ ὑπέδειξεν ἡμῖν τὸν θάνατον οἷόν τι κῆτος |104 b| ἀνεῳγὸς ἔχον τὸ στόμα διηνεκῶς καὶ ἀπαύστως ὑποδεχόμενον τοὺς παρα πεμπομένους νεκρούς. Καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ. Λοιμοὺς καλεῖ τοὺς οὐ μόνον σφᾶς αὐτοὺς διαφ θείροντας ἀλλὰ καὶ τοὺς ἄλλους εἰς τὴν αὐτὴν νόσον ἐκκα λουμένους. Τοιαύτη γὰρ καὶ ἡ τοῦ λοιμοῦ φύσις· μεταδιδόασι γὰρ οἱ νοσοῦντες τοῦ πάθους τοῖς ὑγιαίνουσιν. 15Καὶ ταπει νωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ, καὶ οἱ ὀφθαλ μοὶ οἱ μετέωροι ταπεινωθήσονται. Μετεώρους ὀφθαλμοὺς τοὺς ἀλαζονικοὺς ὀνομάζει, οὓς ἀναγκάζει διὰ τῆς τιμωρίας βλέπειν εἰς γῆν. 16Καὶ ὑψωθήσεται κύριος Σαβαὼθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ. Οἱ γὰρ ὁρῶντες τίνοντας δίκας τοὺς δυσσεβεῖς καὶ παρανόμους τὸν δίκαιον κριτὴν ἀνυμνήσουσιν. 17Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. Ὅτι τῶν εἰς τὸν κύριον πεπιστευκότων τὰς οὐσίας διήρπασαν οἱ τοῖς εὐαγγελικοῖς ἀντιλέγοντες δόγμασιν, ἄντικρυς ἡμᾶς ἐδί δαξεν ὁ ἀπόστολος· Θεσσαλονικεῦσι γὰρ ἐπιστέλλων οὕτως ἔφη· «Ὑμεῖς γάρ, ἀδελφοί μου, μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ· τὰ γὰρ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων καὶ θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων.» Καὶ αὐτοῖς δὲ τοῖς Ἑβραίοις γράφων ὧδέ φησιν· «Ἀναμιμνῄσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατρι ζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μεθ' ἡδονῆς κατεδέξασθε.» Τούτους μετὰ τὸν ἐκείνων ὄλεθρον ταύροις ἀπεικάζει ἀδεῶς νεμομένοις· καὶ γὰρ ἀληθῶς φέροντες τὸν τοῦ κυρίου ζυγὸν πάντα ἐγεώργουν τὰ ἔθνη. Τούτους καὶ ἄρνας ὀνο μάζει· οὕτω γὰρ αὐτοὺς καὶ ὁ κύριος καλεῖ· «Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.» Τούτοις ἐπαγγέλλεται δώσειν τῶν ἑαλωκότων καὶ αἰχμαλώτων τὰ ἔρημα. Ἀπειλημμένους γὰρ τοὺς οἱονεὶ ἠγρευμένους καὶ δορυαλώτους ὠνόμασεν· ὁ μέντοι Σύμμαχος τούτους «παρανόμους» ἡρμήνευσεν. 18Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μακρῷ καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν. Χαλεπὸν μὲν τὸ ἁμαρτάνειν, τὸ δὲ ἐπιμένειν καὶ αὔξειν τὴν ἁμαρτίαν πολλῷ χαλεπώτερον. Τῶν τοιούτων ἐπὶ τοῦ παρόντος κατηγορεῖ ὡς τοῖς κακοῖς ἐπιμενόντων καὶ μεταμελείᾳ χρῆσθαι μὴ βουλομένων ἀλλὰ καὶ ταῖς προφη τικαῖς ἀντιλεγόντων προρρήσεσιν. Τοῦτο γὰρ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν· 19Οἱ λέγοντες· Τὸ τάχος ἐγγι σάτω ἃ ποιήσει ὁ θεός, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν. Ταῦτα δὲ ἀπιστούντων ἐστὶ καὶ ψεῦδος τῆς προφητείας κατηγορούντων· τὸ δὲ καὶ ψεῦδος τῆς προφητείας κατηγορεῖν νικᾷ πᾶσαν ἀσεβείας ὑπερβολήν. Ἐντεῦθεν ἐπ' ἄλλην κατηγορίαν ἐτρέπετο· 20Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, οἱ τιθέντες τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. Τοιοῦτος δὲ τῶν κολάκων ὁ βίος· ἐπαινοῦσι τοὺς πονηρούς, κωμῳδοῦσι τοὺς ἀγαθούς, πάντα τῆς γαστρὸς ἕνεκα δρῶσιν. Τοιοῦτοι δὲ καὶ οἱ ἄδικοι δικασταί, οἱ δωροδόκοι, οἱ πωλοῦντες τὸ δίκαιον. Κατη γορεῖ καὶ τῶν ἐπὶ σοφίᾳ βρενθυομένων καὶ μὴ πειθομένων τῇ σοφωτάτῃ Ἄννῃ λεγούσῃ· «Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ.» 21Οὐαὶ γάρ φησιν οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. Ἀναλαμβάνει καὶ τὴν τῶν μεθυόντων κατηγορίαν· 22Οὐαὶ οἱ |105 a| ἰσχύοντες ὑμῶν οἱ τὸν οἶνον πίνοντες καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. Κατηγορεῖ δὲ τῶν αὐτῶν ὡς ἀρχόντων μέν, ἀδίκως δὲ ἡγουμένων· 23Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες ἀπ' αὐτοῦ. Τῆς γὰρ δίκης τούτῳ τὴν νικῶσαν ὀρεγούσης ψῆφον ὑμεῖς παρανόμως ταύτην ἁρπάζοντες τοῖς ἀδικοῦσι δίδοτε. Μετὰ τὴν κατηγορίαν ἐπιφέρει τῆς τιμωρίας τὴν ἀπειλήν· 24Διὰ τοῦτο, ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνημμένης, ἡ ῥίζα αὐτῶν ὡς χοῦς ἔσται καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται. Τῇ μὲν εὐπρήστῳ ὕλῃ αὐτοὺς ἀπεικάζει, τῷ δὲ πυρὶ τὴν δίκην· ὥσπερ γὰρ ἐκείνην μετὰ τοῦ ἄνθους καὶ τὴν ῥίζαν δαπανηθῆναι· καλεῖ δὲ ῥίζαν μὲν αὐτούς, ἄνθος δὲ τῆς εὐημερίας τὸ πρόσκαιρον. Οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου Σαβαὼθ ποιεῖν, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Αὐτὸς γὰρ ἐδεδώκει τοῦ νόμου τὰ λόγια. 25Καὶ ἐθυμώθη κύριος Σαβαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπάταξεν αὐτούς· καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγένετο τὰ θνησιμαῖα αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ. Διὰ τῶν ὀρῶν τοὺς ἐν τοῖς ὄρεσι παρ' αὐτῶν τιμωμένους ᾐνίξατο δαίμονας. Τῶν δὲ εἰρημένων ἁπάντων ἕνεκα καὶ αὐτὰ τὰ ὄρη καὶ τὰς ὁδοὺς ἐπλήρωσε νεκρῶν κόπρου δίκην ἐπὶ τῆς γῆς ἐρριμμένων κατὰ τὸ ὑπὸ τοῦ ψαλμῳδοῦ εἰρημένον· «Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.» Καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Οὐδὲ γὰρ αὐτοὶ τῆς παρανομίας ἀπέστησαν. Τοῦτο γὰρ καὶ ἐν τοῖς μετὰ ταῦτά φησιν· «Καὶ ὁ λαὸς οὐκ ἀπέστη ἕως ἐπλήγη.» Τὸ δέ· ἡ χεὶρ αὐτοῦ ὑψηλή, ἐκ μεταφορᾶς τέθεικε τῶν ἱμάντι ἢ ῥάβδῳ μαστιγούντων οἰκέτην καὶ τὴν χεῖρα ὑψούντων. 26Τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρὰν καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς· καὶ ἰδοὺ αὐτοὶ κούφως ἔρχονται. Τοὺς Ῥωμαίους διὰ τούτων ᾐνίξατο· τοὺς γὰρ Βαβυλωνίους καὶ τοὺς Ἀσσυρίους πολλάκις μὲν ἐξ ὀνόματος, πολλάκις δὲ ἀπὸ τοῦ κλίματος προσαγορεύει, ὡς ὅταν λέγῃ· «Ἀπὸ βορρᾶ ἐκκαυθήσεται τὰ κακά», καί· «Τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν», καί· «Ἐρῶ τῷ βορρᾷ· ἄγε.» Διὰ δὲ τοῦ συριεῖ τὸ δεσποτικὸν ἔδειξε κράτος· καθάπερ γὰρ δεσπότης οἰκέτην συρίζων καλεῖ, ὁ δὲ μετὰ δέους τρέχει πρὸς τὴν ἠχήν, οὕτως ὁ τῶν ὅλων θεὸς νεύει φησὶ καὶ συντρέχουσι Ῥωμαῖοι. Εἶτα αὐτῶν τὴν πολεμικὴν ἐμπειρίαν καὶ τὴν ἀνδρείαν καὶ τὴν ἐν στρατείαις διδάσκει κακοπάθειαν· 27Οὐ πεινάσουσιν οὐδὲ κοπιάσουσιν οὐδὲ νυστάξουσιν οὐδὲ κοι μηθήσονται οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῶν ὀσφύων αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν. Νικῶσί φησι τῇ πολεμικῇ προθυμίᾳ τὰ πάθη τῆς φύσεως, ἀπωθοῦνται τοῦ ὕπνου τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσβολήν, ἀναπαύλης ἀπολαύειν οὐ βούλονται. Εἶτα τὴν πανοπλίαν αὐτῶν προδιαγράφει· 28Ὧν τὰ βέλη ὀξέα ἐστὶ καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· οἱ πόδες αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες· 29ὁρμῶσιν ὡς λέοντες καὶ παρεστήκασιν ὡς σκύμνοι λεόντων, καὶ ἐπιλήψεται καὶ βοήσει ὡς θηρίον καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος. Ἀλαλάζειν εἰώθασιν ἐν τοῖς πολέμοις, τοὺς ἀντιπαρατατто μένους τῇ κοινῇ φωνῇ δεδιττόμενοι. Ταύτην τὴν βοὴν βρυχηθμῷ λεόντων ἀπείκασεν· ὥσπερ γὰρ ὁ λέων βρυχώ μενος καὶ τὰ θηρία καὶ τὰ κτήνη φοβεῖ, οὕτως οὗτοι αὐτοβοεὶ τῶν πολεμίων περιγενέσθαι δυνήσονται. 30Καὶ βοήσει δι' αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσ σης κυμαινούσης. Ἐνταῦθα καὶ τὸ πλῆθος ἔδειξε καὶ τοὺς λόχους |105 b| κύμασιν ἐοικότας καὶ τῇ φωνῇ κατακτυ ποῦντας τῶν ἀντιπάλων τὰς ἀκοάς. Καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω καὶ εἰς τὴν γῆν κάτω, καὶ ἰδοὺ σκότος σκληρόν, σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν. Τότε φησὶν οἱ τῆς κατ' ἐμοῦ μανίας τίνοντες δίκας ἀνα βλέψουσι μὲν εἰς τὸν οὐρανὸν ἐπικουρίας τινὸς ἀντιβολοῦντες τυχεῖν, ὄψονται δὲ οὐ τὴν πρόνοιάν μου δίκην φωτὸς ἐπιφαι νομένην ἀλλὰ τὴν τιμωρητικὴν δύναμιν ζόφον αὐτῶν τοῖς ὀφθαλμοῖς ἐπιφέρουσαν. Ἐκεῖνοι μὲν οὖν ἐκεῖνα πεπλημμεληκότες ταύτην ἔτισαν τὴν δίκην· ἡμεῖς δὲ τῆς πονηρίας τὴν μίμησιν φύγωμεν, ἵνα καὶ τὴν τῆς τιμωρίας διαφύγωμεν κοινωνίαν καὶ μετὰ παρρησίας ἴδωμεν τὸν δεσπότην Χριστόν, ᾧ καὶ μεθ' οὗ τῷ πατρὶ σὺν <τῷ> ἁγίῳ πνεύματι δόξα πρέπει, τιμὴ καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

3 ΤΟΜΟΣ Γ΄

61Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Ἅπαντα μὲν τὰ προηρμηνευμένα βασιλεύοντος Ὀζίου προεθέσπισεν ὁ προ φήτης, ταῦτα δὲ τὰ νῦν ἀνεγνωσμένα ἐπὶ Ἰωάθαμ ἐθεάσατο, ὃς υἱὸς ὢν Ὀζίου τὴν ἐκείνου διεδέξατο βασιλείαν. Αἰνίττεται δὲ ὁ προφήτης τὴν γεγενημένην παῦλαν τῆς προφητείας διὰ τὴν τοῦ Ὀζίου παρανομίαν. Οὗτος γὰρ ἀπέλαυσε μὲν εὐθὺς βασιλεύσας τῆς τοῦ θεοῦ κηδεμονίας καὶ τῶν τε Ἀλλοφύλων τῶν τε ἄλλων πλησιοχώρων ἐκράτησε πολεμίων· τυφωθεὶς δὲ μετὰ τὴν νίκην καὶ τῆς ἱερωσύνης ἥρπασε τὴν ἀξίαν καὶ τῶν ἀδύτων τοῦ ναοῦ κατατολμήσας προσενεγκεῖν ἐτόλμησε τὸ θυμίαμα, ὃ οὐδὲ πᾶσιν ἐξῆν προσφέρειν τοῖς ἱερεῦσιν· μόνῳ γὰρ εἰσιτητὸν ἦν τῷ ἀρχιερεῖ εἰς τὰ ἅγια τῶν ἁγίων. Καὶ ἐπειράθη μὲν αὐτὸν ἐπισχεῖν Ἀζαρίας ὁ ἱερεὺς καὶ ἕτεροι σὺν τούτῳ τῆς ἱερω σύνης ἠξιωμένοι· ἐπειδὴ δὲ οὐδὲ τὴν τούτων ἐδέξατο συμβουλήν, φιλάνθρωπον αὐτῷ παιδείαν ὁ δεσπότης ἐπή γαγεν· οὐ γὰρ ἐκέλευσεν αὐτῷ χῆναι τὴν γῆν οὐδὲ πρηστῆρα οὐρανόθεν ἐπήνεγκεν, ἀλλὰ τὴν τοῦ σώματος ἐνήλλαξε χρόαν καὶ τῆς λέπρας αὐτῷ τὴν ἀτιμίαν ἐπέθηκεν. Ταύτην δεξά μενος τὴν παιδείαν παραυτίκα μὲν ἐξελήλυθε τοῦ νεώ, οἴκοι δὲ καθήμενος διὰ Ἰωάθαμ τοῦ παιδὸς διεῖπε τὴν βασιλείαν. Τούτου χάριν ὁ τῶν ὅλων θεὸς χαλεπαίνει μὲν τῷ λαῷ καὶ οὐδεμίαν αὐτοῖς προσφέρει χρησμολογίαν, ἀγανακτεῖ δὲ καὶ κατὰ τοῦ προφήτου σεσιγηκότος καὶ μὴ προσενηνοχότος τὸν ἔλεγχον. Μετὰ μέντοι τὴν ἐκείνου τελευτὴν ταύτην δείκνυσι τῷ προφήτῃ τὴν ὀπτασίαν. Εἰκότως τοίνυν τῆς ἐκείνου μέμνηται τελευτῆς διδάσκων πότε μὲν ἐσίγησε πότε δὲ πάλιν τὴν προφητείαν ἀπέλαβεν. Καὶ λέγ ει τεθεᾶσθαι τὸν κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον καὶ τὸν οἶκον τῆς δόξης πεπληρω μένον. Εἰδέναι δὲ χρή, ὡς οὐκ αὐτὴν εἶδε τοῦ κυρίου τὴν φύσιν· «Θεὸν» γὰρ «οὐδεὶς ἑώρακε πώποτε· ὁ μονο γενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγή σατο.» Αὐτοῦ δὲ ἔστι φωνή· «Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν εἰ μὴ ὁ ὢν ἐκ τοῦ θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα», καί· «Οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα. τις οἶδεν εἰ μὴ ὁ υἱὸς καὶ ᾧ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.» Ἀπεκάλυψε δὲ ὅτι πατήρ ἐστιν, οὐ τί τὴν φύσιν ἐστίν. Μαρτυρεῖ δὲ καὶ τὰ διάφορα τῶν ὄψεων σχήματα, ὡς οὐδεὶς τὴν θείαν ἐθεώρησε φύσιν· ἄλλως γὰρ ὤφθη τῷ Ἀβραὰμ καὶ ἄλλως τῷ Μωυσεῖ, ἑτέρως τῷ Μιχαίᾳ καὶ ἄλλως τῷ Δανιήλ, καὶ μέντοι καὶ ὁ Ἰεζεκιὴλ ἕτερον ἐθεάσατο σχῆμα. Τὸ δὲ θεῖον οὐ πολύμορφον ἀλλ' ἀνείδεόν τε καὶ ἀσχημάτιστον, ἀσύνθετόν τε καὶ ἁπλοῦν καὶ ἀόρατον καὶ ἀνέφικτον. Διά τοι τοῦτο καὶ αὐτὸς ὁ θεός φησιν· «Ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην», οὐκ ὤφθην· ὡς γὰρ βούλεται, σχηματίζει τὰς ὄψεις. 2Καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ |106 a| ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας αὐτῶν καὶ ταῖς δυσὶν ἐπέτοντο. 3Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον· Ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Τοῦ ἀλαζόνος βασιλέως κατηγορεῖ τῶν ἁγίων σεραφὶμ ἡ εὐλάβεια. Ὁ μὲν γὰρ ἀναιδῶς τῆς μηδαμόθεν αὐτῷ προση κούσης κατετόλμησε λειτουργίας, αἱ δὲ ἀόρατοι δυνάμεις τὴν ἐπουράνιον ὑμνῳδίαν πεπιστευμέναι τῷ σχήματι τὸ δέος ἐμήνυον· ἐκάλυπτον γὰρ τὰ πρόσωπα ὡς οὐδὲ τὴν αἴγλην ἰδεῖν δυνάμεναι τὴν ἐκ τῆς δεσποτικῆς ἀπαστράπ τουσαν θέας, κατέκρυπτον δὲ καὶ τοὺς πόδας καὶ διὰ τούτου τὴν δουλείαν σημαίνουσαι καὶ τὸ δέος ἐμφαίνουσαι καὶ τὴν λειτουργίαν εὐσχημόνως ἀποπληροῦσαι. Ἡ δὲ πτῆσις τὸ μετάρσιον αἰνίττεται τοῦ φρονήματος. Τοῦτον δὲ τὸν ὕμνον προσέφερον καὶ τὴν μίαν τῆς θεότητος φύσιν διὰ τῆς κύριος φωνῆς αἰνιττόμεναι–ἑνικῶς γὰρ τοῦτο προσέφερον–καὶ τῆς τριάδος τὸν ἀριθμὸν ὑπεμφαίνουσαι–τρὶς γὰρ ἐπεφώ νουν τὸ ἅγιος. Τὸ μὲν γὰρ ἅγιος ἅγιος ἅγιος τῆς τριάδος δηλωτικόν, τὸ δὲ κύριος Σαβαὼθ τῆς φύσεως τῆς μιᾶς σημαντικόν. Ὑμνεῖ δὲ τὰ σεραφὶμ τὴν ἀΐδιον φύσιν ὡς μὴ μόνον τὸν οὐρανὸν ἀλλὰ καὶ τὴν γῆν ἅπασαν τῆς δόξης ἐμπλήσασαν. Τοῦτο δὲ ἡ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν πεποίηκεν ἐνανθρώπησις· μετὰ γὰρ δὴ τὴν δεσποτικὴν ἐπιφάνειαν ἐδέξατο τὰ ἔθνη τὴν τῆς θεογνωσίας ἀκτῖνα. 4Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. Τὰ γὰρ ἐσόμενα μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησιν προδεδηλωκότων τῶν σεραφίμ, ἀναγκαίως μηνύεται καὶ τῶν δύο λαῶν ἡ συνάφεια. Ἀπὸ γὰρ τῆς φωνῆς, ᾗ τὴν γῆν ἅπασαν πεπληρῶσθαι τῆς θείας δόξης ἐμήνυεν, ἐπήρθη τὸ ὑπέρθυρον· τοῦτο δὲ γενόμενον περιττὴν τῶν θυρῶν ἐδείκνυ τὴν χρείαν· τῶν δὲ θυρῶν οὐκ ἐπικειμένων εἰσιτητὸν ἦν εἰς τὸν οἶκον τῷ βουλομένῳ λοιπόν. Ἐπειδὴ γὰρ Ὀζίας τοῦ νόμου κρατοῦντος ἔτι παρανόμως κατετόλμησε τῶν ἀδύτων, προσημαίνεται διὰ τῆς ὄψεως τῶν ἐθνῶν ἁπάντων ἡ κλῆσις. Μὴ γὰρ δή τις νομιζέτω φησὶν ἐν τῷ ναῷ περιγεγράφθαι τοῦ θεοῦ τῶν ὅλων τὴν δόξαν· ὁ γὰρ τῶν ὅλων δεσπότης τὰ πάντα πληροῖ. Καὶ τοῦτο δὲ οὐκ εἰς μακρὰν δῆλον γενήσεται· ἅπαντες γὰρ οἱ ἄνθρωποι τὸ τῆς θεογνωσίας εἰσδεξάμενοι φῶς πανταχοῦ ναοὺς ἀναστήσουσι τῷ τῶν ὅλων δημιουργῷ, ἐκείνων δὲ πληρουμένων τῆς δόξης οὗτος τῆς προτέρας γυμνωθήσεται δόξης καὶ ἀντὶ τοῦ θείου φωτὸς τοῦ Ῥωμαϊκοῦ πυρὸς εἰσδέξεται τὸν καπνόν. Τοῦτο δὲ καὶ κατὰ τὸν καιρὸν γεγένηται τοῦ σταυροῦ· ἐσχίσθη γὰρ τὸ καταπέτασμα καὶ τῆς ἐπανθούσης τῷ ναῷ χάριτος τὴν ἀπόστασιν ἔδειξεν. 5Καὶ εἶπον· Ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη <ἔχων ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη> ἔχοντος ἐγὼ οἰκῶ καὶ τὸν βασιλέα κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· «Οἴμοι ὅτι ἐσιώπησα· ἀνὴρ γὰρ ἀκάθαρτος χείλεσιν ἐγὼ καὶ ἐν μέσῳ λαοῦ ἀκαθάρτου χείλεσιν ἐγὼ οἰκῶ.» Σύμφωνος δὲ καὶ τῶν Ἄλλων ἡ ἑρμηνεία. Αἰνίτ τεται δὲ τὴν γεγενημένην ἐπὶ τῇ παρανομίᾳ τοῦ Ὀζίου σιγήν· καὶ διὰ τοῦτο ἑαυτὸν ἀκάθαρτον χείλεσιν ὀνομάζει ὡς κεκοινωνηκὼς τῷ τολμήματι διὰ τῆς σιωπῆς –τὴν αὐτὴν δὲ καὶ τοῦ λαοῦ κατηγορίαν πεποίηται–καὶ τὴν θείαν δέδιεν ἐπιφάνειαν ὡς δικαστικὴν παρουσίαν. 6Καὶ ἀπεστάλη πρός με ἓν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσια στηρίου 7καὶ ἥψατο τοῦ στόματός μου καὶ |106 b| εἶπεν. Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου καὶ ἀφελεῖ τὸ ἀνόμιμ όν σου καὶ τὰς ἁμαρτίας περικαθαριεῖ. Καὶ τοῦτο δηλοῖ τῆς σιωπῆς τὸ πλημμέλημα· οὐκ ἄλλῳ γάρ τινι μορίῳ τοῦ σώματος ἀλλὰ τῷ στόματι τὸν ἄνθρακα τὸ σεραφὶμ προσ ενήνοχεν. Ἐλέγχει δὲ καὶ τὴν τοῦ Ὀζίου παρανομίαν τὸ γεγονός· ὁ μὲν γὰρ τοῦ θυσιαστηρίου λίαν ἀναιδῶς κατε τόλμησεν, τὸ δὲ σεραφὶμ καὶ πυρὸς ἔχον προσηγορίαν καὶ θείας λειτουργίας ἠξιωμένον οὐ γυμνῇ τῇ χερὶ τῇ δὲ λαβίδι τὸν ἄνθρακα ἔλαβε καὶ τοῦτον ἐπιθὲν τῷ τοῦ προφήτου στόματι ἐμήνυσεν αὐτῷ τὴν τῆς ἁμαρτίας ἀπαλλαγήν. Προδιαγράφεται δὲ καὶ προδιατυποῦται διὰ τούτων ἡ τῶν ἡμετέρων ἀγαθῶν μετουσία, ἡ διὰ τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος τῶν ἁμαρτημάτων ἀπαλλαγή. 8Καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Οὐκ ἀγνοῶν ὃν ἀποστεῖλαι προσήκει ταῦτά φησιν ὁ δεσπότης ἀλλὰ τὸν προφήτην εἰς διακονίαν προτρέπων. Δηλοῖ δὲ τοῦτο καὶ τὰ ἑξῆς· Καὶ εἶπον· Ἰδοὺ ἐγώ, ἀπόστειλόν με. Ὑπὲρ τῆς προτέρας ὁ προφήτης ἀπολογεῖται σιγῆς καὶ ἕνα ἐλέγξαι μὴ βουληθεὶς παντὸς τοῦ λαοῦ τὸν ἔλεγχον ἀναδέχεται. Οὐδὲ γὰρ τὴν τιμὴν ἁρπάζων αὐτοχειροτόνητος τρέχει ἀλλ' ὑπὲρ τῆς προτέρας ἀπολογούμενος σιωπῆς καὶ τοὺς παρὰ τοῦ λαοῦ κινδύνους ἀναδεχόμενος. 9Καὶ εἶπε· Πορεύθητι καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσητε καὶ οὐ μὴ συνῆτε καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. Τὴν ἐσομένην Ἰουδαίοις ἐπὶ τῆς δεσποτικῆς ἐπιφανείας ἀντιλογίαν προαγορεύει· καὶ γὰρ ἀκούσαντες τῶν θείων λογίων οὐκ ἤκουσαν καὶ τὰ μυρία θαύματα θεωροῦντες συνιδεῖν οὐκ ἠθέλησαν. Οὗ δὴ χάριν ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις προέλεγεν· «Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται.» Οἱ μὲν γὰρ τὸ σῶμα τυφλώττοντες ἑώρων αὐτὸν τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, οἱ δὲ ὑγιεῖς ἔχοντες τοὺς τοῦ σώματος ὀφθαλμοὺς τυφλὸν εἶχον τῆς διανοίας τὸ ὀπτικόν. Οὐ μόνον δὲ τοὺς ὀφθαλμοὺς μεμυκότας εἶχον ἀλλὰ καὶ τὰς ἀκοὰς βεβυσμένας. Τούτου χάριν ὁ κύριος ἔλεγεν· «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.» Ὁ μέντοι προφήτης, μᾶλλον δὲ ὁ τοῦ προφήτου θεός, διδάσκει διὰ τῶν ἑξῆς, ὡς κατὰ γνώμην αὐτοῖς προσγέγονε ταῦτα τὰ πάθη. Ἐπάγει γάρ· 10Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπισ τρέψωσι, καὶ ἰάσομαι αὐτούς. Οὐχ ἡ φύσις ἀλλ' ἡ γνώμη τὰ πάθη ταῦτα εἰργάσατο· οὐ γὰρ τυφλοὶ κατὰ φύσιν ἦσαν, ἀλλ' αὐτοὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν καὶ βαρέως τῶν θείων λογίων ἤκουσαν ὥσπερ ἑαυτοῖς πολεμοῦντες καὶ τὴν διὰ τῆς θέας καὶ τὴν διὰ τῆς ἀκροάσεως καὶ τῆς ἐντεῦθεν φυομένης μεταμελείας ἀπωθούμενοι σωτηρίαν. Καὶ τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον εἴρηκεν· «Ὁ λαὸς οὗτος τὰ ὦτα ἐβάρυνε καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἔμυσε, μήπως ἴδῃ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ ἐν τοῖς ὠσὶν ἀκούσῃ καὶ ἡ καρδία αὐτοῦ οὐ μὴ συνῇ καὶ ἐπιστραφῇ καὶ ἰαθῇ.» Ταῦτα δὲ πάντα οὐ φυσικὴν τῶν μορίων ἀσθένειαν ἀλλὰ τὴν γνωμικὴν ἀπιστίαν σημαίνει· ἑκόντες γάρ φησι καὶ τυφλώττουσι καὶ κωφεύουσι καὶ πάντα πόρον κινοῦσιν, ἵνα μὴ τύχωσι σωτηρίας. 11Καὶ εἶπον· Ἕως πότε κύριε; Ἠρόμην δὲ ἐγὼ τῆς ἀπειθείας τὸν χρόνον μαθεῖν ποθῶν. Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. Μέχρι τέλους φησὶν ἐπιμενοῦσι τῇ πονηρίᾳ, καὶ οὐδὲ ἡ τιμωρία |107 a| μεταβολὴν αὐτοῖς τινα πραγμα τεύσεται· οὔτε γὰρ ἡ τῶν πόλεων πόρθησις οὔτε ἡ τῶν οἰκιῶν κατάλυσις οὔτε τῆς γῆς ἁπάσης ἡ ἐρημία αἴσθησιν αὐτοῖς τινα καὶ τῆς παρανομίας πραγματεύσεται γνῶσιν. Αἰνίττεται δὲ διὰ τούτων τὰ ὑπὸ Ῥωμαίων αὐτοῖς ἐπενεχθέντα κακά. Καὶ ὁ θεῖος δέ γε ἀπόστολος τὰ αὐτὰ τῷ προφήτῃ φησίν· «Ἡ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν, καθὼς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέγραπται· Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας.» Τὸ δὲ ἔδωκεν οὐκ ἐνεργητικῶς δεῖ νοεῖν· εἰ γὰρ αὐτὸς ἔδωκε καὶ μὴ βλέπειν ἠνάγκασε, πῶς εὐθύνας εἰσπράττεται; Πῶς ἀπει θοῦντας κολάζει; Οὐκοῦν τὸ ἔδωκεν ἀντὶ τοῦ συνεχώρησε τέθεικεν· ἐριστικῶς γὰρ καὶ φιλονείκως διακειμένους τοῖς οἰκείοις εἴασεν ἀκολουθεῖν λογισμοῖς· αὐτεξούσιον γὰρ πεποίηκε τῶν ἀνθρώπων τὴν φύσιν. 12Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους. Τὸ μακρυνεῖ «μακρὰν ποιήσει» ὁ Σύμμαχος εἴρηκε, τουτέστιν· εἰς αἰχμαλωσίαν ἐκπέμψει αὐτούς. Καὶ πληθυν θήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς· 13Καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβιν θος καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς. Διὰ τούτων σημαίνει καὶ τὴν προτέραν αὐτῶν καὶ τὴν δευτέραν πολιορκίαν. Οὐεσπασιανὸς μὲν γὰρ πρῶτος στρατηγῶν αὐτοῖς ἐπεστράτευσεν· εἶτα μετὰ τὴν Νέρωνος τελευτὴν τὸν υἱὸν Τίτον καταλιπὼν αὐτὸς διὰ τὴν βασιλείαν ἀνέ στρεψεν. Ὁ Τίτος τοίνυν τὴν πόλιν πολιορκήσας καὶ τὸν ναὸν ἐμπρήσας καὶ πολλοὺς δορυαλώτους λαβὼν εἰς τὴν Ῥωμαίων ἐπανῆλθε μητρόπολιν. Ἀλλ' οἱ τὰς ἐκείνων διαφυγόντες χεῖρας πάλιν ἐπανῆλθον καὶ τὴν πόλιν ᾤκησαν· πολλῷ δὲ οὗτοι τῶν προτέρων οἰκητόρων ἦσαν ἐλάττους· οὗ δὴ χάριν αὐτοὺς τὸ ἐπιδέκατον ἐκείνων καλεῖ, τουτέστι δεκατημόριον. Ἀλλὰ πάλιν Ἀδριανὸς αὐτοῖς στασιάσασι παντελῆ ἐπήγαγεν ὄλεθρον καὶ αὐτὴν δὲ τῆς πόλεως τὴν προσηγορίαν ἐνήλλαξεν ἐκ τῆς οἰκείας ἐπωνυμίας ταύτην καλεῖσθαι κελεύσας· Αἰλία γὰρ ἐκεῖθεν προσηγορεύθη· Αἴλιος γὰρ ἐπίκλην ὠνομάζετο. Ταῦτα τῷ προφήτῃ δια γορεύων εἶπεν ὁ θεὸς ὅτι πάλιν ἔσται εἰς προνομήν. Καὶ τὴν ἐρημίαν αὐτῆς σημαίνων καὶ τῆς καρδίας τὸ ἄκαρπον καὶ ἀντίτυπον, οὐκ ἀπῄκασε δένδρῳ καρπίμῳ ἀλλὰ τερεβίνθῳ καὶ βαλάνῳ καὶ τούτοις φύλλων ἐστερημένοις. Ἢ κατὰ τὸν Σύμμαχον· «Ἔσται εἰς καταβόσκησιν ὡς δρῦς καὶ ὡς βάλανος, ἥτις ἀποβαλοῦσα τὰ φύλλα ἵσταται μόνη.» Σαφῶς γὰρ διὰ τούτων δεδήλωκεν ὅτι κατεβοσκήθη ὑπὸ ἀλλογενῶν ἀνθρώπων καθάπερ ὑπὸ χοίρων αἱ βάλανοι καὶ μεμένηκεν ἔρημος τῶν ἀγαθῶν ὡς δρῦς καὶ βάλανος καρπῶν καὶ φύλλων γεγυμνωμέναι. Ταῦτα ἐν τῇ βασιλείᾳ Ἰωάθαμ καὶ ἰδὼν καὶ μαθὼν ὁ προφήτης–μετὰ γὰρ τὸν Ὀζίαν αὐτὸς ἐβασίλευσεν– τὰ ἐπὶ Ἄχαζ λοιπὸν–υἱὸς δὲ αὐτὸς τοῦ Ἰωάθαμ– γεγενημένα τε καὶ τεθεσπισμένα συγγράφει. Ἀλλ' ὁ μὲν Ἰωάθαμ εὐσεβείας τρόφιμος ἦν, ὁ δὲ Ἄχαζ ἐκ διαμέτρου παράνομός τε ἅμα καὶ δυσσεβής. Οὗ δὴ χάριν τῆς θείας κηδεμονίας οὐκ ἔτυχεν, ἀλλὰ πολέμου συγκροτηθέντος καὶ τοῦ βασιλέως τῶν δέκα φυλῶν παραταξαμένου–Φακεὲ δὲ ἦν ὄνομα τούτῳ Ῥομελίου υἱός–ἀποβάλλει μὲν ἑκατὸν εἴκοσι χιλιάδας ἐν τῷ πολέμῳ, ἐξανδραποδίζουσι δὲ οἱ νενικηκότες γυναικῶν καὶ παιδίων ἑτέρας χιλιάδας διακοσίας. Ἀλλὰ τοὺς μὲν αἰχμαλώτους Ὠδὴδ ὁ προφήτης ἀφεθῆναι πεποίηκεν– ἡ δὲ τῶν |107 b| Παραλειπομένων ἱστορία διδάσκει ταῦτα–πρὸς τοὺς νενικηκότας εἰπών· «Ἰδοὺ ὀργὴ τοῦ θεοῦ τῶν πατέρων ὑμῶν ἐπὶ τὸν Ἰούδαν, καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἀπε κτείνατε ἐν αὐτοῖς ἐν ὀργῇ, καὶ ἕως τῶν οὐρανῶν ἔφθασεν. Καὶ νῦν υἱοὺς Ἰούδα καὶ Ἱερουσαλὴμ ὑμεῖς λέγετε κατακτήσασθαι εἰς δούλους καὶ δούλας· Οὐκ ἰδοὺ οὔκ εἰμι μεθ' ὑμῶν, μαρτύρεται κύριος ὁ θεὸς ὑμῶν· πλημμέλεια μεθ' ὑμῶν κυρίῳ τῷ θεῷ ὑμῶν. Καὶ νῦν ἀκούσατέ μου καὶ ἀποστρέψατε τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλωτεύσατε ἀπὸ τῶν ἀδελφῶν ὑμῶν, ὅτι ὀργὴ κυρίου ἐφ' ὑμᾶς.» Οὗτος ὁ θαυμάσιος προφήτης καὶ τὴν αἰτίαν ὑποδείξας τῆς ἥττης –διὰ γὰρ τὴν ἀσέβειαν παρέδωκεν αὐτοὺς ὀργισθεὶς ὁ θεός–καὶ τῆς συγγενείας ἀναμνήσας ἔπεισεν ἀφεῖναι τοὺς δοριαλώτους γεγενημένους. Καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα πέπονθεν ὁ δυσσεβὴς βασιλεύς· καὶ γὰρ Ἰδουμαῖοι τοὺς πελάζοντας καὶ Ἀλλόφυλοι τοὺς γειτονεύοντας ἐξηνδραπό δισαν. Ὁ δὲ παράνομος βασιλεύς, δέον παρὰ τοῦ θεοῦ τὴν συμμαχίαν αἰτῆσαι, πρὸς τὸν τῶν Ἀσσυρίων κατέφυγε βασιλέα. Ὁ δὲ φιλάνθρωπος δεσπότης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ μὴ καλούμενος συμμαχεῖ καὶ καταφρονούμενος προμηθεῖται. Τοῦτο δὴ κἀνταῦθα πεποίηκεν· τοῦ γὰρ Φακεὲ τὸν βασιλέα τῶν Σύρων εἰς συμμαχίαν καλέσαντος καὶ μετ' ἐκείνου τὴν Ἱερουσαλὴμ ἐπὶ πολιορκίᾳ κατειληφότος ἐξεδειματώθη μὲν εἰκότως ὁ ἀνόσιος βασιλεύς, ἔδεισε δὲ καὶ ὁ λαός· ἡ γὰρ πεῖρα τῶν ἤδη συμβεβηκότων ἠνάγκαζεν ὀρρωδεῖν. Οὕτως δὲ αὐτοὺς τὸ δέος κατέσεισεν ὡς ἐοικέναι δένδροις ὑπὸ σφοδροτέρας ἀνέμων προσβολῆς κλονουμένοις. Ὁ δὲ φιλάνθρωπος δεσπότης ταῦτα δρᾶσαι τῷ προφήτῃ παρεκελεύσατο· 73Ἔξελθε εἰς συνάντησιν τῷ Ἄχαζ <σὺ> καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου πρὸς τῇ κολυμβήθρᾳ τῆς ἄνω ὁδοῦ τοῦ κναφέως. Οὐδαμοῦ μετὰ τοῦ παιδὸς ὁ προφήτης ἐκελεύσθη θεσπίσαι, ἐνταῦθα δὲ μόνον παραλαβεῖν τὸν υἱὸν προσετάχθη, ἐπειδὴ μέλλει τοῦ Ἐμμανουὴλ προαγορεύειν τὴν γέννησιν καὶ τὸν Ἄχαζ διδάσκειν, ὡς διὰ τὸν ἐξ αὐτοῦ τεχθησόμενον τῆς θείας ἀπολαύσεται κηδεμονίας αὐτὸς διὰ τὴν οἰκείαν παρανομίαν τιμωρίας ἄξιος ὤν. 4Καὶ ἐρεῖς αὐτῷ· Φύλαξαι τοῦ ἡσυχάσαι, μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω, μηδὲ φοβηθῇς ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. Τὸ φύλαξαι τοῦ ἡσυχάσαι ὁ μὲν Σύμμαχος «φύλαξαι καὶ ἡσύχασον» ἡρμήνευσεν, ὁ δὲ Ἀκύλας «φύλαξαι καὶ ἡσύχαζε», ὁ δὲ Θεοδοτίων «πρόσεχε καὶ ἡσύχαζε». Ἀντὶ τοῦ· Μὴ πολεμήσῃς μηδὲ παρατάξῃ, νικήσεις γὰρ ἡσυχάζων διὰ τὴν ἐμὴν ἀγαθότητα. Ἐγὼ πατάσσω καὶ ἐγὼ ἰῶμαι· καὶ γὰρ τὴν προτέραν παιδείαν διὰ τὴν σὴν ἐπήγαγον παρανομίαν καὶ νῦν ἐπαμύνω διὰ τὸν ἐκ σοῦ τεχθησόμενον. Μὴ τοίνυν δείσῃς τούτους· δαλοῖς γὰρ ἐοίκασι |108 a| κα πνιζομένοις ἀλλ' οὐ φλεγομένοις–ἀντὶ τοῦ· φοβοῦσι μέν, οὐ βλάψουσι δέ. Δαλὸς δέ ἐστιν ἡμιφλεγὲς ξύλον ἔχον μὲν τοῦ πυρὸς τὰ λείψανα, τῆς δὲ φλογὸς ἐστερημένον. Καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, 5ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν Ἐφραὶμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου κατὰ σοῦ λέγοντες· 6Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν καὶ κακώσομεν αὐτὴν καὶ συλλαλήσαντες αὐτοῖς ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς καὶ βασιλεύσομεν αὐτοῖς τὸν υἱὸν Ταβεήλ, 7τάδε λέγει κύριος Σαβαώθ· Οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη οὐδὲ ἔσται. Καὶ τοὺς ἐκείνων ἐγύμνωσε λογισμοὺς καὶ τὴν ἰδίαν δεδήλωκε ψῆφον· Ἐγὼ γάρ φησι διασκεδάσω τὴν ἐκείνων βουλήν. 8Ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασήν. Ἀρὰμ τοὺς Σύρους ὀνομάζει· τούτων φησὶ Δαμασκὸς μητρόπολις· τῆς δὲ Δαμασκοῦ ὁ βασιλεὺς Ῥασὴν τούτων ἄρχει μόνων, τῆς δὲ Ἱερουσαλὴμ οὐκέτι· τὴν γὰρ τῶν Σύρων αὐτῷ δέδωκε βασιλείαν. Καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραὶμ ἀπὸ λαοῦ. Τὴν αἰχμαλωσίαν προλέγει τὴν ὑπὸ Σαλμανάσαρ καὶ Σεναχηρὶμ γενομένην. Πρῶτος μὲν γὰρ ὁ Φουὰ τὸν φόρον ἐπέθηκε, μετ' ἐκεῖνον δὲ Θεγλαφα λασὰρ ἐνίας ἐξηνδραπόδισε πόλεις, εἶτα Σαλμανάσαρ τὰς πλείστας, καὶ τὰς ὑπολειφθείσας Σεναχηρίμ. 9Καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου. Σομόρων τὴν Σαμάρειαν ἀπὸ τοῦ ὄρους καλεῖ· Σομόρων δὲ ἐκλήθη τὸ ὄρος ἀπὸ τοῦ πρώτου κτησαμένου, ἀπὸ δὲ τοῦ ὄρους ἡ πόλις. Σαμάρεια δέ ἐστιν ἡ νῦν Σεβαστὴ καλουμένη. Λέγει τοίνυν ὅτι τῶν δέκα φυλῶν ἡ Σαμάρεια βασιλεύει, τῆς δὲ Σαμαρείας ὁ τοῦ Ῥομελίου υἱός, καὶ τούτους αὐτοὺς ὑπερβῆναι τοὺς ὅρους οὐ συγχωρήσω. Καὶ τὴν ἀπιστίαν αὐτῶν εἰδὼς ἐπήγαγεν· Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. Ὁ δὲ Σύμμαχος οὕτως· «Ἐὰν μὴ πιστεύσητε, οὐ διαμενεῖτε», ὁ δὲ Θεοδοτίων· «Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ πιστευθείητε»–τῆς γὰρ πίστεως ἡ σωτηρία καρπός–, κατὰ δὲ τοὺς Ἑβδομή κοντα· Οὐ μὴ συνῆτε, ὃ δηλοῖ ὅτι διὰ τῆς πίστεως τῶν θείων ἡ γνῶσις. 10Καὶ προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· 11Αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Ἐπειδὴ ἀπιστεῖς τοῖς εἰρημένοις φησὶ καὶ ψεῦδος τὴν ἐμὴν νομίζεις ὑπόσχεσιν, ἐγὼ βεβαιώσω θαυματουργίᾳ τοὺς λόγους. Αἴτησον τοίνυν ὅπερ βούλει σημεῖον εἴτε οὐράνιον εἴτε ἐπίγειον· τοῦτο γὰρ λέγει εἰς βάθος ἢ εἰς ὕψος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀμφότερα δὲ τῷ τούτου παρέσχε παιδὶ Ἐζεκίᾳ τῷ βασιλεῖ, ἐν οὐρανῷ μὲν ἀναστρέψαι κελεύσας τὸν ἥλιον, ἐν δὲ τῇ γῇ τοὺς Ἀσσυρίους κολάσας καὶ μέντοι καὶ τὴν σωματικὴν αὐτῷ δωρησάμενος ὑγείαν. 12Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω οὐδὲ μὴ πειράσω κύριον. Τούτοις δὲ τοῖς λόγοις οὐχ ὡς καὶ δίχα σημείου πιστεύων |108 b| ἀλλ' ὡς ἀντιλέγων ἐχρήσατο. Οὗ δὴ χάριν ὁ προφήτης οὐκ αὐτῷ λοιπὸν ἀλλὰ πάσῃ τῇ τοῦ Δαυὶδ διαλέγεται συγγενείᾳ καί φησιν· 13Ἀκούσατε δὴ οἶκος Δαυίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; 14Διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. Τοῦτο σαφέστερον ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας ἡρμήνευσαν· «Μὴ οὐκ αὔταρκες ὑμῖν κοποῦν ἀνθρώπους, ὅτι κοποῦτε ἔτι καὶ τὸν θεόν μου;» Οὐκ ἀπόχρη φησὶν ὑμῖν τὸ τοῖς προφήταις ἀντι λέγειν, τὸ τοῖς θείοις ἀντιτείνειν θεράπουσιν, ἀλλὰ καὶ αὐτῷ τῷ δεσπότῃ κελεύοντι προφανῶς ἀπειθεῖτε; ἀλλ' ὅμως καὶ μὴ βουλομένοις σημεῖον ὑμῖν δώσει καινὸν καὶ παρά δοξον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Τοῦτο ἀληθῶς σημεῖον καὶ εἰς βάθος καὶ εἰς ὕψος. Καὶ γὰρ ὁ Θεοδοτίων καὶ ὁ Ἀκύλας οὕτως τοῦτο ἡρμήνευσαν· «Βάθυνον εἰς ᾅδην ἢ ὕψωσον ἄνω.» Ὁ δὲ Ἐμμανουὴλ καὶ εἰς τὸν ᾅδην κατελήλυθε καὶ εἰς τὸν οὐρανὸν ἀνελήλυθε καὶ τὸν εἰς τὸν ᾅδην κείμενον Ἀδὰμ εἰς οὐρανοὺς ἀνεβίβασεν. Ταύτην μέντοι τὴν προφητείαν οὐχ ὡς ἔτυχεν ἐπὶ τοῦ παρόντος προήνεγκεν ἀλλ', ἐπειδὴ ἐδεδίεσαν τῶν πολεμίων τὴν προσ βολὴν καταλύσειν ἀπειλούντων τὴν Δαυιτικὴν βασιλείαν, ἀναγκαίως διδάσκει ὡς ἀδυνάτοις ἐπιχειροῦσιν· Δεῖ γάρ φησι φυλαχθῆναι τὸ Δαυιτικὸν γένος, «ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται» καὶ παράσχῃ τὴν προσδοκωμένην εὐλογίαν τοῖς ἔθνεσιν. Ἐγὼ δὲ τὴν ἀναίδειαν Ἰουδαίων θαυμάζω μὴ δεχομένων τῆς παρθένου τὴν πρόρρησιν· Ἀκύλας γάρ φασι καὶ Θεοδοτίων καὶ Σύμμαχος οὐ παρθένον ἀλλὰ «νεᾶνιν» ἡρμήνευσαν. Ἔδει δὲ αὐτοὺς συνιδεῖν πρῶτον μὲν ὡς τῶν ἑβδομήκοντα ἀνδρῶν ἡ μαρτυρία τῆς ὑπὸ τριῶν γιγνομένης ἀληθεστέρα, μάλιστα ἐν πλήθει τοσούτῳ τὸ σύμφωνον ἔχουσα. Ἔχουσι δὲ ἀπὸ τοῦ χρόνου καὶ τὸ ἀξιόπιστον· πρὸ γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως μετέβαλον τὴν θείαν γραφὴν εἰς τὴν Ἑλλάδα φωνὴν οὐδεμίαν πρόφασιν ἔχοντες κακουργίας. Πρὸς δὲ τούτῳ, ὅτι καὶ θεία χάρις αὐτοῖς εἰς τὴν συμφωνίαν συνήργησεν. Θεοδοτίων δὲ καὶ Ἀκύλας καὶ Σύμμαχος μετὰ τὴν δεσποτικὴν ἐπιφάνειαν ἡρμήνευσαν τὴν θείαν γραφὴν καὶ τὰ Ἰουδαίων φρονοῦντες κακοήθως τὰς δεσποτικὰς προρρήσεις κατέβαλον. Ἀλλ' ὅμως οὐδὲ τοῦτο συνεσκίασε τὴν ἀλήθειαν. Καὶ γὰρ τὸ τῆς νεάνιδος ὄνομα Μωυσῆς ὁ νομοθέτης ἀντὶ τῆς παρθένου προσηγορίας δείκνυται τεθεικώς· «Ἐὰν γάρ τίς» φησιν «εὕρῃ νεᾶνιν ἐν τῷ πεδίῳ καὶ κοιμηθῇ μετ' αὐτῆς», τόδε καὶ τόδε ποιήσατε. Πλὴν μηδὲ τοῦτο δῶμεν εἰρηκέναι τὸν νομοθέτην. Ἀρκεῖ γὰρ εἰς ἀπόδειξιν ἡ τοῦ σημείου προση γορία. Σημεῖον γὰρ καὶ σημεῖον μέγιστον οὗτος ὁ τόκος καλεῖται· οὐδεὶς δὲ σημεῖον καλεῖ τὸ καθ' ἑκάστην ἡμέραν γιγνόμενον· εἰ γὰρ μὴ παρθενικός ἐστιν ἀλλὰ γαμικὸς ὁ τόκος, πῶς τὸ συνήθως κατὰ φύσιν ὁδεῦον σημεῖον προσαγορεύεται; Ἀλλὰ τὴν Ἰουδαίων κ ατηγορίαν ἐπὶ τοῦ παρόντος καταλίπωμεν, τῆς δὲ ἑρμηνείας ἐχώμεθα. Προθεσπίσας τῆς παρθένου τὴν σύλληψιν ὁ προφήτης καὶ τὸν παράδοξον τόκον, καὶ τὴν προσηγορίαν ἐπέθηκεν· Ἐμμανουὴλ γὰρ τὸ βρέφος ὠνόμασεν. Δηλοῖ δὲ τοὔνομα τὸν μεθ' ἡμῶν |109 a| θεόν, τὸν ἐνανθρωπήσαντα θεόν, τὸν τὴν ἀνθρωπείαν φύσιν ἀνειληφότα θεόν, τὸν ἑνωθέντα ταύτῃ θεόν, τὴν τοῦ θεοῦ μορφὴν καὶ τὴν τοῦ δούλου μορφὴν ἐν ἑνὶ υἱῷ γνωριζομένην. Εἶτα προαγορεύει κατὰ ταὐτὸν καὶ τὰ ἀνθρώπεια καὶ τὰ θεῖα· 15Βούτυρον καὶ μέλι φάγεται. Τοῦτο ἀνθρώπειον. Πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρίαν ἐκλέξεται τὸ ἀγαθόν. 16Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Τοῦτο οὐ κατὰ ἄνθρωπον ἀλλ' ὑπὲρ ἄνθρωπον. Τῶν γὰρ ἀνθρώπων ἡ φύσις οὐκ εὐθὺς τικτομένη τὴν διάκρισιν δέχεται τοῦ ἀγαθοῦ καὶ τοῦ χείρονος, ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεῖται χρόνων καὶ μέτρων ἡλικίας καὶ τότε μανθάνει τί μὲν ἀγαθὸν τί δὲ πονηρόν· ὁ δὲ Ἐμμανουὴλ εὐθὺς ἀπὸ σπαργάνων ἀπώσατο τὴν τοῦ χείρονος αἵρεσιν. Οὕτω τὸ σημεῖον δεδωκὼς προλέγει τὴν σωτηρίαν· Καὶ καταλειφθήσεται ἡ γῆ ἣν σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων. Διὰ τοῦτόν φησι τὸν Ἐμμανουὴλ τεύξῃ τῆς σωτηρίας, ἐπειδὴ τέως ἐν τῷ σῷ γένει ἡ ἀνθρωπεία τούτου πεφύλακται φύσις. Ἐπειδὴ δὲ μικρὸν ὕστερον ἔμελλον ἄλλοι ἐπιέναι πολέμιοι, προλέγει κἀκεῖνα διδάσκων ὡς οὐδὲν ἀγνοεῖ τῶν ὅλων ὁ ποιητὴς ἀλλ' αὐτὸς ἅπαντα πρυτανεύει καὶ πρὸς τὸ συμφέρον ἰθύνει. Διά τοι τοῦτο ἐπήγαγεν· 17Ἀλλ' ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας αἳ οὔπω ἥκασιν ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα, τὸν βασιλέα τῶν Ἀσσυρίων. Τὸ δέ· ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα, οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν· «ἀπὸ τῆς ἡμέρας ἧς ἀπέστη Ἐφραὶμ ἀπὸ Ἰούδα». Οὕτω δὲ καὶ ὁ Ἀκύλας. Δηλοῖ δὲ ὁ λόγος ὅτι, ἀφ' ἧς ἡμέρας ἀπέστησαν αἱ δέκα φυλαὶ τῆς τοῦ Ἰούδα φυλῆς καὶ τῆς Δαυιτικῆς βασιλείας, τοιαύτη κακοπραγία καὶ δυσημερία οὐ κατέλαβε τὴν τοῦ Ἰούδα φυλήν, οἵαν αὐτὸν ἀπειλεῖ καταλήψεσθαι. Τίς δὲ αὕτη; ὁ βασιλεὺς τῶν Ἀσσυρίων. Καὶ κατὰ τοὺς Ἑβδομήκοντα δὲ τοιαύτας φησὶν ἡμέρας ἐπάξει ἐπὶ σὲ ὁ θεός, οἵας ἡμέρας οὐκ εἶδες ἀφ' ἧς ἡμέρας ἀφεῖλεν ἑαυτὸν ἀπὸ σοῦ ὁ Ἐφραίμ. Τίνες δὲ αὗται; τῶν Ἀσσυρίων ὁ βασιλεὺς ἐν ταύταις ἐπάγων σοι τὰ κακά. Οὐδὲ γὰρ τὸν βασιλέα τῶν Ἀσσυρίων Ἐφραὶμ ἀφεῖλεν,ἀλλ' ὁ θεὸς ἐπάξει τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ τοιαῦτα διὰ τούτου κακά, οἷα οὐκ εἶδεν ὁ Ἰούδας μετὰ τὸν τοῦ Ἐφραὶμ χωρισμόν. 18Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ κύριος μυίαις αἳ κυριεύσουσι μέρους ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων. Ἀντὶ δὲ τοῦ αἳ κυριεύσουσιν «ὅ ἐστιν ἐν μέρει ποταμοῦ Αἰγύπτου» ὁ Θεοδοτίων εἴρηκεν· οὕτω δὲ καὶ ὁ Σύμμαχος. Μυίας δὲ τοὺς Αἰγυπ τίους καλεῖ ὡς ἐλάττονα βλάψαντας, μελίττας δὲ τοὺς Ἀσσυρίους· σφοδρότερον γὰρ τῆς μελίττης τὸ κέντρον. Μέμνηται δὲ καὶ τῶν Αἰγυπτίων καὶ τῶν Ἀσσυρίων ἡ τῶν Βασιλειῶν ἱστορία. Φαραὼ γὰρ Νεχαὼ τῶν Αἰγυπτίων ὁ βασιλεὺς καὶ τὸν Ἰωσίαν ἀνεῖλε καὶ τὸν Ἰωάχαζ τὸν τούτου παῖδα τῆς βασιλείας γυμνώσας αἰχμάλωτον ἔλαβε καὶ φόρον τελεῖν κατηνάγκασε τὸν Ἰούδαν· Ἀσσύριοι δὲ πρῶτον μὲν μετὰ τοῦ Σεναχηρὶμ τὰς ἄλλας τῆς Ἰουδαίας ἐξεπόρθησαν πόλεις, μετὰ δὲ ταῦτα σὺν τῷ Ναβουχοδο νόσορ καὶ αὐτὴν ἐπολιόρκησαν τὴν Ἱερουσαλὴμ καὶ τὸν θεῖον νεὼν ἐνέπρησαν καὶ τοὺς διαφυγόντας τὸν θάνατον δορυαλώτους ἀνήγαγον. Τοῦτο τὸ πλῆθος διδάσκων ἐπή γαγεν · 19Καὶ ἐλεύσονται καὶ ἀναπαύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ εἰς πᾶσαν ῥαγάδα καὶ ἐν παντὶ ξύλῳ. Διὰ τούτων ἁπάντων τὸ πλῆθος τῶν πολεμίων ᾐνίξατο. Προαγορεύει δὲ μετὰ ταῦτα τὴν παντελῆ τῶν |109 b| Ἀσσυρίων κατάλυσιν. Φησὶ γάρ· 20Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ ξυρῷ τῷ μεμεθυσμένῳ πέρα<ν> τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν ποδῶν, ἔτι καὶ τὸν πώγωνα ἀφελεῖ. Ξυρὸν καλεῖ μεμε θυσμένον τὸν τῶν Μήδων καὶ Περσῶν βασιλέα. Οὗτος γὰρ τῆς δίκης γενόμενος ὄργανον τὴν βασιλείαν τῶν Βαβυλωνίων κατέλυσεν· ταύτην γὰρ καλεῖ κεφαλήν. Καὶ τοὺς πόδας ἐγύμνωσε τῶν τριχῶν, τῶν ὑπ' αὐτοῦ στρατευομένων ἀφελὼν τὴν ἀνδρείαν. Ἀφελεῖ δὲ καὶ τοῦ πώγωνος τὴν εὐπρέπειαν –ἀντὶ τοῦ· γυναῖκας ἀντὶ ἀνδρῶν δείξει τοὺς πολεμίους. 21Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα· 22καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα φάγεται βούτυρον, ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. Μετὰ τὴν ἀπὸ τῆς Ἰουδαίας τοῦ Ναβουχοδονόσορ ἐπάνοδον συνηθροίσθησαν ὅσοι διαπεφεύγασι καὶ πενίᾳ πλείστῃ συμβιοτεύσαντες ἐν τῇ Ἰουδαίᾳ διέτριβον ἀπὸ θρεμμάτων ὀλίγων τὴν ἀναγκαίαν ποριζόμενοι χρείαν. Τῆς δὲ γῆς μηκέτι γεωργουμένης διὰ τὴν τῶν ἀνδρῶν ἐρημίαν εὐπόρει πόας ἀφθόνου τὰ θρέμματα, ἡ δὲ πλείων τροφὴ πηγάζειν ἐποίει τὸ γάλα· οὗ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὴ χάριν καὶ τὰ ὀλίγα πρόβατα τὴν χρείαν ἐπλήρου. Ἐρημίαν τοίνυν ὁ προφητικὸς προεθέσπισε λόγος. Καὶ δῆλον ἐκ τῶν ἐπαγομένων· πάλιν γὰρ προδηλοῖ τὴν ἀκαρπίαν τῆς γῆς· 23Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν. Καὶ αὐτὴ γὰρ ἡ εὔγεως καὶ πολλῆς ἠξιωμένη φιλοπονίας ἐρημίαν δέξεται παντελῆ. 24Μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ. Ποιεῖ δὲ τὴν ἐρημίαν τῶν πολεμίων ἡ προσβολή. 25Καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται· οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος, ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου καὶ καταπά τημα βοός. Τὰ αὐτὰ διαφόρως λέγει ὅτι καὶ τὰ ἄγαν ἠροτριωμένα καὶ πολλῆς ἐπιμελείας ἀξιούμενα ὄρη, ἔνθα πάλαι φόβος οὐκ ἦν, καὶ αὐτὰ διὰ τὴν πολλὴν ἐρημίαν νομὴ βουκολίων καὶ ποιμνίων γενήσεται. Εἰ δὲ καὶ τροπικῶς ἐθέλοι τις τὸ χωρίον νοῆσαι, εὑρήσει καὶ οὕτω τῆς προφητείας τὸ ἀληθές· ὄρος γὰρ ἦν ἀροτριούμενον ὁ Ἰουδαίων λαὸς ὑπὸ νόμου καὶ προφητῶν γεωργούμενος, ἀδεῶς πολι τευόμενος, ἡνίκα τῆς θείας συμμαχίας ἀπέλαυεν. Ἀλλὰ τοῦτο τὸ ὄρος ἐστέρηται τῶν γεωργούντων διὰ τὴν ἀκαρπίαν καὶ νομὴ τῶν ἀλόγων ἐγένετο λογισμῶν. Οὕτω ταῦτα τοῖς Ἰουδαίοις προαγορεύσας ἀναλαμβάνει πάλιν τὸν περὶ τοῦ Ἐμμανουὴλ λόγον· 81Καὶ εἶπε κύριος πρός με· Λάβε σεαυτῷ τόμον καινὸν μέγαν καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου· τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστι γάρ. 2Καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα καὶ Ζαχαρίαν υἱὸν Βαρα χίου. Οὐρίου τοῦ ἱερέως ἡ τετάρτη μέμνηται τῶν Βασιλειῶν, Ζαχαρίου δὲ τοῦ προφήτου ἡ δευτέρα τῶν Παραλειπομένων. Συνήκμασαν δὲ ἀλλήλοις κατὰ τοὺς χρόνους Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ γενόμενοι. Διὰ μέντοι τούτων ἑκάτερον τάγμα εἰς μαρτυρίαν τοῦ παραδόξου τόκου καλεῖ. Καὶ ἐπειδὴ προηγόρευσεν ἤδη τῆς παρθένου τὴν γέννησιν, ὑπὲρ φύσιν δὲ ἦν τὸ εἰρημένον, διδάσκει τῆς συλλήψεως τὸν τρόπον. Καὶ καθάπερ τὴν ἁγίαν παρθένον τὸ τῶν εὐαγγελίων δεξαμένην παράδοξον καὶ πυθομένην· «Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω», ὁ ἅγιος ἐδίδαξε Γαβριὴλ τὸν τῆς συλλήψεως τρόπον εἰρηκώς· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, |110 a| διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται, υἱὸς θεοῦ», οὕτως ἐνταῦθα τοὺς τῇ προρρήσει διαπιστοῦντας ὁ προφητικὸς πιστεύειν διδάσκει λόγος τὸν θεῖον τρόπον ἐπιδεικνὺς καὶ τὸ πανάγιον εἰσάγων πνεῦμα διαρρήδην λέγον· 3Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν. Εἶτα καὶ θεῖναι προσηγορίαν ὁ προφήτης τῷ τεχθέντι κελεύεται· Εἶπε γάρ μοί φησι κύριος· Κάλεσον τὸ ὄνομα αὐτοῦ Ταχέως–σκύλευσον–ὀξέως–προνόμευσον. Καὶ γίνεται αὐτῷ ὄνομα τὸ πρᾶγμα· αὐτοῦ γάρ ἐστι τοῦ κυρίου φωνή· «Ἐὰν μή τις εἰσέλθῃ εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ δήσῃ τὸν ἰσχυρόν, πῶς τὰ σκεύη αὐτοῦ διαρπάσει;» Καὶ εὐθὺς δὲ τεχθεὶς τὰ πρῶτα σκεύη τοῦ διαβόλου, τοὺς μάγους, εἰς προσκύνησιν εἵλκυσεν. Καὶ μέντοι καὶ πρὸ τοῦ τόκου κατὰ τὸν τῆσδε τῆς προφητείας καιρὸν καὶ τῆς Δαμασκοῦ καὶ τῆς Συρίας διὰ τοῦ Ἀσσυρίου κατέλυσε τὴν ἰσχύν. Τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων δηλοῖ· 4Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. Καθάπερ γὰρ ὁ Λευὶ πρὶν εἰς τόνδε παραχθῆναι τὸν βίον πρὸ ἑξήκοντα καὶ ἑκατὸν ἐτῶν διὰ τοῦ Ἀβραὰμ ἀποδεκατωθῆναι λέγεται ἐν τῇ ὀσφύι τοῦ πατριάρχου κρυπτόμενος, οὕτω καὶ πρὸ τῆς κατὰ σάρκα γεννήσεως ὁ Ἐμμανουὴλ διὰ τοῦ Ἀσσυρίου καὶ τὴν Δαμασκὸν καὶ τὴν Σαμάρειαν δίκας ὑπὲρ τῶν κατὰ τὴν Ἱερουσαλὴμ γεγενημένων εἰσέπραξεν. Ταύτῃ κελεύσας ὁ δεσπότης ἐπὶ τῶν πιστοτάτων μαρ τύρων τὸν προφήτην συγγράψαι ἐν τῷ καινῷ τόμῳἔδει γὰρ ἐν τόμῳ καινῷ τὰ περὶ τοῦ καινοῦ καὶ παραδόξου τόκου γραφῆναι, ἀπειλεῖ λοιπὸν τοῖς τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν οἰκοῦσιν ὡς τῆς Δαυιτικῆς βασιλείας καταφρονοῦσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ταύτης προτιμῶσι τῆς Δαμασκοῦ καὶ τῆς Σαμαρείας τὸν βασιλέα καὶ προλέγει τοῦ βασιλέως Ἀσσυρίων τὴν ἔφοδον, λέγει δὲ οὕτω· 5Καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι· 6Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασὶν καὶ τὸν υἱὸν τοῦ Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, 7διὰ τοῦτο ἰδοὺ ἀνάγει κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ πᾶσαν τὴν δόξαν αὐτοῦ. Ὕδωρ τοῦ Σιλωὰμ οὐ τὸν Ἄχαζ καλεῖ τὸν παράνομον ἀλλὰ τὸν ἐν αὐτῷ κρυπτόμενον βασιλέα τὸν Ἐμμανουὴλ προσαγο ρευθέντα, τὸν δεξάμενον προσηγορίαν Ταχέως–σκύλευσον–ὀξέως–προνόμευσον, περὶ οὗ εἴρηται· «Οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἐν ταῖς πλατείαις ἡ φωνὴ αὐτοῦ.» Οὕτω γὰρ καὶ ἐνταῦθα καλεῖται τὸ ὕδωρ τὸ πορευόμενον ἡσυχῇ. Ἐπειδὴ τοίνυν καὶ μετὰ τὴν πρόρρησιν ταύτην προετίμων τὴν τῆς Σαμαρείας καὶ Δαμασκοῦ βασιλείαν, μάλα δικαίως αὐτοῖς τὸν βαρύτατον ἀπειλεῖ βασιλέα καὶ ποταμῷ ἀπεικάζει μεγίστῳ πλημμυροῦντι. Καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν 8καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι. Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. Ταῦτα καὶ ἡ τετάρτη τῶν Βασιλειῶν διδάσκει καὶ ἡ δευτέρα τῶν Παραλειπομένων καὶ ὁ προφή της Ἱερεμίας· πάντας γὰρ τοὺς δυνατοὺς ἀπαγαγὼν ὀλίγους τῶν πενήτων τῆς γῆς κατέλιπε γεωργούς. Μεθ' ἡμῶν ὁ θεός· 9Γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, ἰσχυκότες ἡττᾶσθε. Τὸ μεθ' ἡμῶν ὁ θεὸς «Ἐμμανουὴλ» παρὰ τῷ Ἑβραίῳ κεῖται. Ἐπειδὴτοίνυν τὴν τούτου σύλληψιν καὶ τὸν τόκον προεθέσπισεν ὁ προφήτης, εἰκότως |110 b| ἐπ' αὐτῷ μέγα φρονεῖ καὶ γαυριᾷ κατὰ τῶν πολεμίων καὶ λέγει τοῖς ἤδη νενικη κόσιν Ἰσραηλίταις καὶ Σύροις· Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. 10Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε δια σκεδάσει κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ θεός. Ταῦτα μὲν οὖν κατὰ τὴν πρόχειρον ἔννοιαν καὶ κατὰ τὴν τῶν προηρμηνευμένων ἀκολουθίαν νοητέον. Ἐπειδὴ δὲ τοὺς τὰς ἐσχατιὰς κατοι κοῦντας ὁ προφήτης ἐκάλεσε καὶ αὐτοῖς προλέγει τὴν ἧτταν, ἀληθέστερον ἄν τις ταῦτα τοῖς ἱεροῖς ἀποστόλοις προσαρμόσειε τὰ ῥήματα. Ἐκεῖνοι γὰρ τὴν οἰκουμένην περινοστοῦντες ἐβόων τό· Μεθ' ἡμῶν ὁ θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε, καταδέξασθε τὴν σωτήριον ἧτταν, ὑποτάγητε τῷ κυρίῳ καὶ ἱκετεύσατε αὐτόν, φύγετε τῶν δαιμόνων τὴν δεσποτείαν καὶ τὴν ἀγαθὴν τοῦ κυρίου δουλείαν ἀσπάσασθε· κἂν γὰρ νῦν ἀντείπητε καὶ τὸν καθ' ἡμῶν τυρεύσητε θάνατον, ἀλλὰ μικρὸν ὕστερον ἡττηθήσεσθε, καὶ τὰς πονηρὰς ὑμῶν βουλὰς διασκεδάσει τῶν ὅλων ὁ κύριος· μεθ' ἡμῶν γὰρ οὗτός ἐστιν. Σαφέστερον δὲ οἱ Τρεῖς ἡρμήνευσαν τὸ χωρίον· «Συναθροίσθητε λαοὶ καὶ ἡττᾶσθε, καὶ ἐνωτίσασθε πάντα τὰ πόρρωθεν τῆς γῆς, περιζώννυσθε καὶ ἡττάσθε καὶ πάλιν ζώννυσθε καὶ ἡττᾶσθε· βουλεύσεσθε βουλὴν καὶ διασκε δασθήσεται, λαλήσετε λόγον καὶ οὐ στήσεται· μεθ' ἡμῶν γὰρ ὁ θεός.» Ταῦτα πᾶσι τοῖς τὴν οἰκουμένην οἰκοῦσιν ὁ προφητικὸς λόγος παρεγγυᾷ ὅτι, κἂν μυριάκις περιζώσωνται καὶ παρατάξωνται κατὰ τῶν ἱερῶν ἀποστόλων, ὕστερον ἡττηθήσονται· ὁ γὰρ Ἐμμανουὴλ ἔχει κατὰ πάντων τὸ κράτος. 11Οὕτως λέγει κύριος· Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι καὶ τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου λέγοντες· 12Μὴ εἴπητε σκληρόν. Πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος σκληρόν ἐστιν. Ὁρῶσί φησι τῆς τοῦ θεοῦ δεξιᾶς τὴν ἰσχὺν καὶ τὰ ὑπὸ ταύτης γιγνόμενα θαύματα καὶ ἀντιλέγουσι τὰ αὐτὰ Ἰουδαίοις τολμῶντες καὶ τὴν ἐκείνων πορείαν μιμούμενοι· καὶ γὰρ Ἰουδαῖοι τοῖς ἱεροῖς παρηγγύων ἀποστόλοις τὸν δεσπότην μὴ κηρύττειν Χριστόν. «Οὐ παραγγελίᾳ» γὰρ ἔλεγον «παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν.» Τοῦτον ἐνταῦθα καλεῖ σκληρὸν ὡς τῇ πονηρᾷ τῶν Ἰουδαίων οὐκ ἀρέσκοντα γνώμῃ. Ἀλλ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅμως παρεγγυᾷ διὰ τοῦ προφήτου τὸ πανάγιον πνεῦμα μὴ φοβεῖσθαι τούτων τὰς ἀπειλάς. Τοῦτο γὰρ ἐπήγαγεν· Τὸν δὲ φόβον αὐτοῦ, τουτέστι τοῦ λαοῦ τούτου, οὐ μὴ φοβηθῆτε οὐδ' οὐ μὴ ταραχθῆτε ἀπ' αὐτῶν. Οὕτω καὶ τῷ θείῳ Παύλῳ καθειρχθέντι ἔφη ὁ δεσπότης Χριστός· «Μὴ φοβοῦ Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτως σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.» Καὶ τὴν μεγάλην δὲ ξυνωρίδα τῶν ἀποστόλων, Πέτρον καὶ Ἰωάννην, τῶν δεσμῶν ἀπαλλάξας παρηγγύησεν ἀδεῶς ἐν τῷ ἱερῷ προσενεγκεῖν τῷ λαῷ τὰ ῥήματα τῆς ζωῆς. Οὕτω κἀνταῦθα τὸν ἀνθρώπινον ἐξώρισε φόβον, ἐκέλευσε δὲ τὸν τῶν ὅλων φοβεῖσθαι θεόν. 13Κύριον γάρ φησιν αὐτὸν ἁγιάσατε· καὶ αὐτὸς ἔσται σου φόβος. Εἶτα δείκνυσι τοῦδε τοῦ φόβου τὸ κέρδος· Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, 14ἔσται σοι εἰς ἁγίασμα· καὶ οὐδ' ὡς λίθου προσκόμματι συναντήσεσθε οὐδ' ὡς πέτρας πτώ ματι. Ἀντὶ τοῦ· αὐτὸς ὑμᾶς ἁγιάσει, αὐτὸς ὑμᾶς ποδηγήσει, κατευθυνεῖ, τὴν ὁδὸν λείαν ἐργάσεται, οὐκ ἐάσει προσ πταῖσαι. Τούτου τοῦ λίθου ὁ μακάριος ἐμνημόνευσε Παῦλος. Τὴν αἰτίαν γὰρ τῆς Ἰουδαίων ἀπιστίας διδάσκων τήνδε τὴν μαρτυρίαν παρατέθεικεν· «Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος.» Καὶ ἐπειδὴ τὸ αὐτὸ πνεῦμα διά τε προφητικῆς |111 a| διά τε ἀποστολικῆς ἐφθέγξατο γλώττης, εἰκότως ἐπήγαγεν· Οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλώματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ. Οἴκους ἐκά λεσε καὶ οὐκ οἶκον διὰ τὴν τῆς βασιλείας διαίρεσιν καὶ σημαίνει κατὰ ταὐτὸν τόν τε τοῦ Ἐφραὶμ οἶκον καὶ τὸν τοῦ Ἰούδα· καὶ οὗτοι δὲ κἀκεῖνοι εἶχον πρόγονον τὸν Ἰακώβ. Διδάσκει δὲ ἡ προφητεία, ὡς οἱ μὲν τῷ κυρίῳ πιστεύσαντες αὐτὸν ἔχουσι ποδηγὸν καὶ τὰς κατὰ τὴν ὁδὸν ἐξευμαρίζοντα δυσκολίας, οἱ δὲ ἀπιστήσαντες τῶ<ν> οἴκω<ν> Ἰακὼβ ὡς ἐν παγίδι τινὶ καὶ ἐν κοιλώματι ἢ «σκώλῳ» κατὰ τὸν Ἀκύλαν ἢ «σκανδάλῳ» κατὰ τοὺς Ἄλλους κάθηνται ἐν Ἱερουσαλήμ, ἐν ᾗ παντελῶς αὐτοὺς ὁ Ῥωμαϊκὸς πόλεμος καταλύσει καὶ ὡς ἐν παγίδι θηρεύσει. 15Διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ καὶ πεσοῦνται καὶ συντριβήσονται καὶ ἐγγιοῦσι καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ. Τὸ ἀδυνατήσουσιν ὁ μὲν Σύμμαχος «προσ κόψουσιν» εἴρηκεν, ὁ δὲ Ἀκύλας «σκανδαλωθήσονται». Προσπταίσαντες γὰρ τῷ τοῦ κυρίου σταυρῷ καὶ ἔπεσον καὶ συνετρίβησαν καὶ ἑάλωσαν ὑπὸ τῶν πολεμίων ὡς ἐν πανάγρῳ τινὶ συλληφθέντες τῇ πόλει. Ἀσφάλειαν γὰρ τοὺς περιβόλους ἐκάλεσεν ὡς φρουρήσαντας αὐτοὺς καὶ παρα δεδωκότας τοῖς πολεμίοις. 16Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. Τοὺς τῇ χάριτι προσεληλυθότας διὰ τούτων δεδήλωκεν οἷόν τινας σφραγῖδας ἐπιτιθέντας τῷ νόμῳ καὶ πολιτεύεσθαι κατὰ τοῦτον οὐ βουλομένους. Σαφέστερον δὲ οἱ Τρεῖς ἡρμηνεύκασι· «Δῆσον τὸ μαρτύριον, σφράγισον νόμον ἐν διδακτοῖς μου.» Περιττὸς γὰρ οὗτος τοῖς ἐμοῖς διδακτοῖς. Περὶ τούτων τῶν διδακτῶν καὶ ἕτερος ἔφη προφήτης· «Ἔσονται πάντες διδακτοὶ θεοῦ.» 17Καὶ ἐρεῖ<ς>, τουτέστιν ὁ πεπιστευκώς· Μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. Ὁρῶν γὰρ τοὺς ἀπιστή σαντας τοῦ οἴκου Ἰακὼβ ἐρήμους τῆς ἐμῆς κηδεμονίας γεγενημένους, βεβαιότερόν μοι πιστεύσεις καὶ τὰς ἐμὰς ἀναμενεῖς ὑποσχέσεις. 18Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. Ταύτην ἐπὶ τοῦ κυρίου τὴν μαρτυρίαν τέθεικεν ὁ μακάριος Παῦλος. Εἰρηκὼς γὰρ τὸ «ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε» ἐπήγαγεν· «Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός», εἶτα τοῖς ῥητοῖς τὴν ἑρμηνείαν προσήνεγκεν· «Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παρα πλησίως καὶ αὐτοὺς μετέσχηκε τῶν αὐτῶν παθημάτων, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.» Καὶ τὰ ἐπιφερόμενα δὲ αὐτοῖς τῆς ἀκολουθίας ἐξήρτηται· Καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ κυρίου Σαβαὼθ ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Ταῦτα δὲ τὰ παιδία τοῖς σημείοις οἱ Ἄλλοι συνῆψαν Ἑρμηνευταί. Οὕτω γὰρ οἱ Τρεῖς συμφώνως ἔφασαν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεὸς εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σημεῖα καὶ εἰς τέρατα ἐν Ἰσραὴλ παρὰ κυρίου τῶν δυνάμεων τοῦ κατοικοῦντος ἐν ὄρει Σιών.» Σαφέστερον τοίνυν ἡμῖν τὸν ἀποστολικὸν χορὸν καὶ ἄκοντες δεδηλώκασιν οὗτοι· δεδόσθαι γὰρ ἔφασαν τὰ παιδία εἰς σημεῖα καὶ τέρατα ἐν Ἰσραήλ. Μαρτυρεῖ δὲ τῇ προρρήσει ἡ ἔκβασις· διὰ τούτων γὰρ μετὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν τὰ μυρία ἐθαυματουργήθη σημεῖα εἰς ὠφέλειαν καὶ τοῦ Ἰσραὴλ καὶ πάσης τῆς οἰκουμένης. 19Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Φωνήσατε τοὺς ἐγγα στριμύθους καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας τοὺς κενολογοῦντας οἳ ἐκ τῆς κοιλίας φωνήσουσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ, ὅτι ἐκζητοῦσι |111 b| περὶ τῶν ζώντων τοὺς νεκρούς; Τῆς ἀντιτύπου γνώμης τῶν Ἰουδαίων διὰ τούτων κατηγορεῖ· τῇ γὰρ πλάνῃ παρὰ πάντα τὸν βίον δεδουλευκότες καὶ νεκυίαις κεχρημένοι καὶ τοὺς νεκροὺς περὶ τῶν ζώντων ἐρωτῶντες καὶ τοὺς στερνομάντεις περι σκοποῦντες τοῖς ἀληθέσι τῶν ἀποστόλων οὐκ ἐπίστευσαν θαύμασιν. Καίτοι τὸν νόμον ἐπίκουρον σωτηρίας ἐδέξαντο, καὶ δώρων οὗτος δίχα πρὸς τὴν ἀλήθειαν ἐποδήγει· 20Νόμον γάρ φησιν εἰς βοήθειαν ἔδωκεν, ἵνα μὴ εἴπωσιν ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Ἐπειδὴ δὲ οὔτε τῷ νόμῳ πείθεσθε ποδηγοῦντι οὔτε τοῖς ἀποστόλοις δᾳδουχοῦσι πρὸς τὴν ἀλήθειαν ἀλλὰ μόνην τὴν πλάνην ἀσπάζεσθε, ταῖς πολλαῖς ὑμᾶς περιβαλῶ συμφοραῖς· 21Ἥξει γὰρ ἐφ' ὑμᾶς σκληρὰ λιμός, καὶ ἔσται, ὡς ἐὰν πεινάσητε, λυπηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. Ἔνια δὲ τῶν ἀντιγράφων «πάταχρα» ἔχει. Καὶ αὕτη ἡ διάνοια καὶ τῷ Ἑβραίῳ σύμφωνος καὶ τοῖς Ἄλλοις Ἑρμηνευταῖς· τὸ γὰρ παταχρὴ Σύρων μέν ἐστιν ὄνομα, σημαίνει δὲ τῇ Ἑλλάδι φωνῇ τὰ εἴδωλα. Ταῦτα δὲ ὁ Ἑβραῖος «βελοαῦ» καλεῖ, διὸ δὴ καὶ οἱ Τρεῖς, Ἀκύλας καὶ Σύμμαχος καὶ Θεοδοτίων, οὕτως ἡρμήνευσαν· «Καὶ καταρᾶται ἐν βασιλεῖ αὐτοῦ καὶ ἐν θεοῖς αὐτοῦ.» Καὶ γὰρ ὁ Ἑβραῖος τὸν ἄρχοντα «βασιλέα» κέκληκεν. Τὴν ὑπερβολὴν δὲ τοῦ λιμοῦ διὰ τούτων ἐσήμανεν· τοσαύτη γάρ φησιν ἔσται ἔνδεια ὡς καὶ τοὺς ἄρχοντας καὶ τοὺς παρ' ὑμῶν σεβομένους καὶ προσκυνουμένους βλασφη μηθῆναι θεούς. Καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω 22καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται, καὶ ἰδοὺ ἀπορία στενὴ καὶ σκότος, θλῖψις καὶ στενοχωρία καὶ σκότος ὥστε μὴ βλέπειν· 23καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν τῇ στενοχωρίᾳ ὢν ἕως καιροῦ. Πάντα φησὶ περισκοπήσεις, τὸν οὐρανόν, τὴν γῆν, τοὺς ἄρχοντας, τὰ εἴδωλα, καὶ πάντα σοι ἔσται ἄπορα· καὶ ἡ τῆς θλίψεως ὑπερβολὴ σκότος αὐτοσχέδιον ἐπιπάσει σοι, καὶ τοῦτο οὐδενὶ περιωρισμένον καιρῷ ἀλλ' ἕως θανάτου ταῦτά σοι καθέλξει τὰ ἀλγεινά, τοῦτο γὰρ σημαίνει τό· οὐκ ἀπορη θήσεται ὁ ἐν τῇ στενοχωρίᾳ ὢν ἕως καιροῦ–ἀντὶ τοῦ· οὐ μέτρῳ τινὶ χρόνου ταῦτα περιώρισται, ἀλλ' ἀεὶ ἐν τούτοις ἔσονται. Οὕτω τοῖς ἀπιστοῦσι ταῦτα προαγορεύσας πρὸς τὸν τῶν ἀποστόλων μεταβαίνει χορὸν καί φησιν· Τοῦτο πρῶτον πίε, ταχὺ ποίει χώρα Ζαβουλών, γῆ Νεφθαλὶμ ὁδὸν θαλάσσης καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. 91Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει εἶδε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς λάμψει ἐφ' ὑμᾶς. Ἡ Γαλιλαία τῶν ἱερῶν ἀποστόλων ἦν πατρίς, καὶ μάρτυρες οἱ ἅγιοι ἄγγελοι οὕτως αὐτοὺς μετὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν ὀνομάζοντες· «Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν;» Ζαβουλὼν δὲ καὶ Νεφθαλὶμ ἐκείνην ἔλαχον κλῆρον. Ἐν ἐκείνῃ τὰ πλεῖστα τῶν θαυμάτων ὁ δεσπότης εἰργάσατο, ἐκεῖ τὸν λεπρὸν ἐκάθηρεν, ἐκεῖ τῷ ἑκατον τάρχῃ τὸν οἰκέτην ἀπέδωκεν ὑγιᾶ, ἐκεῖ τὸν τῆς Πέτρου πενθερᾶς κατέσβεσε πυρετόν, ἐκεῖ τὴν Ἰαΐρου θυγατέρα τὸν βίον ὑπεξελθοῦσαν ἐπανήγαγε πρὸς ζωήν, ἐκεῖ τὰ τῆς θαλάττης ἐστόρεσε κύματα, ἐκεῖ τοὺς ἄρτους ἐπήγασεν, ἐκεῖ τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν. Τοῦτο δὲ τῶν θαυμάτων ἁπάντων προοίμιον κατὰ τὴν τοῦ Ἰωάννου τοῦ θεολόγου διδασκαλίαν· διὸ καὶ ἡ χάρις ἐνταῦθα τοῦ πνεύματος διὰ τοῦ προφήτου βοᾷ τοῖς ἐκείνην οἰκοῦσι τὴν χώραν· Τοῦτο πρῶτον πίε τὸ καινὸν καὶ παράδοξον πόμα, πιὼν δὲ μὴ μελλήσῃς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ ταχὺ ποίει, τουτέστι· πίστευσον, ἀκολούθησον, κατὰ τὰς |112 a| θείας ἐντολὰς πολιτεύου. Γαλιλαίαν δὲ τῶν ἐθνῶν καλεῖ ὡς καὶ ἀλλοφύλων ἐθνῶν συγκατοικούντων τοῖς Ἰουδαίοις. Διὰ τοῦτο καὶ ἐν σκότει πορευομένους καὶ σκιᾶς θανάτου χώραν οἰκοῦντας ὀνομάζει τοὺς τῆς χώρας ἐκείνης οἰκήτορας καὶ τοῦ θείου φωτὸς ὑπισχνεῖται τὴν αἴγλην. Οἶμαι δὲ ὅτι καὶ τῶν ἐθνῶν προθεσπίζει τὴν σωτηρίαν· οἱ γὰρ ἐκ τῆς Γαλιλαίας ὁρμώμενοι ἀπόστολοι τὴν τῶν ἐθνῶν ἐνεχειρίσθησαν κλῆσιν· αὐτοῖς γὰρ ὁ κύριος ἔφη· «Μαθητεύσατε πάντα τὰ ἔθνη.» 2<Τὸ> πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου εὐφρανθήσεται ἐνώπιόν σου ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. Ἐπειδὴ γὰρ οὐχ ἅπαντες τῆς ἀκτῖνος ἐκείνης ἀπέλαυσαν, ἀλλὰ πολλοὶ σφᾶς αὐτοὺς ἑκόντες ἐστέρησαν τοῦ φωτός, οὗτοί φησιν, οὓς εἵλκυσας διὰ τῶν θαυμάτων καὶ εὐφροσύνης ἐνέπλησας, διηνεκῶς ταύτης ἀπολαύσονται τῆς εὐφροσύνης θεριστὰς μιμούμενοι καὶ νικηφόρους στρατιώτας σκῦλα διαιρουμένους. Θερισταὶ δὲ προσηγορεύθησαν καὶ οἱ θεῖοι ἀπόστολοι· «Ὑμᾶς» γάρ φησι «θερίζειν ἀπέστειλα εἰς ὃ ὑμεῖς οὐκ ἐκοπιάσατε», καὶ πάλιν· «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ», καὶ ἀλλαχοῦ· «Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ βλέπετε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμόν.» Καὶ τοῦ διαβόλου δὲ καταλύσας τὴν τυραννίδα τὰ τούτου σκῦλα τοῖς ἀποστόλοις διένειμεν· «Πορευθέντες» γὰρ ἔφη «μαθητεύσατε πάντα τὰ ἔθνη.» Εὐφραίνονται δέ φησι, 3διότι ἀφῄρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Ζυγὸν δὲ καλεῖ τοῦ διαβόλου τὴν δεσποτείαν καὶ ῥάβδον τὴν ἐκείνου δουλείαν. Τούτων δὲ τοὺς εἰς αὐτὸν πεπιστευκότας ἠλευ θέρωσεν ὁ δεσπότης ἡμῶν Χριστός. Τὴν γὰρ ῥάβδον τῶν ἀπειθούντων διεσκέδασεν ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. Ἀπει θοῦντας καλεῖ οὐ μόνον τοὺς δαίμονας καὶ τὸν ἐκείνων ἄρχοντα ἀλλὰ καὶ τῶν ἀνθρώπων τοὺς ἀντιλέγοντας τῷ κηρύγματι. Τὴν δὲ τούτων δυναστείαν κατέλυσε δι' ὀλίγων τινῶν καὶ τούτων γυμνῶν, καθάπερ πάλαι διὰ τοῦ Γεδεὼν καὶ τῶν τριακοσίων λαμπαδηφόρων τὰς πολλὰς τοῦ Μαδιὰμ κατηκόντισε χιλιάδας. Ὥσπερ γὰρ ἐκείνους ὅπλων δίχα κατέλυσεν, οὕτω τὴν οἰκουμένην ἅπασαν διὰ δυοκαίδεκα κηρύκων μετέβαλε καὶ τούτων οὐχ ὡπλισμένων ἀλλ' ἕνα χιτῶνα ἐνδεδυμένων, ἀνυποδήτων, οὐδὲ ῥάβδον φέρειν κεκελευσμένων. 4Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν. Οὗτοι δὲ αὐτοὶ οἱ ἀόρατοι δυσμενεῖς οἱ τὸν ἄνθρωπον δι' ἀπάτης γυμνώσαντες τῆς προτέρας δόξης καὶ τῆς θείας εἰκόνος τὴν στολὴν ἀπο δύσαντες αὐτοὶ μὲν δώσουσιν ὧν ἐτόλμησαν δίκας, ἣν δὲ ἔλαβον στολὴν μετὰ καταλλαγῆς ἀποτίσουσιν. Θνητὸν γὰρ τῷ θανάτῳ παραδεδωκότες τοῦ κυρίου τὸ σῶμα ἀθάνατον ἀποδώσουσιν· καὶ ὁ δόλος, ᾧ κατὰ τῶν ἀνθρώπων ἐχρήσαντο, κατὰ τῆς αὐτῶν τραπήσεται κεφαλῆς. Καὶ θελή σουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι, 5ὅτι παιδίον ἐγεννήθη ἡμῖν καὶ υἱὸς ἐδόθη ἡμῖν. Μεμήνασί φησι καὶ λυττῶσι καὶ τῷ φθόνῳ πυρπολοῦνται τὰς ἡμετέρας θεώμενοι δωρεάς, τὸ παιδίον τὸ δι' ἡμᾶς γεννηθέν, τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν τὴν ἀνθρωπείαν περικείμενον φύσιν καὶ τὴν ἡμετέραν πραγματευόμενον σωτηρίαν. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. Ἀθλήσας γὰρ καὶ παλαίσας κατέλυσε τὸν ἀντίπαλον. Ὁ δὲ Σύμμαχος καὶ Θεοδοτίων οὕτω τοῦτο ἡρμήνευσαν· «Καὶ ἔσται ἡ παιδεία ἐπὶ τοῦ ὤμου αὐτοῦ.» «Παιδεία» |112 b| γὰρ «εἰρήνης ἡμῶν ἐπ' αὐτόν», κατὰ τὴν αὐτοῦ τοῦ προφήτου φωνήν, «καὶ αὐτὸς τὰς ἀνομίας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.» Καὶ αὐτός ἐστιν «ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» καὶ αὐτὸς «ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα». Εἰκότως τοίνυν ἔφασαν· «Ἔσται ἡ παιδεία ἐπὶ τοῦ ὤμου αὐτοῦ» ἢ κατὰ τὸν Ἀκύλαν· «Ἐγένετο τὸ μέτρον ἐπὶ τοῦ ὤμου αὐτοῦ.» Τῇ γὰρ τοῦ Ἀδὰμ ἀντέταξεν ἁμαρτίᾳ τὴν οἰκείαν δικαιοσύνην. Εἰ δὲ ὑπὸ κατάραν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐτελοῦμεν ἡμεῖς, κατάρᾳ δὲ καὶ ὁ σταυρὸς ὑπεβέβλητο, τοῦτον δὲ ὁ δεσπότης ἐβάσταξε, ἄρα τὰς ἁμαρτίας ἡμῶν ἐβάσταξε καὶ οὕτως τὸ τέλος ἡ προφητεία ἐδέξατο. Ἐγενήθη γὰρ «ἡ παιδεία» κατὰ τὸν Θεοδοτίωνα καὶ τὸν Σύμμαχον «ἐπὶ τοῦ ὤμου αὐτοῦ». Διδάσκει δὲ ἡμᾶς καὶ τὰς θεοπρεπεῖς αὐτοῦ προσηγορίας ὁ προφητικὸς λόγος· Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Τῆς–με γάλης–βουλῆς–ἄγγελος. Τὴν πατρικὴν γὰρ ἡμῖν ἀνήγγειλε βουλὴν κατὰ τὴν αὐτοῦ φωνήν· «Πάντα ὅσα ἤκουσα παρὰ τοῦ πατρός μου δεδήλωκα ὑμῖν.» Θαῦμα σύμβουλος, σὺ θαυμαστός. Οὕτω γὰρ κείμενον ἐν ἐνίοις εὕρομεν ἀντι γράφοις. Οὕτω δὲ καὶ τῷ Ἰακὼβ διαλεγόμενος ἑαυτὸν ὠνόμασεν· «Τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ αὐτό ἐστι θαυμαστόν.» Σύμβουλος δὲ καλεῖται ὡς τῆς πατρικῆς βουλῆς κοινωνός, ὡς πάντα εἰδὼς ὅσα ὁ πατήρ. Εἶτα τῶν ὀνομάτων τὸ μεῖζον· Θεὸς ἰσχυρός. Τοῦτο δὲ κακουργήσαντες οἱ περὶ τὸν Ἀκύλαν «ἰσχυρὸς δυνατὸς» ἡρμήνευσαν· κεῖται δὲ παρὰ τῷ Ἑβραίῳ «ἠλγιβώρ», τὸ δὲ ἢλ «θεὸς» καὶ κατὰ τὴν τούτων ἑρμηνείαν· τὸ γὰρ «μεθ' ἡμῶν ὁ θεὸς» Ἐμμανουὴλ κείμενον οὕτως ἡρμήνευ σαν. Ἐξουσιαστής. Ἀντὶ τοῦ· οὐχ ὑπ' ἐξουσίαν ἄλλου τελῶν ἀλλ' αὐτὸς πάντων δεσπόζων. Τοῦτο καὶ τὴν Ἀρείου βδελυρίαν ἐλέγχει· δείκνυσι γὰρ αὐτὸν ὁμότιμον ἀλλ' οὐχ ὑπουργὸν τοῦ πατρός. Ἄρχων εἰρήνης. «Αὐτὸς γάρ ἐστι» κατὰ τὸν ἀπόστολον «ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας.» Πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ὥσπερ γὰρ ὁ Ἀδὰμ τοῦ παρόντος αἰῶνος πατὴρ ὀνομάζεται, οὕτως αὐτὸς τοῦ μέλλοντος. «Εἴ τις» γὰρ «ἐν Χριστῷ» φησι, «καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.» Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῷ. 6Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον ἐπὶ τὸν θρόνον Δαυὶδ καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, τοῦ κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν κρίματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Τῷ Δαυὶδ ὑπέσχετο ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ θήσειν ἐπὶ τοῦ θρόνου αὐτοῦ, τούτῳ δὲ ἐπαγγέλλεται βασιλείαν αἰώνιον· «Ὁ γὰρ θρόνος αὐτοῦ» φησιν «ὡς ὁ ἥλιος ἐναντίον μου καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.» Ταύτης τῆς ὑποσχέσεως ἐπὶ τοῦ παρόντος ἐμνημόνευσεν ὑποδείξας ἡμῖν τὸ παιδίον ἐκ τοῦ Δαυὶδ κατὰ σάρκα γεγενη μένον. Οὕτω καὶ ἐν τῷ ἑβδομηκοστῷ πρώτῳ λέγει Ψαλμῷ· «Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν κρίσει.» Καὶ ἐνταῦθα μὲν λέγει· Ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα, ἐκεῖ δὲ πάλιν· «Συμπα ραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.» Λέγει δὲ αὐτοῦ καὶ τὴν ἀρχὴν μεγίστην καὶ ἀπεριόριστον αὐτοῦ τὴν εἰρήνην. Οὕτω δὲ καὶ ἐν τῷ Ψαλμῷ· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.» Εἶτα ἐπήγαγεν· Ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα. Ζηλώσας γὰρ καὶ τὴν τῶν δαιμόνων δυναστείαν μισήσας καὶ τῶν ἀνθρώπων οἰκτείρας τὸ γένος τήνδε τὴν οἰκονομίαν ἐπραγματεύσατο· «Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.» Ἀκήρατον τοί νυν ἣν παρελάβομεν διαφυλάξωμεν πίστιν, ἵνα τῆς αἰωνίου ζωῆς ἀπολαύσωμεν χάριτι |113 a| τοῦ σεσωκότος ἡμᾶς Χριστοῦ, με θ' οὗ τ ῷ πατρὶ ἡ δόξα πρέπει σὺν τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

4 ΤΟΜΟΣ Δ΄ 7

Θάνατον ἀπέστειλε κύριος ἐπὶ Ἰακώβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ. Διηγούμενος ἤδη τὴν κατὰ τῆς Ἱερουσαλὴμ τῶν δέκα φυλῶν ἐπανάστασιν καὶ τὴν κατὰ τοῦτο συμφωνίαν τούτων τε καὶ τοῦ τῆς Δαμασκοῦ βασιλέως καὶ δείξας τοῦ Δαυιτικοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένους τὸ ἄμαχον διὰ τὸ ἐν αὐτῷ κρυπτόμενον σπέρμα καὶ προαγορεύσας τούτου τὸν τόκον καὶ μέντοι καὶ τὸν τοῦ τόκου τρόπον, ἀναλαμβάνει πάλιν τὸν κατὰ τοῦ Ἰσραὴλ λόγον. Τὸν δὲ αὐτὸν καὶ Ἰακὼβ καὶ Ἰσραὴλὀνομάζει· καὶ γὰρ ὁ πατριάρχης Ἰακὼβ τὰς δύο ταύτας εἶχε προσηγορίας, τὴν μὲν ὑπὸ τῶν πατέρων τὴν δὲ ὑπ' αὐτοῦ τεθεῖσαν τοῦ τῶν ὅλων θεοῦ· ἀλλὰ τὸ μὲν Ἰακὼβ φυσι κώτερον ἦν ὄνομα, τὸ δὲ Ἰσραὴλ ἐπίθετον ἦν τῆς κατὰ ψυχὴν ἀρετῆς. Δηλοῖ τοίνυν ἐνταῦθα ὡς τοῖς δυσσεβεστέροις καὶ οἱ ἐπιεικέστεροι τῆς τιμωρίας κεκοινωνήκασιν. Εἰδέναι μέντοι χρὴ ὡς οἱ Ἄλλοι Ἑρμηνευταὶ «λόγον» εἶπον, οὐ «θάνατον», ἀπεστάλθαι. Ἀλλ' ὅμως οὐκ ἔχει διαφωνίαν ἡ ἑρμηνεία· τὴν γὰρ τῆς τιμωρίας ψῆφον ὠνόμασαν λόγον. 8Καὶ γνώσεται πᾶς ὁ λαὸς τοῦ Ἐφραὶμ καὶ οἱ καθήμενοι ἐν Σαμαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες· 9Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε καὶ λαξεύσωμεν λίθους καὶ κόψωμεν συκαμίνους καὶ κέδρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργους. Ἐπιτείχισμα κατασκευάσαι κατὰ τῆς Ἱερουσαλὴμ ἐπειράθησαν, σαθρὰν καὶ πλίνθοις πεπτωκυίαις ἴσην τὴν ἐκείνων ὀνομάζοντες βασιλείαν. Τὰς δέ γε συκαμίνους «συκομόρους» ἔφασαν οἱ Λοιποί. Καὶ λίαν εἰκότως· τούτων γὰρ ἡ Παλαι στίνη πεπλήρωται, καὶ ἐκ τῶν ξύλων τῶν τοιούτων ὀροφοῦσι τὰς οἰκίας. 10Καὶ ῥάξει ὁ θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος Σιὼν καὶ ἐπὶ Ἱερουσαλὴμ ἐπ' αὐτόν. Οἰκειοῦται ὁ θεὸς τὰ κατὰ τῆς Ἱερουσαλὴμ γινόμενα καὶ ὄλεθρον ἀπειλεῖ τοῖς δι' ἐκείνης αὐτῷ πολεμεῖν πειρωμένοις. Καὶ τοὺς ἐχθροὺς Ἰούδα διασ κεδάσει, 11Συρίαν ἀφ' ἡλίου ἀνατολῶν καὶ τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν λαόν μου ὅλῳ τῷ στόματι. Οἱ Ἄλλοι Ἑρμηνευταὶ οὐ τοὺς Ἕλληνας ἀλλὰ»τοὺς Φυλιστιὶμ» ἡρμήνευσαν· οὗτοι δὲ ἦσαν οἱ γειτο νεύοντες Ἀλλόφυλοι. Εἰκὸς δὲ ἦν καί τινας τῶν Ἑλλήνων ἀποίκους μετὰ τῶν Ἀλλοφύλων οἰκεῖν ὡς καὶ Κυπρίους καὶ Καππαδόκας· τοῦτο γὰρ παρὰ τῶν ἄλλων ἐδιδάχθημεν προφητῶν. Λέγει τοίνυν ὡς οὐ μόνον τοῦ Ἰσραὴλ ταῦτα καταψηφίζομαι ἀλλὰ καὶ τοὺς τούτων καταλύω συμμάχους τούς τε πρὸς ἕω τούς τε πρὸς ἑσπέραν οἰκοῦντας. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Μὴ ληγούσης γὰρ τῆς τῶν ἀνθρώπων δυσσεβείας οὐδὲ ἡ τιμωρία δέχεται παῦλάν τινα. Τοῦτο δὲ καὶ διὰ τῶν ἐπιφερομένων δεδήλωκεν. 12Καὶ ὁ λαὸς οὐκ ἀπεστράφη ἕως ἐπλήγη, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἀπεστράφη ὁ θυμός, ἐπειδὴ ὁ λαὸς οὐκ ἀπεστράφη· καὶ διὰ τοῦτο ἡ χεὶρ ὑψηλή, ἐπειδὴ τὸν κύριον οὐκ ἐξεζήτησαν. 13Καὶ ἀφεῖλε κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐράν. Τίνες δὲ αὗται, σαφέστερον λέγει· μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ. Τίς δὲ ὁ μέγας; 14Πρεσβύτην καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας–αὕτη ἡ ἀρχή. Πρόσωπα δὲ θαυμάζοντας τοὺς ἀδίκως κρίνοντας λέγει παρὰ τὸν νόμον τὸν λέγοντα· «Οὐ λήψῃ πρόσωπον δυνάστου.» Εἶτα καὶ τὸ ἄλλο δείκνυσι τάγμα· Καὶ προφήτην |113 b| διδάσκοντα ἄνομα–οὗτος ἡ οὐρά. Ἦσάν τινες ψευδοπροφῆται τἀναντία τοῖς προφήταις προαγορεύοντες καὶ ταῖς θείαις προρρήσεσι πιστεύειν μὴ συγχωροῦντες. 15Καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς. Τούτους αὐτοὺς λέγει τοὺς τὰ ἡδέα ψευδῶς λέγοντας καὶ μισθοὺς ἁδροὺς καρπουμένους παρὰ τῶν ἀκουόντων. 16Διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας οὐκ ἐλεήσει· ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. Δίκαιον γὰρ τοὺς κοινωνοῦντας ἀλλήλοις τῆς πονηρίας κοινωνῆσαι καὶ τῆς τιμωρίας. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεῖρ αὐτοῦ ὑψηλή. Ὥσπερ γὰρ τῇ μετανοίᾳ τῶν ἀνθρώπων ἕπεται ἡ τοῦ δεσπότου φιλανθρωπία, οὕτως ἐπιμενούσης τῆς παρανομίας ἐπιτείνεται ἡ ὀργή. 17Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία καὶ ὡς ἄγρωστις ξηρὰ καυθήσεται ὑπὸ πυρός. Ἐδίδαξεν ἀκριβῶς ὡς οἱ παρανομοῦντες ἐπισπῶνται τὴν τιμωρίαν. Τὴν γὰρ ἀνομίαν πῦρ ἐκάλεσε καὶ ξηρὰν ἄγρωστιν· καὶ καθάπερ ὁ σίδηρος τὸν ἰὸν τίκτει καὶ ὑπὸ τοῦ ἰοῦ καταναλίσκεται, οὕτως ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρανομίᾳ συζῶν καὶ ἐργάζεται τὴν ἁμαρτίαν καὶ διαφ θείρεται ὑπ' αὐτῆς. Καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα. 18Διὰ θυμὸν ὀργῆς κυρίου Σαβαὼθ συγκέκαυται ἡ γῆ ὅλη. Δρυμὸν δασὺν τὸ πλῆθος καλεῖ τὸ ἄκαρπον· καὶ γὰρ ὁ δρυμὸς δασὺς μὲν καὶ πυκνός, ἔρημος δὲ καρπῶν. Βουνοὺς δὲ ὀνομάζει τοὺς ἄρχοντας διὰ τὸ ὑψηλὸν καὶ περίβλεπτον. Καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος. Τὸ σφο δρὸν τῶν πολεμίων διὰ τούτων δεδήλωκεν. Ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει. Τροπῆς γὰρ ἐν τοῖς πολέμοις γενομένης τῆς οἰκείας σωτηρίας ἕκαστος προμηθεῖται καὶ οὔτε πατὴρ υἱοῦ οὔτε υἱὸς πατρὸς οὔτε ἀδελφὸς ἀδελφοῦ κατὰ τὸν τῆς φυγῆς φροντίζει καιρόν. Εἶτα προλέγει τῶν δυσμενῶν καὶ τὴν ῥώμην καὶ τὴν νίκην· 19Ἀλλ' ἐκκλινεῖ εἰς τὰ δεξιὰ ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Ἐν τοῖς πολέμοις οἱ νικῶντες ποτὲ μὲν τοὺς κατὰ τὸ δεξιὸν κέρας διώκουσι ποτὲ δὲ κατὰ τοῦ εὐωνύμου χωροῦσιν, καὶ τὴν φύσιν ἀγνοεῖν ὁ θυμὸς ἀναγκάζει, καὶ ἐοίκασι μεμηνόσιν ἀνθρώποις οἳ τοὺς οἰκείους βραχίονας ὡς ἀλλοτρίους ἐσθίουσιν. Σημαίνει μέντοι διὰ τούτων καὶ αὐτοῦ τοῦ Ἰσραὴλ τὴν διάστασιν καὶ τῶν φυλῶν τὴν διχόνοιαν. 20Φάγεται γάρ φησιν Ἐφραὶμ τοῦ Μανασσῆ καὶ Μανασσῆς τοῦ Ἐφραίμ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν. Ὡς ἐσόμενα τὰ γεγενημένα λέγει κατὰ τὸ ἰδίωμα τῆς Ἑβραίων φωνῆς. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεῖρ αὐτοῦ ὑψηλή. Οὐδὲ γὰρ ἐχρῆν τὸν ἰατρὸν ἀποστῆναι τῆς θερα πείας, μὴ λωφησάσης τῆς νόσου. 101Οὐαὶ τοῖς γράφουσι πονηρίαν, γράφοντες γὰρ πονη ρίαν |114 a| γράφουσιν. 2Ἐκκλίνοντες κρίσεις πτωχῶν, ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τῶν ψευδοπροφητῶν καὶ τῶν ἀδίκων ἀρχόντων κατη γορεῖ, τῶν μὲν ὡς ἐπὶ λύμῃ πολλῶν τὰς ψευδεῖς συγγρα φόντων προρρήσεις, τῶν δὲ ὡς παρανόμως δικαζόντων καὶ προιεμένων τὸ δίκαιον. Εἶτα αὐτοὺς φοβεῖ τῇ μνήμῃ τῆς τιμωρίας· 3Καὶ τί ποιήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; Ἡμέραν γὰρ ἐπισκοπῆς ἐκάλεσε τὸν τῆς τιμωρίας καιρόν. Ὥσπερ γὰρ τὴν τοῦ θεοῦ μακροθυμίαν ὕπνον καλεῖ, οὕτω τὴν τιμωρίαν ἐπισκοπὴν ὀνομάζει. Ἡ γὰρ θλῖψις ὑμῶν πόρρωθεν ἥξει. Τὰ δύο σημαίνει κατὰ ταὐτόν, καὶ ὅτι πόρρωθεν ἥξει καὶ ὅτι τὰ ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπταισμένα ἐν τῷ καιρῷ τῆς δίκης εἰς μέσον ἀχθήσεται καὶ ὑπὲρ πάντων εἰσπραχθήσονται δίκας. Καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; Ἐμοῦ γὰρ πολεμοῦντος τίς ἐπικουρῶν ὠφελήσει; Τοῦτο ἔοικε τῷ παρὰ τῷ μεγάλῳ Μωυσῇ εἰρημένῳ· «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι· καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.» Καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν 4τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν; Ἡ παροῦσά φησιν εὐημερία αἰχμαλώτοις ὑμῖν γιγνομένοις οὐκ ἐπαρ κέσει· ἀπαγωγὴν γὰρ τὴν αἰχμαλωσίαν ἐκάλεσεν. Οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε καὶ οἱ Λοιποὶ δὲ ὁμοίως· «Καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν ὥστε μὴ καμφθῆναι ὑπὸ δεσμόν;» Καὶ ὑποκάτω ἀνῃρημένων πεσοῦνται. Πολ λάκις τινὲς ἐν τοῖς πολέμοις διαφυγεῖν τοὺς ἐναντίους πειρώμενοι μεταξὺ τῶν ἀνῃρημένων νεκρῶν σφᾶς αὐτοὺς κατακρύπτουσιν. Τὴν ὑπερβολὴν τοίνυν τῆς δειλίας αὐτῶν προσημαίνων τοῦτο κἀνταῦθα δεδήλωκεν. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Συνεχῶς ἐπιλέγει τοῦτο καὶ τῆς ἐκείνων ἀπειθείας κατηγορῶν καὶ τῇ τῆς τιμωρίας ἀπειλῇ δεδιττόμενος. Ταῦτα τῇ Σαμαρείᾳ καὶ ταῖς ὑπ' αὐτὴν φυλαῖς προαγο ρεύσας προλέγει καὶ τῶν Ἀσσυρίων τὴν ἔφοδον καὶ τὴν καταληψομένην αὐτοὺς ἐν τῇ τῆς Ἱερουσαλὴμ πολιορκίᾳ πανωλεθρίαν· 5Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ἡ ὀργή μού ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. Ζητητέον τί δήποτε θρηνοῦνται ὑπουργοὶ τῆς θείας τιμωρίας γιγνό μενοι. Χρὴ τοίνυν εἰδέναι τὸν τοῦτο μαθεῖν ἐφιέμενον, ὡς διακόνοις μὲν τῆς τιμωρίας Ἀσσυρίοις ἐχρήσατο οἷόν τινας δημίους κατὰ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρανομούντων καὶ δυσσεβούντων ὁπλίσας, οὗτοι δὲ οὐχ ὡς τῷ θεῷ τῶν ὅλων ὑπουργοῦντες ἔδρων ἃ ἔδρων ἀλλὰ τῇ οἰκείᾳ ῥώμῃ καὶ δυναστείᾳ θαρ ροῦντες κατὰ πάντων ἔχειν ἐφιλονείκουν τὸ κράτος. Διὰ τοῦτο καὶ αὐτοῖς ἔσχατον ὄλεθρον ἀπειλεῖ καὶ τοῦτον διὰ τοῦ οὐαὶ προσημαίνει. Τὴν ὀργήν μου 6εἰς ἔθνος ἄνομον ἀποστελῶ. Τούτους αὐτούς φησιν οἷς τὴν τιμωρητικὴν ἐνεχείρισα ῥάβδον. Καὶ ἐν τῷ ἐμῷ λαῷ συντάξω αὐτῷ τοῦ ποιῆσαι σκῦλα καὶ προνομὴν |114 b| καὶ καταπατεῖν τὰς πόλεις αὐτοῦ καὶ θεῖναι αὐτὰς εἰς κονιορτὸν ὁδῶν. Τὴν πολλὴν ἐρημίαν διὰ τούτων δεδήλωκεν. Εἶτα γυμνοῖ τοῦ βασιλέως τῶν Ἀσσυρίων τοὺς λογισμούς· 7Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται. Οὐκ οἶδέ φησιν ὡς ἐμός ἐστιν ὑπουργὸς καὶ παρ' ἐμοῦ ἔλαβε τῆς τιμωρίας τὴν ἐξουσίαν. Ἀλλ' ἀπαλλάξει ὁ νοῦς αὐτοῦ τοῦ ἀφανίσαι καὶ τοῦ ἐξολοθρεῦσαι ἔθνη οὐκ ὀλίγα. Βεβούλευταί φησι τῇ οἰκείᾳ δυνάμει θαρρῶν πολλῶν ἐθνῶν καταλῦσαι τὴν μνήμην. 8Καὶ ἐὰν εἴπωσιν αὐτῷ· Οὐ σὺ μόνος εἶ ἄρχων, 9καὶ ἐρεῖ· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύργος ᾠκοδομήθη; Καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν; 10Ὃντρόπον ταύτας ἔλαβον, οὕτω καὶ πάσας τὰς χώρας λήψομαι. Τούτοις πρὸς τὸν Ἐζεκίαν ὁ Σεναχηρὶμ τοῖς λόγοις ἐχρήσατο· «Μή σε ἀπατάτω ὁ θεός σου ἐφ' ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ λέγων· Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. Ἰδοὺ σὺ οὐκ ἤκουσας ἃ πεποιήκασι βασιλεῖς Ἀσσυρίων πάσῃ τῇ γῇ, ὡς ἀπώλεσαν αὐτήν, καὶ σὺ ῥυσθήσῃ; Μὴ ἐρρύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν οὓς ἀπώλεσαν οἱ πατέρες μου, τήν τε Γοζὰν καὶ Ἄρραν καὶ Ῥαφὲς καὶ υἱοὺς Ἀδὰν οἵ εἰσιν ἐν χώρᾳ Θεσμάθ; Ποῦ εἰσιν οἱ βασιλεῖς Αἰμὰθ καὶ Ἀρφάδ; Καὶ ποῦ ὁ βασιλεὺς τῆς πόλεως Σεφαρίμ, Αἰνὰ καὶ Γαυά;» Ταῦτα μὲν οὖν ἐκεῖνος τῷ βασιλεῖ γεγράφηκεν Ἐζεκίᾳ· ἐνταῦθα δὲ τοῖς λέγουσιν· Οὐ σὺ μόνος εἶ ἄρχων, τὰ ὅμοια εἴρηκεν. Ὀλολύξατε τὰ γλυπτὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ· 11ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐτῆς. Καὶ ταῦτα τῷ αὐτῷ προσώπῳ συνήρμοσαν οἱ Λοιποὶ Ἑρμηνευταί. Νομίσας γὰρ ὁ ἀλαζὼν ἐκεῖνος καὶ δυσσεβὴς τοῖς ἄλλοις θεοῖς ἐοικέναι τῆς Ἱερουσαλὴμ τὸν θεόν, τοῖς μανικοῖς τούτοις κέχρηται λόγοις, καὶ τῷ Ἐζεκίᾳ δὲ γέγραφεν· Μή σε ἀπατάτω ὁ θεός σου ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. 12Καὶ ἔσται ὅταν συντελέσῃ κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλήμ, ἐπισκέψεται ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν ἄρχοντα τῶν Ἀσσυρίων καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Νοῦν μέγαν τὸν ἀλαζονικὸν λέγει τὸν τὰ ὑπὲρ φύσιν τολμῶντα λογίζεσθαι. Ὕψος δόξης ὀφθαλμῶν τὴν ὑπερβάλλουσαν ὑπερηφανίαν καλεῖ, ᾗ τὸν περὶ τὰ τείχη Ἱερουσαλὴμ ὄλεθρον ἀπειλεῖ. Εἶτα τὸν τῦφον αὐτοῦ διέξεισι καὶ τῶν λόγων καὶ τῶν λογισμῶν. 13Εἶπε γάρ· Τῇ ἰσχύι τῆς χειρός μου ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεώς μου, ἀφελῶ ὅρια ἐθνῶν καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω καὶ σείσω πόλεις κατοικου μένας 14καὶ τὴν οἰκουμένην τῇ χειρί μου καταλήψομαι ὡς νοσσιὰν καὶ ὡσεὶ καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν |115 a| ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι ἀνοίγων στόμα καὶ στρουθίζων. Ταῦτα καὶ διὰ τῶν πρέσβεων καὶ διὰ τῶν γραμμάτων δεδηλώκει τῷ Ἐζεκίᾳ. Ἀλλ' ὁ πᾶσαν τὴν οἰκουμένην ὡς καλιὰν νεοττῶν ἁρπάσειν ἐλπίσας καὶ ὡς ᾠὰ ὑπὸ πτηνῶν πεφευγότων καταλελειμμένα ἀπονητὶ λήψεσθαι, οὗτος δίχα χειρὸς ἀνθρωπείας ἐγυμνώθη τῆς στρατιᾶς. Τὸ μέντοι· ἀνοίγων στόμα καὶ στρουθίζων, ἀπὸ τῆς κρατούσης συνηθείας παρὰ ἀνθρώποις εἴρηται τῇ γραφῇ. Εἰώθαμεν γὰρ λέγειν περὶ τῶν λίαν ἀγωνιώντων· οὐκ ἐτόλμησε γρύξαι. Οἱ δὲ Λοιποί φασιν· «οὐκ ἐτόλμησε τρύσαι.» Τὸ γοῦν· ἀνοίγων στόμα καὶ στρουθίζων, ἀντὶ τοῦ· οὐ μόνον οὐδεὶς ἀντιπαρατάξασθαί μοι τολμήσει ἀλλ' οὐδὲ γρύξαι στρουθοῖς παραπλησίως ἐπιχειρήσει. Πρὸς ταύτην αὐτοῦ τὴν ἀλαζονείαν ὁ τῶν ὅλων θεὸς ἀποκρίνεται· 15Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ὥστε κόπτειν ἑαυτήν; Ἢ ὑψωθήσεται


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρίων ἄνευ τοῦ ἕλκον τος αὐτόν; Ὡσαύτως ἐάν τις λάβῃ ῥάβδον ἢ ξύλον. Μὴ δίχα χειρῶν ἀνθρωπίνων ἡ ἀξίνη κόπτει ξύλα ἢ ὁ πρίων ταῦτα διχῇ καὶ τριχῇ καὶ τετραχῇ διαιρεῖ ἢ ῥάβδος ἢ ξύλον πλῆξαι δύναται μηδενὸς ἐνεργοῦντος; Πῶς οὖν σὺ μέγα φρονεῖς ὡς δίχα τῆς ἐμῆς βουλῆς περιγενόμενος τῶν ἡττη θέντων ἐθνῶν; Εἰκότως δὲ αὐτὸν καὶ τοῖς ἀψύχοις ἀπείκασεν ὡς ἀναισθησίαν νοσοῦντα καὶ ἀλογίαν ἐσχάτην. Καὶ οὐχ οὕτως. Οὐκ ἐάσω σέ φησιν ἐπὶ ταυτησὶ τῆς ἀνοίας, ἀλλὰ διὰ τῆς τιμωρίας μαθήσῃ τὸν πρύτανιν τοῦ παντός. 16Ἀλλ' ἀποστελεῖ κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται. Μετὰ πολλῆς γὰρ δόξης ἐπιστρατεύσας μετὰ πλείονος ἔφυγεν ἀδοξίας. 17Καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καιομένῃ, καὶ φλέξει καὶ φά γεται ὡσεὶ χόρτον τὴν ὕλην. Φῶς τοῦ Ἰσραὴλ τὴν εὐσέβειαν ἐκάλεσεν· «Ἐν τῷ φωτὶ» γὰρ ὁ Ψαλμός φησι «τοῦ προσώπου σου πορεύσονται.» Τοῦτο τὸ φῶς τῷ μὲν Ἰσραὴλ τὴν φωτιστικὴν ἐνέργειαν χορηγήσει, τῇ δὲ καυστικῇ κατὰ σοῦ χρήσεται καὶ οἷόν τινα χόρτον πᾶσάν σου τὴν στρατιὰν δαπανήσει. Τῇ ἡμέρᾳ ἐκείνῃ 18ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. Ὄρη τὸν βασιλέα καὶ τοὺς μετ' ἐκεῖνον ὑπάρχους καλεῖ, βουνοὺς δὲ τοὺς ὑπὸ τούτους τελοῦντας ἄρχοντας, δρυμοὺς δὲ τὸ λοιπὸν πλῆθος τὸ ἄκαρπον. Καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ πυρὸς καιομένου· 19καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἔσονται ἀριθμός, |115 b| καὶ παιδίον μικρὸν γράψει αὐτούς. Οὐ φαινομένων τῶν διωκόντων μετὰ πολλῆς σπουδῆς ἀποδρᾶσαι πειράσονται ὡς ὑπὸ φλογὸς κυκλου μένους καὶ ταύτην διαφυγεῖν πειρωμένους μιμούμενοι. Οὕτω δὲ ἔσονται οἱ τὴν τιμωρίαν διαφυγόντες εὐαρίθμητοι ὡς ῥᾷστον εἶναι καὶ τῷ τυχόντι παιδίῳ τὸν τούτων ἀριθμὸν ἀναγράψαι. Ταῦτα δὲ γεγένηται, ἡνίκα δι' ἑνὸς ἀγγέλου αἱ πέντε καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν διεφθάρησαν χιλιάδες. 20Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ καὶ οἱ διασωθέντες τοῦ Ἰακὼβ οὐκέτι <μὴ> πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς. Ἄχαζ ὁ βασιλεὺς ὑπὸ τοῦ Φακεὲ καὶ τοῦ Ῥασὶν πολεμούμενος τὸν Ἀσσύριον εἰς συμμαχίαν ἐκάλεσε βασιλέα. Προλέγει τοίνυν ὁ προφητικὸς λόγος ὡς τῆς θείας ἀπο λαύσαντες προμηθείας καταφρονήσουσι μὲν τῆς ἀνθρωπίνης ἐπικουρίας, τῆς δὲ εἰς τὸν θεὸν ἐλπίδος ἀνθέξονται. Τοῦτο γὰρ δηλοῖ διὰ τῶν ἑξῆς· Ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. 21Καὶ ἀναστρέψει τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ θεὸν ἰσχύοντα. Ταύτην τοῦ λαοῦ τὴν εὐσέβειαν, ἣν Ἐζεκίας ὁ βασιλεὺς αὐτοὺς ἐξεπαί δευσε, καὶ ἡ τετάρτη τῶν Βασιλειῶν μαρτυρεῖ. Συνήφθησαν δὲ τῇ Ἱερουσαλὴμ καὶ ἐκ τῶν δέκα φυλῶν ὅσοι τὸν Σαλμα νάσαρ καὶ τὸν Σεναχηρὶμ διαφυγεῖν ἠδυνήθησαν, καὶ τῆς πλάνης ἀπαλλαγέντες τῇ τοῦ Ἐζεκίου ἠκολούθησαν εὐσεβείᾳ. 22Καὶ ἐὰν γένηται ὁ λαὸς τοῦ Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. Ἐπειδὴ τὰς δέκα φυλὰς τοῖς Ἀσσυρίων παρέδωκε βασιλεῦσι καὶ τὰς ἄλλας τοῦ Ἰούδα πόλεις πολιορκουμένας παρεῖδε, τὴν αἰτίαν τούτου διδάσκει ὅτι οὐκ εἰς πλῆθος ἀφορῶν ἀλλ' εὐσέβειαν ζητῶν. Τοῦτο γὰρ καὶ μετὰ ταῦτα γενήσεται τῶν μὲν πλείστων Ἰουδαίων μετὰ τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος ἀντιλεγόντων, τῶν δὲ τῆς σωτηρίας ἐφιεμένων προθύμως δεχομένων τῶν ἀποστόλων τὸ κήρυγμα. Εἶτα διδάσκει καὶ τοῦ κηρύγματος τὸ σύντομον καὶ τῆς καινῆς διαθήκης τὸν τρόπον· Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, 23ὅτι λόγον συντετμημένον ποιήσει ὁ θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ. Ταύτης καὶ ὁ θεῖος ἀπόστολος ἐμνήσθη τῆς μαρτυρίας. Διδάσκει δὲ ἡμᾶς ὁ λόγος· ἅπερ ὁ νόμος πολλαῖς ἐντολαῖς καὶ θυσίαις καὶ τιμωρίαις χρώμενος οὐκ ἴσχυσε κατορθῶσαι, ταῦτα ὁ εὐαγγελικὸς κατώρθωσε λόγος σύντομον προσφέρων φάρ μακον σωτηρίας τὸ πανάγιον βάπτισμα. Διὰ γὰρ πίστεως τοῖς ἀνθρώποις σωτηρία δεδώρηται. Οὗτος ὁ συντετμημένος λόγος τῆς δικαιοσύνης συνεργός, ὃν οὐ μόνον Ἰουδαίοις ἀλλὰ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσιν ἀνθρώποις δέδωκεν ὁ θεός. Οὕτω περὶ τῆς καινῆς διαθήκης προαγορεύσας ἐπανάγει πάλιν εἰς τὴν προτέραν ἀκολουθίαν τὸν λόγον· 24Διὰ τοῦτο τάδε λέγει κύριος Σαβαώθ· Μὴ φοβοῦ ὁ λαός μου οἱ κατοι κοῦντες ἐν Σιὼν ἀπὸ Ἀσςυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε. Ῥάβδον ἐκάλεσεν ἐνταῦθα τὴν μετρίαν παιδείαν· καὶ γὰρ πολλὰς τῶν ὑποκειμένων ἐπολιόρκησε πόλεις. Πληγὴν γὰρ ἐγὼ ἐπάγω ἐπὶ σὲ τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου. Καὶ ταύτην δέ σοι τὴν παιδείαν ἐπήγαγον οὐκ ἀδίκως ἀλλὰ τῶν Αἰγυπτιακῶν ἐπιτηδευμάτων σε εἰσπραττόμενος εὐθύ νας· |116 a| ἣν γὰρ παρ' Αἰγυπτίων ἐμεμαθήκεις εἴδωλο λατρείαν, ταύτην διατελεῖς φυλάττων. Ταύτην καὶ ὁ Σύμμαχος ἡρμήνευσε τὴν διάνοιαν· «Ἐν ῥάβδῳ πατάξει σε καὶ τὴν βακτηρίαν αὐτοῦ ἐπαρεῖ ἐπὶ σὲ διὰ τὴν ὁδὸν Αἰγύπτου», τουτέστι διὰ τὴν Αἰγυπτίων μίμησιν· ὁδὸν γὰρ πολλάκις τὸν βίον καλεῖ. 25Ἔτι γὰρ μικρὸν καὶ παύσεταί μου ἡ ὀργὴ ἡ κατὰ σοῦ. Ἐπαγαγών σοι τὴν παιδείαν μεταδώσω καὶ βοηθείας. Ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. Τρέψω δὲ τὴν ὀργήν μου κατὰ τῶν πολεμούντων σοι. 26Καὶ ἐγερεῖ ὁ θεὸς ἐπ' αὐτοὺς μάστιγας κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως. Δύο πληγὰς ἴσμεν τοῦ Μαδιάμ· τὴν μὲν διὰ τοῦ μεγάλου Μωυσέως, τὴν δὲ διὰ τοῦ Γεδεὼν ἐπενεχθεῖσαν αὐτοῖς. Ἀμφότεραι δὲ παράδοξοι, παραδοξοτέρα δὲ ἡ δευτέρα· δίχα γὰρ ὅπλων κατηκοντίσθησαν. Ταύτην δὲ ἔδοσαν καὶ Ἀσσύριοι τὴν δίκην· οὐδενὸς γὰρ οὐ βέλος ἀφέντος, οὐκ ἀκοντίσαντος δόρυ, οὐ χρησαμένου σφενδόνῃ πολλαὶ τῷ θανάτῳ παρεπέμφθησαν μυριάδες. Τοῦτο καὶ ὁ μακάριος ἔφη Δαυίδ· «Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.» Νυσταγμὸν δὲ ἐκάλεσε τοῦ θανάτου τὸ σύντομον. Εἶτα διηγεῖται ὡς βούλεται μὲν μετὰ τὴν πολιορκίαν τῆς Ἱερουσαλὴμ κατὰ τῆς Αἰγύπτου διὰ τῆς Παραλίας ὁρμῆσαι, οὐ μόνον δὲ ἐκείνης διαμαρτήσεται ἀλλὰ καὶ τῶν ἐν χερσὶ στερηθήσεται, τοῦ ἐπικειμένου τῇ Ἱερουσαλὴμ συντριβομένου ζυγοῦ. 27Καταφθαρήσεται γάρ φησιν ὁ ζυγὸς αὐτοῦ ἀπὸ τῶν ὤμων ὑμῶν. Ἔπειτα διδάσκει τὸν πλάνον ὃν ὑπομενεῖ φεύγων καὶ εἰς διαφόρους ὁδοὺς σκεδαννύμενος καὶ διερχόμενος τὴν Ἀγγαὶ καὶ τὴν Μαγεδδὼ καὶ τὴν Μαχμὰς καὶ τὴν Γαβαών. Ὅτι ἀγωνιάσει μὲν ἡ Ῥαμὰ τοῦ Σαοὺλ ἡ πόλις καὶ φεύξεται, βλάβην δὲ οὐ δέξεται, καὶ ἡ Γαλὶμ ἵππον γαυριῶντα μιμουμένη κατ' αὐτοῦ χρεμετίσει, ἥ τε Λαϊσὰ καὶ ἡ Ἀναθὼθ καὶ ἡ Μαδεβηνὰ καὶ ἡ Γαβὶρ ἐκπλαγήσονται τὴν ἀθρόαν τῶν πραγμάτων μεταβολήν. Ταῦτα περὶ τῶν ἄλλων εἰρηκὼς ὁ προφητικὸς λόγος τοὺς τὴν Ἱερουσαλὴμ οἰκοῦντας ψυχαγωγεῖ καὶ μένειν καὶ μὴ φεύγειν παρεγγυᾷ· 31Παρακαλεῖτε 32σήμερον ἐν ὁδῷ τοῦ μεῖναι, παρακαλεῖτε τῇ χειρὶ τὸ ὄρος τῆς θυγατρὸς Σιὼν καὶ τοὺς βουνοὺς τοὺς ἐν Ἱερουσαλὴμ καὶ Ἰούδᾳ. Οὕτωταῦτα περὶ τῶν Ἀσσυρίων προθεσπίσας καὶ τὴν παράδοξον τῆς Ἱερουσαλὴμ σωτηρίαν προαγορεύσας τῆς σωτηρίας τὴν αἰτίαν διδάσκει· 33Ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται καὶ οἱ μετέωροι ταπεινωθήσονται 34καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται. Οὐ μόνον φησὶ τοὺς δυναστεύοντας καὶ μέγα φρονοῦντας παραδώσει θανάτῳ, ἀλλὰ καὶ τὴν κρατοῦσαν τῶν εἰδώλων καταλύσει πλάνην. Λίβανον γάρ φησι τὴν πλάνην, ὑψηλὰ δὲ τὰ ἐν τοῖς ὑψηλοῖς τιμώμενα προση γόρευσεν εἴδωλα. Ἐπειδὴ γὰρ ἐν τῷ Λιβάνῳ πλείστη κατεῖχεν ἐξαπάτη δαιμόνων, ἀπὸ τοῦ μέρους τὸ πᾶν προσηγόρευσεν. 111Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. .......... |116 b| φησι τῆς ῥάβδου τῆς θείας ἀπολαύσεται προμηθείας. Ἄνω μὲν οὖν τὴν ἐκ παρθένου γέννησιν τοῦ Ἐμμανουὴλ προεδήλωσεν, εἶτα τὴν ἐκ πνεύματος ἁγίου ὑπέδειξε σύλληψιν· «Προ σῆλθον» γάρ φησι «πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβεν.» Ἐν γὰρ τῇ παρθενικῇ νηδύι τὸ πανάγιον πνεῦμα διέπλασε τὸν τοῦ θεοῦ λόγου ναόν, τὴν τοῦ δούλου μορφήν, ἣν ἐξ αὐτῆς τῆς κυήσεως ὁ θεὸς λόγος ἀναλαβὼν ἥνωσεν ἑαυτῷ. Μετὰ ταῦτα ἔδειξεν ἡμῖν τοῦ τεχθέντος παιδίου τὴν ἀξίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὰς θεοπρεπεῖς αὐτοῦ προσηγορίας ἐδίδαξεν, ὅτι θεὸς ἰσχυρός, ὅτι ἐξουσιαστής, ὅτι ἄρχων εἰρήνης, ὅτι πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ἐνταῦθα δὲ καὶ τὴν σαρκικὴν αὐτοῦ διδάσκει συγγένειαν ὅτι ἐξ Ἰεσσαὶ κατὰ σάρκα βεβλάστηκεν· πατὴρ δὲ Ἰεσσαὶ τοῦ Δαυίδ. 2Καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· 3πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν. Τῶν μὲν γὰρ προφητῶν ἕκαστος μερικήν τινα ἐδέξατο χάριν, ἐν αὐτῷ δὲ κατῴκησε «πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς», καὶ κατὰ τὸ ἀνθρώπινον δὲ πάντα εἶχε τοῦ πνεύματος τὰ χαρίσματα· «Ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ» κατὰ τὸν θεσπέσιον Ἰωάννην «ἡμεῖς πάντες ἐλάβομεν.» Οὐ κατὰ τὴν δόξαν κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει. Οὐ γὰρ προσεῖχε τῇ δυναστείᾳ τῶν γραμματέων καὶ Φαρισαίων, ἀλλὰ μετὰ παρρησίας αὐτῶν τὴν παρανομίαν διήλεγχεν· «Οὐαὶ ὑμῖν» λέγων «γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί» καὶ τὰ ἄλλα ὅσα τοιαῦτα ἃ ῥᾴδιον τοῖς βουλο μένοις ἐν τοῖς ἱεροῖς εὐαγγελίοις κατανοεῖν. 4Ἀλλὰ κρινεῖ ἐν δικαιοσύνῃ ταπεινῷ κρίσιν. Τοὺς μὲν γὰρ τῆς τῶν δαιμόνων ἠλευθέρου μανίας, τοὺς δὲ τῆς τῶν παθημάτων ἐπικρατείας ἀπήλλαττε, τοῖς δέ γε πιστεύουσι τὴν ὀνησιφόρον καὶ ζωῆς πρόξενον διδασκαλίαν προσέφερεν. Καὶ ἐλέγξει ἐν εὐθύτητι τοὺς ἐνδόξους τῆς γῆς. Τοῦτο πράως μὲν ἐν τῇ προτέρᾳ ἐπιφανείᾳ πεποίηκε, βασιλικῶς δὲ καὶ ἐξουσιαστικῶς ἐν τῇ δευτέρᾳ ποιήσει τοῖς θείοις ἐγκαθήμενος θώκοις καὶ τὰς δικαίας ψήφους ἐκφέρων. Καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. Τῇ γὰρ θεοπρεπεῖ τῶν ἀποστόλων διδασκαλίᾳ οὐρανὸν τὴν γῆν ἀπειργάσατο, πολλοὺς ἐν ἑκάστῳ ἔθνει τῶν γηίνων ἀποστήσας πραγμάτων καὶ τὴν οὐράνιον ἀσπάςασθαι πολιτείαν παρασκευάσας. Καὶ τῷ πνεύματι διὰ χειλέων ἀνε λεῖ τὸν ἀσεβῆ. Τοῦτο καὶ ὁ θεῖος ἀπόστολος περὶ τοῦ ἀντιχρίστου προείρηκεν· «Τότε» γάρ φησιν «ἀποκα λυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπι φανείᾳ τῆς παρουσίας αὐτοῦ.» Τοῦτο καὶ αὐτὸς οὗτος ὁ προφήτης μετ' ὀλίγα βοᾷ· «Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου.» 5Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφῦν αὐτοῦ καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ. Τοῦτο καὶ ὁ μακάριος Δαυὶδ ἔφη· «Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης.» Διὰ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης πᾶν εἶδος συμπεριέλαβεν ἀρετῆς· ταύτας αὐτῷ καὶ ἀντὶ περιβολαίου καὶ ἀντὶ ζώνης γεγενῆσθαί φησιν. Εἶτα τῆς |117 a... οἰκονομίας τὰ κατορθώματα λέγει· 6Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ λέων καὶ ταῦρος ἅμα βοσκηθήσονται. Διὰ τῶν ἡμέρων καὶ ἀγρίων ζῴων τροπικῶς τῶν ἀνθρωπείων ἠθῶν ἐδίδαξε τὴν διαφοράν. Λύκῳ μὲν γὰρ ἀπεικάζει τὸ ἁρπακτικὸν ἦθος, προβάτῳ δὲ τὸ ἥμερόν τε καὶ πρᾶον καὶ αὖ πάλιν παρδάλει μὲν τὸ ποικί λον–κατάστικτον γὰρ τὸ ζῷον–, ἐρίφῳ δὲ τὸ ἁπλοῦν τε καὶ ἄκακον· οὕτω λέοντι μὲν τὸ ὑπερήφανον καὶ ἀρχικόν, ταύρῳ δὲ τὸ θρασύ, μοσχαρίῳ δὲ τὸ τούτων ἀπηλλαγμένον. Ἀλλ' ὅμως κατὰ ταὐτὸν αὐτὰ νεμηθήσεσθαι λέγει. Καὶ ὁρῶμεν τῆς προφητείας ἐν ταῖς ἐκκλησίαις τὸ τέλος καὶ βασιλέας καὶ ὑπάρχους καὶ στρατηγοὺς καὶ στρατιώτας καὶ ἀποχειροβιώτους οἰκέτας τε καὶ προσαίτας τῆς ἱερᾶς κατὰ ταὐτὸν κοινωνοῦντας τραπέζης, τῶν αὐτῶν ἐπαΐοντας λόγων, τῆς αὐτῆς κολυμβήθρας ἀξιουμένους. Καὶ παιδίον μικρὸν ἄξει αὐτούς. Τοὺς γὰρ ἐπὶ δυνάμει γαυριῶντας καὶ ἐπὶ σοφίᾳ βρενθυομένους ἄνθρωπος τῇ κακίᾳ κατὰ τὴν ἀποστολικὴν παραίνεσιν νηπιάζων καὶ τῇ ἁλιευτικῇ ἁπλότητι διακοσμούμενος ἄγει καὶ νέμει. 7Καὶ βοῦς καὶ ἄρκος ἅμα συνβοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα. Ὁρῶμεν δὲ καὶ τούτων τὸ τέλος· πολλοὶ γὰρ πλούτῳ περιρρεόμενοι καὶ ἀφθόνους ἔχοντες τρυφῆς ἀφορμὰς τὴν νηστείαν τῆς χλιδῆς προτιμῶσι καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μιμοῦνται λέοντα σαρκοβόρον ἀχύρων μεταλαγχάνειν αἱρούμενον. 8Καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἀπογεγα λακτισμένον ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ. Τοιοῦτος ἦν ὁ μακάριος Παῦλος τοῖς Ἐπικουρείοις καὶ Στωικοῖς διαλεγόμενος φιλοσόφοις καὶ ἐπὶ τοῦ Ἀρείου πάγου δημηγορῶν καὶ κατατολμῶν τῶν ἀσπίδων καὶ οἷόν τινα χεῖρα τὸν ἁπλοῦν αὐτοῦ λόγον ὡς εἰς κατάδυσιν θηρίων τὴν τούτων ἀκοὴν ἐμβάλλειν ἐπιχειρῶν· καὶ γὰρ δαιμόνων ἦν κατάδυσις ἡ ἐκείνων καρδία. 9Καὶ οὐ μὴ κακοποιήσωσιν οὐδ' οὐ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. Τούτῳ ἔοικεν ἡ εὐαγγελικὴ τοῦ κυρίου φωνή· «Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.» Ὄρος τοίνυν ἅγιον τὸ ὑψηλὸν καὶ ἰσχυρὸν καὶ ἀκίνητον τῆς θείας αὐτοῦ διδασ καλίας καλεῖ καὶ τοῖς ἐπὶ τούτῳ ἑστῶσι τὸ ἀκαταγώνιστον ἐπαγγέλλεται. Εἶτα δείκνυσι τὴν τοῦ κηρύγματος δύναμιν· Ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν κύριον ὡς ὕδωρ πολὺ κατακαλύψει θαλάσσας. Μέγιστον δὲ ἀληθῶς καὶ παραδοξότατον τὸ θαῦμα καὶ ἔοικε ψεκάσιν ὀλίγαις ἐπιφερομέναις θαλάττῃ καὶ τὴν ἐν ταύτῃ μεταβαλλούσαις πικρίαν καὶ γλυκείαν ἐργαζομέναις τὴν ταύτης ποιότητα· οὕτως γὰρ ὁ εὐαγγελικὸς λόγος κατέπαυσε μὲν τὴν τῆς οἰκουμένης ἀσέβειαν, πᾶσαν δὲ γῆν καὶ θάλατταν θεογνω σίας ἐπλήρωσεν. 10Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. Καὶ τῶν θείων ἀνέμνησεν ὑποσχέσεων καὶ τῶν Ἰακὼβ τοῦ πατριάρχου προρρήσεων. Ὁ μὲν γὰρ θεὸς πρὸς τὸν Ἀβραὰμ ἔφη· «Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς.» Ταύτην δὲ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ δέδωκε |117 b| τὴν ὑπόσχεσιν. Ὁ δὲ πατριάρχης Ἰακὼβ τῷ Ἰούδᾳ ἣν ἔλαβεν ἔδωκεν εὐλογίαν καί φησιν· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσ δοκία ἐθνῶν.» Ταύτην βεβαιοῖ τὴν προφητείαν καὶ ὁ θαυμάσιος οὗτος προφήτης καὶ δείκνυσιν αὐτὸν ἐξ Ἰεσσαὶ μὲν καὶ Δαυὶδ τὸ κατὰ σάρκα γένος κατάγοντα, ἄρχοντα δὲ οὐκέτι Ἰουδαίων ἀλλὰ τῶν ἐθνῶν καὶ εἰς αὐτὸν πιστεύοντας οὐκ Ἰουδαίους ἀλλὰ τὰ ἔθνη. Ἄξιον δὲ θρηνῆσαι τὴν Ἰουδαίων ἐμβροντησίαν, οἳ τῷ Ζοροβάβελ ταύτην προσαρ μόττουσι τὴν προφητείαν, ὃς οὐδὲ Ἰουδαίων ἦρξεν ἁπάντων ἀλλ' ὀλίγων τινῶν, ἐθνῶν δὲ οὐδὲ ὅλως. Ἀλλ' ἡμεῖς ἐκείνους καταλιπόντες τῆς ἑρμηνείας ἐχώμεθα. Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. Ἐπειδὴ γὰρ εἶπεν αὐτοῦ τὴν βλάστην καὶ τῆς οἰκονομίας τὰ κατορθώματα καὶ τὴν ἀρχὴν ὑπέδειξεν, ὑποδείκνυσι καὶ τὸ ἐν μέσῳ γενόμενον πάθος μεθ' ὃ τῆς οἰκουμένης ἐκράτησεν. Διά τοι τοῦτο ἀνάπαυσιν προσαγορεύει τὸν θάνατον καὶ τιμήν. Ἀγνοούμενος γὰρ πρὸ τῆς ἐνανθρωπήσεως ὑπὸ τῶν ἐθνῶν, μετὰ τὴν ἐνανθρώπησιν καὶ τὸ πάθος δέχεται παρὰ πάντων ὡς ποιητὴς καὶ θεὸς τὴν θείαν προσκύνησιν. 11Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι καὶ ζητῆσαι τὸ κατα λειφθὲν ὑπόλοιπον τοῦ λαοῦ ὃ ἐγκατελείφθη ὑπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου καὶ ἀπὸ Βαβυλῶνος καὶ ἀπὸ Αἰθιοπίας καὶ ἀπὸ Ἐλαμιτῶν καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας καὶ ἀπὸ τῶν νήσων τῆς θαλάσσης. Ἐδίδαξεν ἡμᾶς ἡ ἱστορία τῶν Πράξεων, ὡς τὴν οἰκουμένην περινοστοῦντες οἱ θεῖοι ἀπόστολοι πρώτοις Ἰουδαίοις ἐκήρυττον. Ἀμέλει τοῖς ἀντιλέγουσιν ὁ μακάριος ἔφη Παῦλος· «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς κρίνετε τῆς αἰωνίου ζωῆς, καθαροὶ ἡμεῖς ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορευ σόμεθα.» Πεπιστεύκασι δὲ ὅμως μυριάδες πολλαί, καὶ τρισχίλιοι καὶ πεντακισχίλιοι κατὰ ταὐτὸν ὑπ' αὐτῶν ἐζωγρήθησαν, καὶ ὁ θειότατος δὲ Ἰάκωβος τῷ θεσπεσίῳ Παύλῳ πολλὰς Ἰουδαίων πεπιστευκότων ὑπέδειξε μυριάδας. Περὶ τούτων ἡ τοῦ παναγίου πνεύματος χάρις καὶ διὰ Ἡσαΐου προηγόρευσε τοῦ προφήτου ὅτι αὐτοὺς καὶ ζητήσει καὶ τῆς σωτηρίας ἀξιώσει. Τοῦτο δὲ καὶ διὰ τῶν ἐπαγομένων δεδήλωκεν· 12Τοι γαροῦν ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνάξει τοὺς ἀπο λομένους Ἰσραὴλ καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. Ποῖον δὲ σημεῖον ἀλλ' ἢ τὸ τοῦ σταυροῦ σύμβολον, δι' οὗ καὶ τοὺς ἐκ τοῦ Ἰσραὴλ καὶ τοὺς ἐκ τοῦ Ἰούδα πλανωμένους πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν; 13Καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραίμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται· Ἐφραὶμ οὐζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει τὸν Ἐφραίμ. Ταῦταπάλαι ἐγένετο τῆς βασιλείας διῃρημένης· μετὰ δὲ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τὴν παλαιὰν ἔσχον ὁμόνοιαν. 14Καὶ πετασθήσονται ἐν πλοίοις Ἀλλοφύλων, θάλασσαν ἅμα προνομεύοντες καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ Ἰδουμαίαν. Οὐ γὰρ μόνην τὴν ἤπειρον οἱ θεῖοι ἀπόστολοι ἀλλὰ καὶ τὴν θάλατταν περαιούμενοι καὶ ταῖς νήσοις προσέφερον τοῦ νοεροῦ φωτὸς τὴν ἀκτῖνα· καὶ γὰρ ἐν Κύπρῳ Βαρνάβας καὶ Παῦλος, τὸ ζεῦγος τὸ ἱερὸν τὸ τῶν ἐθνῶν τὴν γεωργίαν ἐγχειρισθέν, καὶ τοῦ Ἐλύμα τὸ ψεῦδος διήλεγξε καὶ τὴν ἀλήθειαν ἔδειξεν· καὶ τῆς |118 a| Κρήτης τὸν Τίτον ἀπόστολον κεχειροτόνηκεν ὁ μακάριος Παῦλος καὶ τὸν Τιμόθεον τῆς Ἐφέσου. Ταῦτα τοίνυν τὸ πανάγιον πνεῦμα διὰ τοῦ προφήτου προείρηκεν ὅτι οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὴν θάλατταν προνομεύσουσι καὶ καθάπερ τινὲς στρατηγοὶ ἔθνη τινὰ ἀποστάντα καὶ πρὸς τύραννον αὐτομολήσαντα, περιγενόμενοι καὶ κρατήσαντες τῷ τῶν ὅλων προσάξουσι βασιλεῖ καὶ διαπεράσουσι τὰ πελάγη οὐκ Ἰουδαίους ἔχοντες κυβερνήτας καὶ ναύτας ἀλλ' ἀλλογενεῖς καὶ ἀλλοφύλους. Καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται. Καὶ τοῦτο ἡμᾶς ὁ μακά ριος Παῦλος διδάσκει. Γαλάταις γὰρ ἐπιστέλλων ταῦτα μετὰ τὸ προοίμιον τέθεικεν· «Ὅτε εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς χάριτος ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι οὐδὲ ἀνῆλθον εἰς Ἱερουσαλὴμ πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.» Τῆς δὲ Ἀραβίας καὶ Μωαβῖται καὶ Ἀμμανῖται· ἡ μὲν γὰρ νῦν Φιλαδέλφεια προσαγορευομένη –ἐστὶ δὲ πόλις τῆς Ἀραβίας λαμπρά–Ἀμμὰν μέχρι καὶ τήμερον τῇ ἐπιχωρίῳ καλεῖται φωνῇ, Μωὰβ δὲ ἡ Χαραχμωβά, τῇ δὲ Ἀρειοπόλει πελάζει. Ἐδείχθη τοίνυνδιὰ τῆς ἀποστολικῆς μαρτυρίας ἡ τῆς προφητείας ἀλήθεια. 15Καὶ ἐρημώσει κύριος τὴν θάλασσαν Αἰγύπτου. Οὐ γὰρ μόνον τὰ εἰρημένα ἔθνη εἰς εὐσέβειαν ποδηγήσει ἀλλὰ καὶ τῆς Αἰγύπτου καταπαύσει τὴν πλάνην. Θάλατταν γὰρ Αἰγύπτου τὴν πικρὰν καὶ ἄποτον ἀσέβειαν προσηγόρευσεν. Καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ <τὸν> ποταμὸν πνεύματι βιαίῳ. Καὶ τὸν ποταμὸν δὲ ὡσαύτως ἀντὶ τῆς πλάνης τέθεικεν. Ὥσπερ γὰρ τῆς σωματικῆς ζωῆς τὰς ἐλπίδας εἰς τὸν ποταμὸν ἔχουσιν ὡς δι' ἐκείνου δρεπόμενοι τοὺς καρπούς, οὕτω τῇ τῶν εἰδώλων ἐδεδούλωντο πλάνῃ. Ἀλλ' ὅμως καὶ ἐπὶ τοῦτον τὸν ποταμὸν τὴν χεῖρα αὐτοῦ φησιν ἐπιβαλεῖ πνεύματι βιαίῳ. Πνεῦμα δὲ καλεῖ βίαιον τῶν εὐσεβῶν τὴν δυναστείαν, δι' ὧν ἀνετράπη τὰ τῶν εἰδώλων τεμένη καὶ νόμοις ἐκωλύθη τῶν δαιμόνων τὸ σέβας. Καὶ πατάξει αὐτὸν εἰς ἑπτὰ φάραγγας ὥστε διαπο ρεύεσθαι αὐτὸν ἐν ὑποδήμασιν. Τῆς γὰρ βασιλείας αὐτῶν ὑπὸ Ῥωμαίων καταλυθείσης εἰς ἑπτὰ διῃρέθησαν ἐπαρχίας καὶ τὸ πρότερον κατέλυσαν θράσος καὶ βατοὶ τοῖς τῆς ἀληθείας ἐγένοντο κήρυξιν. 16Καὶ ἔσται δίοδος τῷ κατα λειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ καὶ ἔσται τῷ Ἰσραὴλ ὡς τῇ ἡμέρᾳ ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου. Ὅτι ὥσπερ ἐξήγαγον αὐτοὺς ἐκ τῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, οὕτως εἰσάξω πάλιν αὐτοὺς μετὰ θαυμάτων εἰς τὴν Αἴγυπτον καὶ διὰ τούτων κἀκείνους πρὸς τὴν ἀλήθειαν ποδηγήσω. 121Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε κύριε, διότι ὠργίσθης μοι καὶ ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ καὶ ἠλέησάς με. 2Ἰδοὺ ὁ θεός μου σωτήρ μου κύριος, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ καὶ σωθήσομαι ὑπ' αὐτοῦ καὶ οὐ φοβηθήσομαι, διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου κύριος καὶ ἐγένετό μοι σωτήρ. Ὁ ὕμνος τὴν ἐπίγνωσιν τῆς εὐεργε σίας δηλοῖ· οἱ γὰρ ταύτης τετυχηκότες τὸν ταύτης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἴτιον μεμαθηκότες οἷς δύνανται τὸν εὐεργέτην ἀμείβονται. Αὐτοῦ δὲ ἔστι νόμος σαφῶς διαγορεύων· «Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως», καὶ πάλιν· «Θυσία αἰνέσεως δοξάσει με. 3Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Πηγὰς σωτηρίου τὰς θείας καλεῖ γραφάς, ἐξ ὧν οἱ γνησίως πεπιστευκότες μετ' εὐφροσύνης ἀρύονται. 4Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα |118 b| αὐτοῦ, μιμνῄσκεσθε τὸ ὄνομα αὐτοῦ, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ταῦτα τῷ χορῷ τῶν ἀποστόλων ἁρμόττει καὶ τοῖς μετ' ἐκείνων ἐξ Ἰουδαίων πεπιστευκόσιν, οἳ καὶ εἰς τὰ ἔθνη διεπόρθμευσαν τὴν θείαν διδασκαλίαν καὶ παρηγγύων ἀλλήλοις τὴν δεσποτικὴν πληροῦν ἐντολὴν τὴν λέγουσαν· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.» 5Ὑμνήσατε τὸ ὄνομα κυρίου ὅτι ὑψηλὰ ἐποίησεν, ἀναγ γείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. 6Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες ἐν Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς. Καὶ τὴν οἰκουμένην εἰς κοινωνίαν καλοῦσι τῆς εὐφροσύνης καὶ τῇ Σιὼν διαφερόντως ὑμνεῖν τὸν εὐεργέτην παρακελεύονται ὡς ἐν αὐτῇ τοῦ ἁγίου Ἰσραὴλ ὑψωθέντος. Αἰνίττεσθαι δέ μοι ὁ λόγος δοκεῖ οὐ μόνον τῶν θαυμάτων τὸ ὕψος ἀλλὰ καὶ τὸν σταυρὸν τὸν σωτήριον ᾧ τὸν δεσπότην προσήλωσαν. Καὶ γὰρ αὐτὸς ὁ δεσπότης οὕτω πρὸς Ἰουδαίους ἔφη· «Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι», καὶ πάλιν· «καθὼς Μωυσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου.» Ἡμεῖς δὲ οἱ εἰς αὐτὸν πεπιστευκότες εἰς αὐτὸν ἀπο βλέψωμεν, ἵνα, καθάπερ οἱ Ἰουδαῖοι τῇ τοῦ χαλκοῦ ὄφεως θεωρίᾳ τῶν ἰοβόλων ὄφεων ἤμβλυναν τὴν ἐνέργειαν, οὕτως ἡμεῖς τῇ εἰς αὐτὸν θεωρίᾳ τὰ τῆς ἁμαρτίας δήγματα θερα πεύσωμεν καὶ τῆς σωτηρίας τέλεον ἀπολαύσαντες καὶ τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν χάριτι τοῦ τὴν ψυχὴν αὐτοῦ τεθεικότος ὑπὲρ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα πρέπει σὺν τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 5 ΤΟΜΟΣ Ε´ 131Ὅρασις κατὰ Βαβυλῶνος ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς. Οἱ Ἀσσύριοι πάλαι μὲν εἶχον ἐν τῇ Νινευὴ τὰ βασίλεια, ὕστερον δὲ ἐν Βαβυλῶνι. Ὁ δὲ θεῖος προφήτης τὰ συμβη σόμενα τῷ Σενναχηρὶμ προθεσπίσας, ὃς τὴν Νινευὴ πόλιν εἶχε βασιλικήν, μεταφέρει τὴν προφητείαν ἐπὶ τὸν Ναβουχο δονόσορ καὶ τὴν ἐκείνου πόλιν, τὴν Βαβυλῶνα, καὶ προλέγει τὸν ἐσόμενον ὄλεθρον. 2Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον. Τινὲς ἔφασαν ἐπ' ὄρους ὁμαλοῦ κεῖσθαι τὴν πόλιν· οὐ συμφωνοῦσι δὲ τῷ λόγῳ οἱ τῶν τόπων αὐτόπται. Οἶμαι τοίνυν διὰ μὲν τοῦ ὄρους τὸ παλαιὸν ὕψος τῆς Βαβυλῶνος δηλοῦσθαι, διὰ δὲ τοῦ πεδινοῦ τὴν μετὰ ταῦτα γενομένην ταπείνωσιν. Ὑψώσατε τὴν φωνὴν αὐτοῖς, μὴ φοβεῖσθε, παρακαλεῖτε τῇ χειρί. Τοῖς πολεμίοις ταῦτα ὁ προφητικὸς λόγος παρεγγυᾷ καὶ παρακαλεῖν ἀλλήλους καὶ τὸ δέος ἐξελάσαι καὶ τῇ πολεμικῇ δεδίττεσθαι φωνῇ καὶ τὰ πολεμικὰ σημεῖα εἰς τὸ ὕψος ἆραι. Ἀνοίξατε οἱ ἄρχοντες, 3ἐγὼ συντάσσω. Τοῖς ἔνδον τῇ πόλει παρακελεύεται ἀνοῖξαι δεσποτικῶς ὁ δεσπότης. Τινὲς δέ φασι πονηρὰς δυνάμεις εἶναι τοὺς ἄρχοντας, ἐγὼ δὲ οὐκ οἶμαι, ἀλλὰ δυοῖν θάτερον· ἢ τοὺς ὑπὸ τοῦ βασιλέως κεχειροτονημένους ἄρχοντας ἢ τοὺς ἐξ ἀρχῆς τὸ ἔθνος ἐγχειρισθέντας ἀγγέλους· «Ἔστησε» γὰρ «ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ.» Ἡγιασμένοι εἰσί, καὶ ἐγὼ ἄγω αὐτούς. Οὐχ ἁγίους καλεῖ τῶν Βαβυλωνίων τοὺς πολεμίους, δυςσεβεῖς γὰρ ἦσαν· ἀλλὰ κατὰ τὸ ἰδίωμα τῆς θείας γραφῆς, ὥσπερ τὸ ἀνάθημα καὶ ἐπὶ τοῦ ἄγαν ἁγίου καὶ ἀφιερωμένου τῷ θεῷ τίθησι τὰ θεῖα λόγια καὶ μέντοι καὶ ἐπὶ τοῦ ἄγαν ἐναγοῦς καὶ βεβήλου–ἀνάθημα γὰρ καλοῦμεν καὶ τὰ τῷ θεῷ προσφε ρόμενα καὶ τοὺς διά τινα παρανομίαν τῆς ἐκκλησίας ἐκβαλλομένους–, οὕτως ἁγίους οὐ μόνον τοὺς ἀφιερωμένους τῷ θεῷ ἀλλὰ καὶ τοὺς εἴς τινα χρείαν ἀφωρισμένους καλεῖ. Γίγαντες ἔρχονται τὸν θυμόν μου παῦσαι |119 a| χαίροντες ἅμα καὶ ὑβρίζοντες. Τοὺς γίγαντας καὶ ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας «δυνατοὺς» ὠνόμασαν. Οὗτοι ἔχαιρον μὲν ἐπὶ τῇ σφετέρᾳ νίκῃ, ὕβρει δὲ καὶ παροινίᾳ κατὰ τῶν Βαβυλωνίων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς Ἑλλάδος ἐστράτευσεν. Διὰ τούτων δὲ ἅπαντες δυσσε βείας καὶ παρανομίας ποινὴν εἰσεπράττοντο. 6Ὀλολύζετε· ἐγγὺς γὰρ ἡ ἡμέρα κυρίου Σαβαώθ, καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. Πάλιν ἡμέραν κυρίου καλεῖ τὸν τῆς τιμωρίας καιρόν. 7Διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει. Ἀπόχρη γὰρ καὶ ἡ φήμη τῶν πολεμίων τὴν δειλίαν ἐργάσασθαι. 8Καὶ ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες ἕξουσιν αὐτοὺς ὡς γυναικὸς τικ τούσης. Νόμος ἐστὶ τοὺς εἰς πρεσβείαν πεμπομένους ἀδεῶς καὶ λίαν θαρσαλέως τοῦτο ποιεῖν. Ἀλλὰ τηνικαῦτα οὐδὲ τοῦτο δίχα δέους ἐγίγνετο· οὕτως ἅπαντας ἐξεδειμάτωσε τῶν πολεμίων τὸ κράτος. Καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἐκστήσονται καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. Τό· ταραχθήσονται οἱ πρέσβεις, ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν· «ταραχθήσονται περιοχαί» –σημαίνει δὲ τὰς πόλεις–, τὸ δέ· συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, «ὠδινήσουσιν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ.» Δηλοῖ δὲ ὁ λόγος ὅτι ἀλλήλοις ἐκκαλύ ψουσι τὸ δέος καὶ τὸ τῶν προσώπων κατασβέσουσιν ἄνθος· ὥσπερ γὰρ τὸ πῦρ σβεννύμενον γίνεται κόνις, οὕτω καὶ τὸ εὐανθὲς τῶν προσώπων ἐκ τοῦ δέους μεταβάλλεται χρῶμα. 9Ἰδοὺ γὰρ ἡμέρα κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τοὺς ἁμαρ τωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. Οἰκουμένην νῦν τὴν Βαβυλῶνα λέγει καὶ τὰς ὑπ' ἐκείνην τελούσας πόλεις καὶ κώμας. 10Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς αὐτῶν οὐ δώσουσι, καὶ σκοτι σθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. Ὥςπερ γὰρ ἡλίου ἀνίσχοντος ἀμβλύνεται μὲν τῆς σελήνης τὸ φῶς, οἱ δὲ ἀστέρες παντελῶς ἀπο κρύπτονται. Οὕτως τῆς ἐμῆς ἐπιφαινομένης δυνάμεως καὶ τοὺς δυσσεβεῖς τιμωρουμένης |119 b| φροῦδος γίνεται τῶν παρὰ ἀνθρώποις βασιλευόντων ἡ περιφάνεια. 11Καὶ ἐντελοῦμαι ὅλῃ τῇ οἰκουμένῃ κακὰ καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν. Οὐ γὰρ μόνον τούτους ἀλλὰ καὶ τοὺς ἄλλους ἀνθρώπους δίκας εἰσπράξομαι τῆς δυσσεβείας. Καὶ ἀπολῶ ὕβριν ἀνόμων καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. Οἱ τὸ τῆς ἀλαζονείας εἰσδεχόμενοι πάθος ἀδεῶς παροινοῦσι καὶ προπηλακίζουσιν ἅπαντας. Ἀλλὰ καὶ τὴν εὐπραξίαν αὐτῶν ἀφελῶ καὶ τῆς εὐημερίας γυμνώσας διδάξω τὸ φρόνημα τῇ φύσει μετρεῖν. 12Καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος ἔντιμος μᾶλλον ἢ ὁ λίθος ὁ ἐκ Σουφίρ. Ἄπυρον χρυσίον τὸ καὶ δίχα πυρὸς φαινό μενον δόκιμον, τουτέστιν ἄπεφθον, ὃ νῦν οἱ πολλοὶ ὄβρυζον ὀνομάζουσιν· λίθον δὲ ἐκ Σουφὶρ λέγει τὸν τίμιον, ἀπὸ δὲ τοῦ τόπου τὴν προσηγορίαν τέθεικεν. Τούτων τιμιω τέρους φανήσεσθαι λέγει τοὺς μετὰ τὴν τιμωρίαν ὑπολει πομένους ἀνθρώπους. Τοιοῦτος ἦν καὶ Ζοροβάβελ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ σὺν αὐτοῖς τῆς ἐπανόδου τετυχηκότες. Ἁρμόττει δὲ ἡ προφητεία διαφερόντως τοῖς μετὰ τὸ σωτήριον κήρυγμα πανταχοῦ πεπιστευκόσιν ἀνθρώ ποις. 13Ὁ γὰρ οὐρανὸς σαλευθήσεται καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς διὰ θυμὸν ὀργῆς κυρίου Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ᾗ ἐὰν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. Συναγανακτεῖν δοκεῖ καὶ ἡ κτίσις ἡ ἄψυχος τῷ ποιητῇ· οὐ γὰρ μόνον ἡ γῆ κλονεῖται, ἀλλὰ καὶ οὐρανόθεν πρηστῆρες φέρονται, καὶ σκηπτοὶ καὶ λίθοι χαλάζης σφενδονῶνται, καὶ ἕτερα μυρία παράδοξα γίγνεται δεδιττόμενα τοὺς ἀνθρώπους καὶ τοῦ θεοῦ σημαίνοντα τὴν ὀργήν. 14Καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ὡς δορκάδιον φεῦγον καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι καὶ ἄνθρωπον εἰς τὴν χώραν αὐτοῦ διῶξαι. Τῶν Ἀσσυρίων ἡττηθέντων οἱ εἰς ἐπικουρίαν ἐληλυθότες ἐτρέποντο εἰς φυγήν, καὶ οἱ μὲν ὡς πρόβατα κατὰ τὰς ὁδοὺς ἐπλανῶντο, οἱ δὲ τῶν δορκάδων τὴν ὀξύτητα φεύγοντες ἐμιμοῦντο διὰ τὸ δέος τῶν πολεμίων, οὔτε βασιλέως οὔτε στρατηγοῦ στῆναι παρακελευομένου καὶ μάχεσθαι ἢ κοινῇ τὴν ἐνεγκοῦσαν καταλαμβάνειν. 15Ὃς γὰρ ἂν ἁλῷ ἐκκεντηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσὶ μαχαίρᾳ πεσοῦνται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καὶ οἱ στῆναι καὶ πολεμῆσαι πειρώμενοι ὑπὸ τῶν πολεμικῶν ὅπλων δέχονται τῆς ζωῆς τὸ πέρας. 16Καὶ τὰ τέκνα αὐτῶν ἐνώπιον αὐτῶν ῥάξουσι καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσι καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσιν. Ἅπερ δεδράκασι πεί σονται καὶ ὠμαῖς τιμωρίαις παραδοθήσονται, ὠμότητι κατ' ἄλλων χρησάμενοι. Εἶτα ἐπ άγει τὴν τῶν πολεμίων προσηγορίαν· 17Ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους οἳ οὐ λογίζονται ἀργύριον οὐδὲ χρυσίου χρείαν ἔχουσιν. Οὐκ ἀνέξονται χρήματα λαβόντες τὸν πόλεμον καταλῦσαι οὐδὲ φόρον ὑμῖν ἐπιθή σουσιν ἀλλ' ὄλεθρον ἐπάξουσι παντελῆ. 18Τοξεύματα νεανίσκων συντρίψουσι καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεή σουσιν, οὐδὲ ἐπὶ τοῖς υἱοῖς σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν. Τούς τε γὰρ παρ' ὑμῖν ἀριστεύοντας κατακοντίσουσι καὶ τὴν ἄωρον ἡλικίαν ἀφειδῶς κατασφάξουσιν. 19Καὶ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ὑπὸ βασιλέων Χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα· 20οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον. Τῆς προτέρας φησὶ περιφανείας |120 a| γυμνωθήσεται καὶ ἐρημίᾳ παραδοθήσεται παντελεῖ, ὡς Σοδόμοις καὶ Γομόρ ροις τὸ ταύτης ἀπεικάζεσθαι πάθος. Οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν. Ἐναντία δοκεῖ πως εἶναι τὰ εἰρημένα· τὸ μὲν γὰρ ἀορίστως εἴρηται τὸ δὲ περιωρισ μένως. Ἀλλὰ τὸ μὲν εἰς τὸν αἰῶνα χρόνον μὴ κατοικηθή σεσθαι ἀντὶ τοῦ· οὐκέτι βασιλέων κατοικητήριον ἔσται. Τὸ δέ· οὐ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, τουτέστιν οἰκήτορες, ἐπεὶ καὶ νῦν οἰκοῦσιν αὐτὴν ὀλίγοι τινές, οὔτε Ἀσσύριοι οὔτε Χαλδαῖοι ἀλλ' Ἰουδαῖοι. Οὐδὲ μὴ διέλθωσι δι' αὐτῆς Ἄραβες. Ἄραβας λέγει τοὺς παρ' ἡμῖν καλουμένους Σαρακηνούς, οἵτινες ἐμπορίας χάριν φοιτῶντες αὐτόσε τὰς ἀναγκαίας χρείας ἐκόμιζόν τε καὶ ἀντελάμβανον· Ἄραβας δὲ τοὺς Σαρακηνοὺς καὶ οἱ Παλαι στῖνοι καλοῦσιν. Τῆς δὲ τούτων ἐμπορίας καὶ ὁ μακάριος μέμνηται Μωυσῆς· «Ἰδοὺ» γάρ φησιν «Ἰσμαηλῖται ἔμποροι.» Οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσωνται ἐν αὐτῇ. Τὴν ὑπερβολὴν τῆς ἐρημίας διὰ τούτων ᾐνίξατο. Εἰ δέ τις καὶ τροπικῶς νοῆσαι βούλεται τὸ ῥητόν, ποιμένας λέγει τοὺς βασιλέας δίκην ποιμνίων τοὺς ὑπηκόους διαναπαύοντας. Ἀλλὰ τούτων πάντων φησὶν ἡ Βαβυλὼν ἐξαπίνης ἔρημος ἔσται. 21Καὶ ἀναπαύσεται ἐκεῖ θηρία. Καὶ τοῦτο δηλοῖ τὸ ἀοίκη τον. Καὶ ἐμπλησθήσονται αἱ οἰκίαι αὐτῶν ἤχων. Ὅταν μηδεὶς ἀνθρώπων ὁ φθεγγόμενος ᾖ μηδὲ ἵπποι χρεμετίζωσι μήτε βόες μυκῶνται μήτε ὄνοι βρομῶνται μήτε ἄλλος τις γίνηται κτύπος, ἠχὴν εἰσδέχονταί τινα μόνην αἱ ἀκοαί· τοῦτο δὲ καὶ ἡμεῖς ὑπομένομεν νύκτωρ ἡσυχίας παντελοῦς γινομένης. Ἢ τοῦτο τοίνυν ὁ λόγος αἰνίττεται ἢ ὅτι διὰ τὴν ἐρημίαν ἀντηχεῖ τοῖς φθεγγομένοις τῶν οἰκιῶν τὰ λείψανα. Καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχή σονται, 22καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσιν. Ἀσώ ματος μὲν ἡ τῶν δαιμόνων φύσις, ἐξαπατᾶν δὲ τοὺς ἀνθρώ πους εἰωθότες ἀλλόκοτά τινα τούτοις ἐπιδεικνύουσι σχήματα. Ἀπὸ τοίνυν τῆς κατεχούσης παρὰ τοῖς ἀνθρώποις δόξης τέθεικε τὰ ὀνόματα καὶ καλεῖ ὀνοκενταύρους μὲν ἃς οἱ παλαιοὶ μὲν ἐμπούσας οἱ δὲ νῦν ὀνοσκελίδας προσα γορεύουσι, σειρῆνας δὲ τοὺς ταῖς παντοδαπαῖς καταθέλ γοντας ἐξαπάταις. Οἱ μέντοι Λοιποὶ Ἑρμηνευταὶ ἀντὶ τῶν σειρήνων «στρουθοκαμήλους» τεθείκασιν. Καὶ νοσσο ποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῆς καὶ ἐν τοῖς ναοῖς τῆς σπατάλης αὐτῆς. Καὶ τοῦτο τὸ ζῷον φιλέρημον. Συνῆψε δὲ τῇ ἐρημίᾳ τῆς προτέρας ἀκρασίας τὴν μνήμην, τὸ δίκαιον τῆς τιμωρίας δεικνύς. Ταχὺ ἔρχεται καὶ οὐ χρονιεῖ. Ὀγδοήκοντα γὰρ καὶ ἑκατὸν χρόνοι μέσον ἐγένοντο τῆς προφητείας καὶ τῆς ἐρημίας. Καὶ αἱ ἡμέραι αὐτῆς οὐ μὴ ἐφελκυσθῶσιν. Οὐχ ὑπερβήσον ται τῆς τιμωρίας τὸν ὅρον. Οὕτω ταῦτα περὶ ἐκείνων προαγορεύσας προλέγει καὶ τὴν Ἰουδαίων ἀνάκλησιν. Συνῆπται γὰρ τῇ πανωλεθρίᾳ τῶν Βαβυλωνίων ἡ Ἰουδαίων ἐλευθερία· ἐν τῷ πρώτῳ γὰρ ἔτει τῆς βασιλείας ὁ Κῦρος ἐπανελθεῖν τῶν Ἰουδαίων τοὺς δορυαλώτους ἐκέλευσεν· δῆλον τοίνυν ὡς εὐθὺς καταλύσας τὴν Βαβυλῶνα τούτοις τὴν ἐλευθερίαν ἀπέδωκεν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

141Καὶ ἐλεήσει κύριος τὸν Ἰακὼβ καὶ ἐκλέξεται ἔτι τὸν Ἰσραήλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γιώρας προστεθήσεται πρὸς αὐτοὺς καὶ προστεθήσεται πρὸς τὸν Ἰακώβ. Γιώρας τῇ Ἑλλάδι φωνῇ ὁ προσήλυτος ἑρμηνεύεται· προσηλύτους δὲ ἐκάλουν Ἰουδαῖοι τοὺς ἐκ τῶν ἐθνῶν προσιόντας |120 b| καὶ τὴν νομικὴν πολιτείαν ἀσπαζομένους. 2Καὶ λήψονται αὐτοὺς ἔθνη καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι καὶ πληθυνθήσονται. Συναπέστειλε γὰρ αὐτοῖς ὁ Κῦρος τοὺς μετὰ τιμῆς αὐτοὺς καὶ θεραπείας εἰς τὴν ἐνεγκοῦσαν ἀπάξοντας. Καὶ καταδι ελοῦνται αὐτοὺς οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τῆς γῆς τοῦ θεοῦ εἰς δούλους καὶ δούλας. Περιγενόμενοι γὰρ τῶν πλησιοχώρων κατεδουλώσαντο αὐτοὺς καὶ ἐξανδραποδίσαντες δουλεύειν ἠνάγκασαν. Καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτοὺς καὶ κυριευθήσονται ὡς κυριεύσαντες αὐτῶν, Βαβυ λώνιοι καὶ πάντες Ἀσσύριοι. 3Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἂν ἀναπαύσῃ σε κύριος ἀπὸ τῆς ὀδύνης σου καὶ τοῦ θυμοῦ καὶ τῆς δουλείας σου τῆς σκληρᾶς ἧς ἐδούλευσας αὐτοῖς, 4καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα Βαβυλῶνος. Ἡ τῶν πραγμάτων μεταβολὴ καὶ λόγων ἐργάζεται μεταβολήν. Προλέγει τοίνυν κἀνταῦθα ὁ θεῖος προφήτης ποίοις μετὰ τὴν ἐλευθε ρίαν καὶ τὴν ἐπάνοδον πρὸς ἀλλήλους χρήσονται λόγοις τῶν Βαβυλωνίων τραγῳδοῦντες τὸν ὄλεθρον. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν καὶ ἀναπέ παυται ὁ ἐπισπουδαστής; Φόρον ἀπῄτει βαρύτατον πάντας τοὺς ὑπηκόους ὁ Βαβυλώνιος· τῆς δὲ βασιλείας καταλυ θείσης ἀπηλλάγησαν οἱ ἀρχόμενοι τοῦ δασμοῦ. 5Συνέτριψε κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν καὶ τὸν ζυγὸν τῶν ἀρχόντων, 6πατάξας ἔθνος θυμοῦ πληγῇ ἀνιάτῳ, παίων ἔθνος θυμοῦ πληγῇ ᾗ οὐκ ἐφείσατο. Ἐπὶ πλεῖον Ἀσσύριοι τῆς οἰκουμένης κρατήσαντες, ἡνίκα κατὰ τοῦ θεοῦ τῶν ὅλων ἐλύττησαν καὶ τὸν θεῖον νεὼν ἐνέπρησαν, τῆς βασιλείας ἐξέπεσον· ἀνίατον γὰρ πληγὴν τὴν κατάλυσιν τῆς βασιλείας ἐκάλεσε καὶ τὴν τῆς βασιλικῆς πόλεως ἐρημίαν. 7Ἀνεπαύσατο πεποιθότως πᾶσα ἡ γῆ καὶ βοᾷ μετ' εὐφρο σύνης. Εὐφράνθησαν ἅπαντες τῷ τῶν Βαβυλωνίων ὀλέθρῳ· θηριωδίᾳ γὰρ ὅτι πλείστῃ κατὰ πάντων ἐχρήσαντο. 8Καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοί, καὶ αἱ κέδροι τοῦ Λιβάνου ἐροῦσιν· Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. Λίβανόν τινες ἐνταῦθα τὴν Ἱερουσαλὴμ ᾠήθησαν ὀνομάζεσθαι· ἐγὼ δὲ οἶμαι τοὺς κατὰ ἔθνος βασιλέας κέδρους κληθῆναι Λιβάνου, τοῦ τῆς βασιλείας ὕψους οὕτω τροπικῶς νοουμένου. 9Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι ἐρχομένου σου. Εἴωθεν ἡ θεία γραφὴ καὶ προσωποποιίᾳ κεχρῆσθαι ὥστε σαφέστερον δεῖξαι τὰ πράγματα. Κἀνταῦθα τοίνυν τὸν θάνατον οὐκ οὐσίαν ὄντα τινὰ ἀλλὰ πρᾶγμα συμβαῖνον ὡς ἐνυπόστατον εἰσάγει, ἔμψυχόν τε καὶ λογικόν, κατὰ τοῦ Βαβυλωνίων βασιλέως ἀγανακτοῦντα. Διήγειρε κατὰ σοῦ γίγαντας πάντας τοὺς ἄρξαντας τῆς γῆς οἳ ἀνέστησαν ἀπὸ τῶν θρόνων αὐτῶν. Πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν 10πάντες ἀποκριθήσονται καὶ ἐροῦσίν σοι. Ἅ παν τας συνήγαγέ φησι τοὺς περιφανεῖς καὶ περιβλέπτους ............................. τάς σου καὶ ἐπιτωθάζοντάς σου καὶ λέγοντας· Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. 11Κατέβη εἰς ᾅδου ἡ δόξα σου καὶ ἡ πολλὴ εὐφροσύνη σου. Ἐλέγχει δὲ διὰ τούτων ὁ προφητικὸς λόγος τὸ ὑπερφυὲς αὐτοῦ καὶ ὑπέρογκον φρό νημα· οὔτε γὰρ ἤλπισε τῷ θανάτῳ παραδοθήσεσθαι, ἀλλ' ἐνόμισεν εἶναι διὰ τὴν πολλὴν δυναστείαν θεός. Διὸ καὶ τὰ λοιπὰ προστέθεικεν· Ὑποκάτω σου στρώσουσι σῆψιν καὶ τὸ κατακάλυμμά σου σκώληξ. Εἰς τὸν οὐρανόν φησιν ἀνελθεῖν προσδοκήσας τῆς γῆς τὸν πυθμένα κατέλαβες καὶ ἀντὶ τῆς πολυτελοῦς ἁλουργίδος ἔχεις τῶν σκωλή κων τὸ κάλυμμα, |121 a| ἀντὶ δὲ τῆς μαλακῆς στρώμνης τὴν σηπεδόνα καὶ τὸν δυσώδη ἰχῶρα. 12Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων; Συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. Ἐπειδὴ τοῖς ἀλαζονικοῖς ἑπόμενος λογισμοῖς εἰς τὸν οὐρανὸν ἤλπισεν ἀναβήσεσθαι, ἑωσφόρον αὐτὸν καλεῖ οὐχ ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο ἀληθῶς ὄντα ἀλλ' ὡς τοῦτο εἶναι φαντασθέντα. Καὶ δεῖξαι βουληθεὶς τὴν ἀθρόαν τῆς περιφα νείας μεταβολήν, ἀπείκασεν ἑωσφόρῳ ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν πεσόντι. Εἶτα γυμνοῖ τὸν τῦφον τῶν λογισμῶν· 13Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, 14ἀνα βήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Ταῦτα ἡμᾶς καὶ ἡ προφητεία διδάσκει τοῦ Δανιήλ. Πρῶτον μὲν γὰρ καὶ τὴν εἰκόνα ἐκείνην τὴν παμμεγέθη τὴν χρυσῆν τεκτηνάμενος προσκυνεῖν αὐτὴν ἐκέλευσεν ἅπαντας, τὸ θεῖον σέβας ἁρπάζων· εἶτα τοῖς γενναίοις ἐκείνοις ἔλεγεν ἀθληταῖς· «Τίς ἐστι θεὸς ὃς ῥύσεται ὑμᾶς ἐκ τῶν χειρῶν μου;» Ὄρος δὲ ὑψηλὸν εἶναι λέγεται βορρᾶθεν Ἀσσυρίων καὶ Μήδων ἀπὸ τούτων τὰ Σκυθικὰ διορίζον ἔθνη, πάντων τῶν κατὰ τὴν οἰκουμένην ὀρῶν ὑψηλότατον. Δι' ἐκείνου πάντως ὑπέλαβεν ὡς εἰκὸς τῆς εἰς τὸν οὐρανὸν ἀνόδου κατατολμήσειν. Ταῦτα δὲ οὐχ οὗτος μόνος ἐφαντάσθη ἀλλὰ καὶ ὁ τοῦτον ταῦτα διδάξας. Καὶ τούτῳ μὲν κατὰ τύπον ἁρμόττει τῆς ἀλαζονείας τὰ ῥήματα, κατ' ἀλήθειαν δὲ τῷ ἐκ τῶν οὐρανῶν ἀληθῶς ἐκπεπτωκότι καὶ τὴν τοῦ θεοῦ προσηγορίαν ἁρπάσαντι καὶ τῶν ἀνθρώπων τοὺς πλείστους ἐξαπατήσαντι. 15Νῦν δὲ εἰς ᾅδου καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς. Ἀντὶ τοῦ· εἰς αὐτὸν τῆς γῆς τὸν πυθμένα. 16Οἱ ἰδόντες σε θαυμάσονται ἐπὶ σοὶ καὶ ἐροῦσι περὶ ςοῦ· Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν. Τό· παρ οξύνων τὴν γῆν, ὁ μὲν Σύμμαχος «ὁ ταράξας τὴν γῆν» ἡρμήνευσεν, ὁ δὲ Ἀκύλας «ὁ κλονήσας τὴν γῆν». Ὁ σείων βασιλεῖς, 17ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τὰς πόλεις αὐτῆς καθελὼν τοὺς ἐν ἐπαγωγῇ οὐκ ἠλέησεν. Τὰς μὲν γὰρ πόλεις ἐξεπόρθησε, τὴν δὲ τούτων ἐδῄωσε γῆν, τοὺς δὲ ἀνδραποδισθέντας φειδοῦς οὐκ ἠξίωσεν. Εἶτα προστίθησιν ὅτι οἱ μὲν ἄλλοι βασιλεῖς οἴκοι καθήμενοι τοῦ βίου τὸ τέλος ἐδέξ αντο , 19σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκ<κε>κεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδου. Οὐδεμία γὰρ ἔσται σοῦ καὶ τῶν ἄλλων διαφορά· παρα πλησίως γὰρ τοῖς ἄλλοις ὁπλίταις ἐπὶ τῆς γῆς ἐρριμμένος οἰωνοῖς καὶ θηρίοις βορὰ ἔσῃ. Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον 20οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. Καὶ τὴν αἰτίαν διδά σκει· Διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκ τεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. Πρὸς αὐτὴν λέγει τὴν βασιλείαν, οὐ πρὸς τὸν βασιλέα μόνον. Πῶς γὰρ οἷόν τε ἦν ἄνθρωπον ὄντα εἰς αἰῶνα βιῶναι; Ἀλλὰ τὴν τῆς βασιλείας προλέγει κατάλυσιν. Λαὸν δὲ αὐτοῦ τὸν Ἰσραὴλ ὀνομάζει καὶ τὴν γῆν αὐτοῦ ὡσαύτως τὴν ἐκείνου γῆν. Ἐκείνη γὰρ εἶχε τὸν θεῖον νεών. Τὰ γὰρ μηδέπω αὐτὸν ἔθνη ἐπεγνωκότα οὐκ ἂν αὐτοῦ κυρίως κληθείη λαός. Σπέρμα πονηρόν, 21ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ ἀναστῶσι καὶ κληρονομήσωσι τὴν γῆν καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων. Ταῦτα πρὸς αὐτὸν τὸν Ναβουχοδονόσορ λέγει· οἱ γὰρ τὴν ἐκείνου διαδεξάμενοι βασιλείαν ὑπὸ Μήδων καὶ Περσῶν κατελύθησαν. Διδάσκει ταῦτα ἡμᾶς καὶ ἡ τοῦ θειοτάτου Δανιὴλ προφητεία· τοῦ γὰρ Βαλτάσαρ κατὰ τῶν ἱερῶν μανέντος σκευῶν ἡ γραφὴ αὕτη ἐφάνη ἐν τῷ τοίχῳ· «θεκὲλ φαρὲς μανή», εἶτα ἑρμηνεύων ὁ θεσπέσιος Δανιὴλ ἔφη· «Δοθήσεται ἡ βασιλεία σου Μήδοις καὶ Πέρσαις.» 22Καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει κύριος Σαβαώθ, καὶ ἀπολῶ αὐτῶν ὄνομα καὶ κατάλειμμα καὶ σπέρμα, λέγει κύριος. Τουτέστιν· ὄλεθρον αὐτῶν καταψηφιοῦμαι παντελῆ. Εἶτα πάλιν προλέγει τῆς Βαβυλῶνος τὴν ἐρημίαν· 23Ἔσται γάρ φησιν εἰς οὐθέν, καὶ θήσω αὐτὴν πηλοῦ βάρα θρον εἰς ἀπώλειαν. Ἀντὶ τοῦ· τῶν ἐπιφερομένων οὐκ ἀπαλλαγήσεται συμφορῶν. Ἀπεικασθήσεται γὰρ τοῖς εἰς πηλοῦ βάραθρον ἐμπεπτωκόσι καὶ ἀνασπασθῆναι μὴ δυνηθεῖσιν. Ἔστι μέντοι ἰδεῖν καὶ κατὰ τὸ ῥητὸν τὴν τῆς προφητείας ἀλήθειαν· τοῦ γὰρ Εὐφράτου διῶρυξ μέσην αὐτὴν διατέμνει, ἐκ δὲ ταύτης ἡ ἀρδεία πάσῃ τῇ περὶ αὐτὴν προσφέρεται χώρᾳ· τῶν γεωργούντων τοίνυν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναιρεθέντων καὶ τῶν ὑδάτων ὡς ἔτυχε φερομένων, πηλοῦ βάραθρον ἀναγκαίως ἐγένετο. Τάδε λέγει κύριος Σαβαὼθ 24λέγων· Ὃν τρόπον εἴρηκα οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι οὕτως ἔσται. Καὶ .................... |121 b| οὐδέν με πείσει μὴ ἐπιθεῖναι τοῖς εἰρημένοις τὸ πέρας. 25Τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς καὶ ἐπὶ τῶν ὀρέων μου, καὶ ἔσονται εἰς καταπάτημα. Καὶ ἐντεῦθεν δῆλον ὡς τοὺς αὐτοὺς καὶ Ἀσσυρίους καὶ Βαβυλωνίους καλεῖ. Πάλιν γὰρ τὸν Ναβουχοδονόσορ καταλιπὼν καὶ τοὺς ἐξ ἐκείνου φύντας καὶ τῆς βασιλείας ἐκπεπτωκότας ἐπὶ τὸν Σεναχηρὶμ ἐπανή γαγε τὸν λόγον· ἡ γὰρ ἐκείνου στρατιὰ πολιορκοῦσα τὴν Ἱερουσαλὴμ τὸν πολυθρύλητον ἐκεῖνον ὑπέμεινεν ὄλεθρον. Καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων αὐτῶν ἀφαιρεθήσεται. Ζυγὸν τὴν δου λείαν καλεῖ· αὕτη γὰρ τοῖς ὑπηκόοις ζυγοῦ δίκην ἐπίκειται. 26Αὕτη ἡ βουλὴ ἣν βεβούλευται κύριος ἐπὶ ὅλην τὴν οἰκουμένην, καὶ αὕτη ἡ χεὶρ <ἡ> ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. Ἡ γὰρ Ἀσσυρίων καὶ Βαβυλωνίων κατάλυσις τῶν ἐθνῶν ἦν ἁπάντων παραψυχή, ἐπειδὴ κατὰ πάντων τῶν τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον οἰκούντων εἶχον τὸ κράτος. Καὶ οἱ τὴν Εὐρώπην δὲ οἰκοῦντες τὴν ἀθρόαν τούτων μανθάνοντες μεταβολὴν ὄνησιν ἐντεῦθεν ἐδέχοντο. 27Ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; Καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; Τοῦτο καὶ διὰ τοῦ μακαρίου Μωυσέως ἔφη· «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.» Ἐνταῦθα συμπεράνας τὴν κατὰ Βαβυλῶνος πρόρρησιν πρὸς τοὺς Ἀλλοφύλους τρέπει τὸν λόγον. Τοὺς δὲ Ἀλλοφύλους Φυλιστιὶμ ἡ Ἑβραία φωνὴ καλεῖ, ἐξελληνιζόμενον δὲ τὸ ὄνομα τὴν Παλαιστίνην δηλοῖ. Τούτους οἱ Ἑβδομήκοντα Ἀλλοφύλους καλοῦσιν ὡς γειτονεύοντας μὲν τοῖς Ἰουδαίοις, ἀλλογενεῖς δὲ ὄντας καὶ κατὰ τὴν συγγένειαν Ἰουδαίοις οὐ κοινωνοῦντας. Φησὶ τοίνυν ὁ προφητικὸς λόγος· 28Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ Ἄχαζ ὁ βασιλεὺς ἐγενήθη τὸ ῥῆμα τοῦτο. Διὰ τούτων ἐσήμανε τὸν τῆς προφητείας καιρόν. 29Μὴ εὐφρανθείητε πάντες Ἀλλόφυλοι, ὅτι συνετρίβη ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. Δυσσεβὴς ὁ Ἄχαζ γενόμενος τῆς θείας ἐπικουρίας οὐκ ἔτυχεν. Τούτου χάριν εὐχείρωτος πᾶσι τοῖς πλησιοχώροις ἐγένετο, καὶ οὐ μόνον αὐτὸν αἱ δέκα φυλαὶ μετὰ τῶν Σύρων κατεπολέμησαν, ἀλλὰ καὶ Ἀλλόφυλοι πρὸς τοῖς ἄλλοις πολλὰς αὐτοῦ πόλεις καὶ κώμας διήρπασαν. Ἥσθησαν δὲ ὅμως τούτου μεμαθηκότες τὴν τελευτήν, πάσας ἐλπίσαντες λήψεσθαι τῶν Ἰουδαίων τὰς πόλεις. Τούτοις ὁ προφητικὸς παρακελεύεται λόγος μὴ ἡσθῆναι, ὡς τῆς καταγωνιζομένης αὐτοὺς βασιλείας παντελῶς καταλυθείσης διὰ τὴν τοῦ Ἄχαζ ἀσέβειαν. Ἐκ γὰρ σπέρματος ὄφεων ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετόμενοι. Ὁ θαυ μάσιος Ἐζεκίας εὐσεβὴς γενόμενος καὶ τῆς θείας διὰ τοῦτο ῥοπῆς ἀπολαύσας ἔπαυσε τὴν τῶν Ἀλλοφύλων θρασύτητα. Τοῦτον ἔκγονα ἀσπίδων καλεῖ οὐχ ὡς τὴν ἐκείνων πονηρίαν μιμούμενον ἀλλ' ὡς τοῖς Ἀλλοφύλοις τοιαύτην ἐπενεγκόντα πληγήν. 30Καὶ βοσκηθήσονται πτωχοὶ διὰ κυρίου, πένητες δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται. Οἱ νῦν φησι παρ' ὑμῶν ὡς εὐτελεῖς καταφρονούμενοι Ἰουδαῖοι ὑπὸ τοῦ θεοῦ ποιμανθήσονται καὶ τῶν ἐπιόντων ἀπαλλαγήσονται λύκων καὶ ἐν εἰρήνῃ διατελέσουσιν. Σημαίνει δὲ διὰ τούτων τὴν τῶν Ἀσσυρίων ἀπαλλαγήν. Ἀνελεῖ δὲ λιμῷ τὸ σπέρμα σου καὶ τὸ κατάλειμμά σου ἀνελεῖ. Ἐνδείᾳ σε καὶ λιμῷ κατατήξει καὶ τῷ οἰκτίστῳ παραδώσει θανάτῳ. Διὰ δὲ τούτων τὴν πολιορκίαν σημαίνει τὴν ὑπὸ Βαβυλωνίων γεγενημένην. Δηλοῖ δὲ καὶ τὰ ἑξῆς· 31Ὀλολύζετε πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τετα ραγμέναι, οἱ Ἀλλόφυλοι πάντες, ὅτι καπνὸς ἀπὸ βορρᾶ ἔρχεται καὶ οὐκ ἔ<σ>τι τοῦ μεῖναι ἐν τοῖς συντεταγμένοις αὐτοῦ. Αἱ πύλαι οὔτε λογικαί εἰσιν οὔτε ἔμψυχοι· διὰ τῶν πυλῶν τοίνυν τοὺς ἐπὶ τῶν πυλῶν ἑστῶτας καὶ τὰ ἐπιόντα κακὰ θρηνοῦντας αἰνίττεται. Καπνὸν δὲ ἀπὸ βορρᾶ ἐρχό μενον τὸν Ἀσσύριον λέγει, οὗ ἐπιόντος οὐδεὶς ἀντιπαρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τάξεται· τοὺς γὰρ συντεταγμένους διαλύσει τὸ δέος. 32Καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; Ὅτι κύριος ἐθεμελίωσε τὴν Σιών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ αὐτοῦ. |122 a| Ἀλλὰ πάντων ὑμῶν ἁλισκομένων ἡ Σιὼν ἀπονητὶ περιέσται τῶν πολεμούντων, καὶ δι' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων ὡς ὁ τῶν ὅλων αὐτῆς κύριος προμηθεῖται καὶ τῶν ἐπιόντων αὐτὴν ἀπαλλάττει κακῶν διὰ τὴν τῶν οἰκητόρων εὐσέβειαν. Οὕτω συμπ εράνας καὶ τῶν Ἀλλοφύλων τὴν πρόρρησιν Μωαβίταις προλέγει τὰ ἐσόμενα· 151Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις, νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος. Νύκτα καλεῖ ὡς οἶμαι τῶν συμβησομένων τὴν ἄγνοιαν ἢ τῆς ἀσεβείας τὸν ζόφον. Εἰκὸς δὲ καὶ ἐν νυκτὶ γενέσθαι τὴν τῆς πόλεως ἅλωσιν. Μωαβῖται δὲ ἀπὸ τοῦ Λὼτ τὸ γένος κατάγουσιν· μητρόπολιν δὲ εἶχον τὴν νῦν καλουμένην Χαραχμωβάν. 2Λυπεῖσθε ἐφ' ἑαυτοῖς. Ἀπολεῖται δὲ καὶ Δεβών, οὗ ὁ βωμὸς ὑμῶν ᾠκοδομήθη. Δεβὼν πόλις ἦν καὶ αὐτὴ ὑπ' ἐκείνην τελοῦσα· Χαμὼς δὲ τῶν Μωαβιτῶν τὸ εἴδωλον ᾧ τὸν βωμὸν ᾠκοδόμησαν. Ἐκεῖ ἀναβήσεσθε κλαίειν, ἐπὶ Ναβαῦ καὶ Μηδαβὰ τῆς Μωαβίτιδος. Πόλεις ἦσαν καὶ αὗται· ἡ δὲ Μηδαβὰ κώμη νῦν ἐστι τῆς Ἀραβίας μεγίστη. Λέγει δὲ αὐτοὺς παρὰ τὸν βωμὸν κλαίειν κωμῳδῶν αὐτῶν τὰς ἀνοήτους θυσίας. Εἶτα ὀλολύζειν παρακελεύεται καὶ τῷ κομμῷ τοὺς βραχίονας αἱμάττειν καὶ τῇ τοῦ σάκκου περιβολῇ δεικνύναι τὸ πένθος καὶ ἐν οἰκίαις καὶ ἐν ἀγυιαῖς ὀλοφύρεσθαι ὡς τῆς Ἐσεβὼν καὶ τῆς Ἐλεηλὰ ἀναστάτων γεγενημένων καὶ μέχρι τῆς Ἰασὰ διαδραμόντος τοῦ θρήνου. 4Διὰ τοῦτο ἡ ὀσφῦς τῆς Μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται, 5ἡ καρδία τῆς Μωαβίτιδος βοᾷ ἐν ἑαυτῇ ἕως Σηγώρ. Διὰ τῆς ὀσφύος τὴν δειλίαν ἐδήλωσε, διὰ δὲ τῆς ψυχῆς καὶ τῆς καρδίας τὸ πένθος. Ἐπειδὴ γὰρ ἡ ὀσφῦς δέχεται τὴν ζώνην, ἡ ἐκείνης λύσις τὴν δειλίαν δηλοῖ, ἐπεὶ καὶ τὴν ἀνδρείαν πάλιν δι' ἐκείνης σημαίνει. «Ζῶσαι» γάρ φησιν «ὡς ἀνὴρ τὴν ὀσφῦν σου», καὶ πάλιν· «Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι», καὶ ἑτέρωθι· «Ζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ». Ἕως δὲ τῆς Σηγὼρ ἔφη διελθεῖν τὴν τοῦ θρήνου βοήν. Δάμαλις γάρ ἐστι τριετής. Τὸ ἄτακτον αὐτῆς διὰ τούτων ᾐνίξατο· θρασεῖα γὰρ καὶ ἄτακτος ἡ τοιαύτη δάμαλις. Ἐπὶ δὲ τῆς ἀναβάσεως τῆς Λουὶθ κλαίοντες ἀναβήσονται πρὸς σὲ ἐν τῇ ὁδῷ Ἀρωνιείμ. Τόπων καὶ ταῦτα ὀνόματα δι' ὧν λέγει παραγίνεσθαι τοὺς τὰ λυπηρὰ προση μαίνοντας. Εἶτα παρακελεύεται αὐτῇ βοᾶν καὶ ὀδύρεσθαι τὸν τῶν πόλεων ὄλεθρον καὶ τὴν τῶν πραγμάτων μεταβολήν, καὶ ὅτι 6Τῆς Νεμερὴξ τὸ ὕδωρ ξηρανθήσεται καὶ ὁ χόρτος πᾶς ἐκλείψει. Δυνατὸν δὲ καὶ τροπικῶς ταῦτα νοῆσαι καὶ χόρτον χλωρὸν καὶ ὕδωρ ἀναβλύζον τὴν εὐημερίαν καλέσαι· εἰκὸς δὲ καὶ ταῦτα οὕτω συμβῆναι. Εἶτα ἀπειλεῖ καὶ τῶν Ἀράβων τὴν παρεμβολήν· Ἄραβαςδὲ κἀνταῦθα τοὺς Ἰσμαηλίτας καλεῖ. 8Συνῆψε γὰρ ἡ βοὴ τοῦ ὁρίου τῆς Μωαβίτιδος τῇ Ἀγαλιίμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ Ἐλίμ. Πᾶσά φησι πόλις τὰ οἰκεῖα θρηνήσει κακὰ καὶ οἷά τις συναυλία θρήνων γενήσεται. Ἔπειτα προλέγει τῶν ἀναιρουμένων τὸ πλῆθος· τοσοῦτον γάρ φησιν ἔσται ὡς καὶ τὸ ὕδωρ τὸ Ῥεμμὼν κραθήσεσθαι τῷ αἵματι τῶν Ἀράβων ἐπιόντων καὶ τὸν φόνον ἐργαζο μένων. 9Καὶ ἀρῶ τὸ σπέρμα Μωάβ, καὶ Ἀριὴλ καὶ τὸ κατά λοιπον Ἀδαμά. 161 Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. Ἀριὴλ ἡ νῦν καλουμένη Ἀρεόπολις, Ἀδαμὰ δὲ ἄλλη τιςῆν ὁμώνυμος τῇ πάλαι μετὰ τῶν Σοδομιτῶν δεξαμένῃ τὸν ὄλεθρον. Τοὺς ἐκ τούτων αἰχμαλώτους εἰς γῆν κύπτειν ἠναγκασμένους τοῖς ἐπὶ γῆς ἕρπουσιν εἰκότως ἀπείκασεν. Μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος τῆς θυγατρὸς Σιών; Οὐκ ἐπετώθαζές φησι τῇ Ἱερουσαλήμ, ὄρος αὐτὴν ἀποκαλοῦσα ξηρόν; Μάθε τοίνυν διὰ τῶν πραγμάτων ὡς ἐκείνη μὲν τοῦ Ἀσσυρίου τὰς χεῖρας διέφυγε, μᾶλλον δὲ τὴν ἐκείνου κατηνάλωσε στρατιάν, σὺ δὲ 2ἔσῃ ὡς πετεινοῦ ἀνιπταμένου νεοσσὸς ἀφῃρημένος. Ὥσπερ γὰρ οἱ τῶν γεγεννηκότων ἔρημοι νεοττοὶ εὐχείρωτοι λίαν εἰσίν, οὕτω καὶ σὺ εὐάλωτος ἔσῃ, τῆς ἐμῆς προνοίας οὐκ ἀπολαύουσα. Ἔπειτα δὲ Ἀρνὼν πλείονα 3βουλεύου· μείζοσι γὰρ καὶ σὺ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιβληθήσῃ κακοῖς. Καὶ ποιεῖτε σκέπην αὐτοῖς πέν θους διὰ παντός· ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν· Μὴ ἀχθῇς. Ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσι κυρίως μὲν οἱ τὸ ἀληθινὸν φῶς ἰδεῖν οὐκ ἐθέλοντες ἀλλὰ τὸ σκότος τῆς ἀγνοίας τοῦ φωτὸς προτιμῶντες· εἴποι δ' ἄν τις καὶ τοὺς ἐν συμφοραῖς ὄντας σκότος ὁρᾶν ἐν μεση μβρίᾳ. Ὁ δὲ Θεοδοτίων τό· ἐξέστησαν μὴ ἀχθῇς, σαφέστερον ἡρμήνευσεν· «Μεταναστεύοντά» φησι «μὴ ἀποκαλύψῃς», ὁ δὲ Σύμμαχος· «Ἀνάστατον μὴ ἀπο διώξῃς.» Ἐπειδὴ γὰρ οἱ Μωαβῖται φεύγοντες πρὸς τὴν Ἀρνὼν κατέφευγον, παρακελεύεται αὐτῇ ὑποδέξασθαι καὶ μὴ ἀποδιῶξαι τούτους, ὠφεληθήσῃ γὰρ ἐκ τούτων. Τοῦτο γὰρ τὰ ἑξῆς διδάσκει· |122 b| 4Παροικήσουσί σοι οἱ φυγάδες Μωάβ, ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου. Ἔρημος εἶ φησι τῶν βοηθούντων· ἐὰν δὲ τούτους ὑποδέξῃ, ἔσονταί σοι ἐπίκουροι. Εἶτα προλέγει καὶ τοῦ Ἀσσυρίου τὸν ὄλεθρον· Καὶ ὁ ἄρχων ἀπολεῖται ὁ καταπατῶν τὴν γῆν. Καὶ διδάσκων καὶ ποῦ ἀπώλετο καὶ τίνος χάριν ἀπώλετο, ἐπιφέρει· 5Καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυὶδ κρίνων καὶ ἐκζητῶν κρίσιν καὶ σπεύδων ἐπὶ δικαιοσύνην. Περὶ τοῦ Ἐζεκίου ταῦτά φησιν· περὶ τούτου γὰρ καὶ ἡ τετάρτη τῶν Βασιλειῶν καὶ ἡ δευτέρα τῶν Παραλειπομένων φησὶν ὅτι «ἐπορεύθη ἐν τῇ ὁδῷ κυρίου ὡς Δαυὶδ ὁ πατὴρ αὐτοῦ· οὐκ ἐξέκλινε δεξιὰ ἢ ἀριστερά.» Εἶτα τοῦ Μωὰβ τὴν ἀλαζονείαν ἐκτραγῳδεῖ· 6Ἠκούσαμεν τὴν ὕβριν Μωάβ, ὑβριστής ἐστι σφόδρα· τὴν ὑπερηφα νείαν αὐτοῦ ἐξῆραν καὶ ἡ ὕβρις αὐτοῦ καὶ ἡ μῆνις αὐτοῦ. Ὑπερηφανείαν μὲν τὴν κατὰ τοῦ θεοῦ λέγει, ὕβριν δὲ καὶ μῆνιν τὴν κατὰ τοῦ λαοῦ· τούτους γὰρ ἐξύβριζον καὶ τούτοις ἐμνησικάκουν. Εἶτα ἐπιφέρει· Οὐχ οὕτως ἡ μαντεία σου, 7οὐχ οὕτως. Ἕτερά φησι προὔλεγόν σοι οἱ τῶν δαιμόνων χρησμοί, τἀναντία δὲ ἐκείνων ἑώρακας. Ἡγοῦμαι δὲ τὸν προφήτην καὶ τῆς τοῦ Βαλαὰμ αὐτοὺς ὑπομιμνήσκειν προρρήσεως, ὡς ὁ ἐξ Ἰσραὴλ ἀνίσχων «θραύσει ἀρχηγοὺς Μωάβ». Εἶτα πάλιν τούς τε θρήνους αὐτοῦ διέξεισι, καὶ τὸ ἀσθενὲς αὐτοῦ καὶ τὸ σφαλερὸν κωμῳδεῖ· τοῖχον γὰρ ὀστράκινον τὸ εὐάλωτον αὐτοῦ καλεῖ. Προλέγει δὲ καὶ τῆς γῆς τὴν δῄωσιν καὶ τῆς σπειρομένης τὴν ἀκαρπίαν καὶ τῆς πεφυτευ μένης τὴν ἐρημίαν, καὶ παρακελεύεται τοῖς τὰ ἔθνη κατα πίνουσιν Ἀσσυρίοις καταπατῆσαι τὰς ἀμπέλους, καὶ οἷόν τινας ὅρους αὐτοῖς τιθεὶς παρεγγυᾷ ἕως Ἰαζὴρ συνάψαι τὸν πόλεμον. Εἶτα τῶν φυγάδων διηγεῖται τὸν πλάνον· οἱ μὲν γάρ φησιν ἐν τῇ ἐρήμῳ ἀλῶνται, οἱ δὲ καὶ τὴν Ἐρυθρὰν διέβησαν Θάλασσαν. Ἀναμιμνήσκει δὲ καὶ δὶς καὶ τρὶς τῶν αὐτῶν, τῆς ἀμπέλου Σαβαμὰ καὶ τῶν δένδρων Ἐσεβὼν καὶ Ἐλεηλά, δεικνὺς τὴν τῆς προφητείας ἀλήθειαν. 9Ὅτι ἐπὶ τῷ θερισμῷ καὶ τῷ τρυγητῷ σου κατάλεγμα καταπατούν των ἔπεσεν. Οὐκέτι γὰρ σὺ τὰ ἐπιλήνια ᾄσματα ἐρεῖς, ἀλλ' ἄλλοι σε καταπατοῦντες τὸ πολεμικὸν ᾄσονται μέλος· τῆς δὲ τῶν ἀμπελώνων εὐφροσύνης οὐκ ἀπολαύσεις. 11Διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει καὶ τὰ ἐντός μου ὡς τεῖχος ὃ ἐνεκαίνισας. Ὁ δὲ Σύμμαχος οὕτως· «Ἡ κοιλία μου τῷ Μωὰβ ὡς ψαλτήριον ἠχήσει καὶ τὰ ἐντός μου τῷ τείχει τῷ ὀστρακίνῳ.» Ταύτην φησὶ τὴν προφητείαν ὄργανον τοῦ παναγίου γενόμενος πνεύματος τῷ Μωὰβ οἷόν τινα ἠχὴν κιθάρας προσήνεγκα καὶ τῷ τείχει ὃ ἀσφαλείας εἵνεκα κατεσκεύασας. 12Καὶ ἔσται ἐν τῷ τραπῆναί σε ὅτι κοπιάσει Μωὰβ ἐν τοῖς βουνοῖς καὶ εἰσε λεύσεται εἰς τὰ χειροποίητα αὐτῆς ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνωνται ἐξελέσθαι αὐτήν. Δι' αὐτῶν μαθήσῃ τῶν πραγμάτων τὴν τῶν εἰδώλων ἀσθένειαν· μετὰ γὰρ τὰς πολλὰς ἑκατόμβας καὶ χιλιόμβας τῆς παρ' αὐτῶν συμμαχίας οὐ τεύξῃ. 13Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησεν ὁ κύριος ἐπὶ Μωὰβ ὁπότε καὶ ἐλάλησεν. Ταῦτά φησιν ὁ προφήτης οὐκ ἐγὼ προεῖπον ἀλλ' αὐτὸς ὁ τῶν ὅλων θεός. 14Καὶ νῦν ἐλάλησε κύριος λέγων· Ἐν τρισὶν ἔτεσι μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ ἐν παντὶ τῷ πλούτῳ τῷ πολλῷ καὶ καταλειφθήσεται ὀλιγοστὴ καὶ οὐκ ἔντιμος. Φιλάνθρωπος ἡ ψῆφος· τρισὶ γὰρ ἔτεσι περιώρισε τὴν τιμωρίαν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μισθωτῷ ἀπείκασε τὸν ὡρισμένον ἀναμένοντι χρόνον καὶ ψυχαγωγουμένῳ τῇ ἐλπίδι τοῦ τέλους. Μετὰ μέντοι τὸν ὡρισμένον χρόνον οὐ τὴν παλαιὰν αὐτῇ ἐπαγ γέλλεται εὐπραξίαν ἀλλ' ὀλίγους οἰκήτορας καὶ τούτους οὐκ ἄρχοντας· καταλειφθήσεται γὰρ ὀλιγοστὴ καὶ οὐκ ἔντιμος. Ταῦτα τοίνυν εἰδότες ἐξιλεωσώμεθα τὸν κριτὴν τῇ τῶν ἐντολῶν αὐτοῦ φυλακῇ καὶ προφθάσωμεν τὸ πρόcωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἵνα διαφύγωμεν αὐτῶν τῶν λυπηρῶν τὴν πεῖραν καὶ ὑπ' αὐτοῦ κυβερνώμενοι τόν τε παρόντα ἐξ οὐρίων διαπλεύσωμεν βίον καὶ εἰς τοὺς ἀπηνέμους αὐτοῦ καθορμίσωμεν λιμένας ἀνυμνοῦντες αὐτὸν καὶ τὸν μονογενῆ υἱὸν αὐτοῦ καὶ τὸ πανάγιον πνεῦμα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 6 ΤΟΜΟΣ ηʹ 171 Τὸ ῥῆμα τὸ κατὰ Δαμασκοῦ. Ἴσως ἄν τις ζητήσειε, τί δήποτε τὰ συμβησόμενα Βαβυλωνίοις καὶ Μωαβίταις, Δαμασκηνοῖς τε καὶ Αἰγυπτίοις καὶ Ἰδουμαίοις καὶ Τυρίοις προειρηκὼς ὁ προφήτης τἆλλα καταλέλοιπεν ἔθνη. Χρὴ τοίνυν εἰδέναι ὡς ταῦτα τὰ ἔθνη συνεχῶς κατεπολέμει τὴν Ἰουδαίαν· καὶ τούτου χάριν ὁ προφήτης, ἅτε δὴ Ἰουδαίων προφήτης, τὰς τούτων συμφορὰς προθεσπίζει, ἐνίων δὲ προλέγει καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν καὶ τὴν ἐσομένην εὐσέβειαν, ὥστε καὶ ταύτῃ παραθῆξαι τοὺς ὁμοφύλους εἰς τὴν περὶ τὰ θεῖα σπουδήν. Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεως καὶ ἔσται εἰς πτῶσιν. Θεγλαθφαλσὰρ αὐτὴν πολιορκήσας καὶ τοὺς μὲν ἀνελὼν τοὺς δὲ ἐξανδραποδίσας ἑτέρους εἰς αὐτὴν ἀποίκους ἐξέπεμψεν. Ἐπεστράτευσε δὲ τοῦ Ἄχαζ ἔτι περιόντος. Ἐπισημήνασθαι γὰρ καὶ τοῦτο δεῖ, ἐπειδὴ τῆς τοῦ Ἄχαζ ἐμνημόνευσε τελευτῆς. Ἐβουλήθη γὰρ τὴν κατ' ἐκεῖνον ἱστορίαν τε καὶ προφητείαν πληρῶσαι, εἶθ' οὕτω τὰ κατὰ τῶν ἄλλων ἐθνῶν παραθεῖναι θεσπίσματα. 2Καταλελειμμένη εἰς τὸν αἰῶνα εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν βουκόλων, καὶ οὐκ ἔσται ὁ διώκων· 3καὶ οὐκ ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν ἐκεῖ τὸν Ἐφραίμ· οὐκέτι ἔσται βασιλεία ἐν Δαμασκῷ. Τό· εἰς τὸν αἰῶνα, οὐ τῇ ἐρημίᾳ τῆς πόλεως ἀλλὰ τῇ βασιλείᾳ συνήρμοσται. Οἰκεῖται μὲν γὰρ ἡ Δαμασκός, οὐ μὴν βασιλεύει ἀλλὰ βασιλεύεται, ἔρημος δὲ ἐπὶ πλεῖστον ἐγένετο· ἀλλὰ πάλιν ἀνῳκοδομήθη καὶ πλείστους ἔσχεν οἰκήτορας, οὐ μὴν τὴν προτέραν εὐπρα ξίαν ἀπέλαβεν. Πάλαι γὰρ τῆς Συρίας πάσης προὐκάθητο· αὐτὴ γὰρ εἶχε τὰ τοῦ βασιλέως τῶν Σύρων βασίλεια. Ὅθεν ἐπάγει· Καὶ τὸ κατάλοιπον τῶν Σύρων ἀπολεῖται. Ἀντὶ τοῦ αἰχμάλωτον ἔσται· ἐκοινώνησαν γὰρ τῇ μητροπόλει τῆς συμφορᾶς αἱ ὑπήκοοι πόλεις. Οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ καὶ τῆς δόξης αὐτῶν. Εἰ γὰρ τὸν ἀφιερωμένον μοι λαόν, τὸν πολυθρύλητον Ἰσραήλ, διὰ τὴν ἀσέβειαν παρέδωκα, πῶς ἂν δικαίως ἐφεισάμην τῆς παντελῶς ἀρνουμένης με; Τί δὲ πείσεται ὁ Ἰσραήλ, διὰ τῶν ἐπαγομένων δηλοῖ· 4Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης Ἰακώβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται. Μετὰ γὰρ τὴν ἅλωσιν τῆς Δαμασκοῦ τὰς δέκα φυλὰς ἀπῴκισαν οἱ Ἀσσύριοι. Εἶτα τῆς κατ' αὐτῶν νίκης τὴν εὐκολίαν διδάσκει· 5Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα ἐν τῷ βραχίονι αὐτοῦ καὶ σπέρμα σταχύων ἀμῆται. Καθάπερ φησὶν ὁ γεωργὸς μάλα ῥᾳδίως θερίζει καὶ ταῖς ἀγκάλαις τὸ δρ άγμα συνάγει, οὕτω λίαν εὐπετῶς οἱ Ἀσσύριοι τῶν δέκα φυλῶν περιέσονται. Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀστάχυας ἐν φάραγγι στερεᾷ 6καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥᾶγες τρυγηθείσης ἐλαίας δύο ἢ τρεῖς ἐπ' ἄκρου μετεώρου ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν τῶν μετεώρων καταλειφθῶσιν. Ὀλίγοι φησὶν τὰς τῶν δυσμενῶν διαφεύξονται χεῖρας, καθάπερ τινὲς εὐτελεῖς καὶ εὐαρίθ μητοι ἐλαῖαι διαφεύγουσι τοὺς τρυγῶντας διὰ τὸ ἐν τοῖς ἄκροις μετεωρισθῆναι τῶν κλάδων ὑπ' ἐκείνων καταφρο νούμεναι ἢ καλάμη τις ἐν φάραγγι ὀλίγῃ στερεᾷ τε καὶ δια β όρῳ καταλιμπανομένη. Σημαίνει δὲ διὰ τούτων τοὺς ἐν τοῖς παρακειμένοις διαφεύγοντας ὄρεσι καὶ τούτῳ τῷ τρόπῳ τὴν σωτηρίαν ποριζομένους. Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· 7Τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτόν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται. Τῇ πείρᾳ γὰρ μεμαθηκότες τὴν τῶν εἰδώλων ἀσθένειαν τὸν τῶν ὅλων θεὸν εἰς συμμαχίαν καλοῦσιν. 8Καὶ οὐ μὴ πεποι θότες ὦσιν ἐπὶ τοῖς βωμοῖς οὐδὲ |124 a| ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ οὐκέτι ὄψονται τὰ δένδρα οὐδὲ τὰ βδελύγματα αὐτῶν. Ἀκριβῶς μαθήσονται ὡς τὰ μέν ἐστιν ἄψυχα φυτά, τὰ δὲ χειροποίητα εἴδωλα ἐκ μὲν τῆς ὕλης τὴν οὐσίαν ἐκ δὲ τῆς τέχνης τὸ εἶδος ἠρανισμένα. Εἶτα προλέγει τὴν τῶν πόλεων ἐρημίαν καὶ παραβάλλει ταύτην τῇ παλαιᾷ ἣν ἐπήγαγον αὐτοὶ τοῖς Ἀμορραίοις καὶ Εὐαίοις τῆς Αἰγυπτίων ἀπαλλαγέντες δουλείας. Καθάπερ γάρ φησιν ὑμεῖς ἐκεῖνα τὰ ἔθνη καταλύσαντες τὰς ἐκείνων διενείμασθε πόλεις, οὕτω νῦν δορυαλώτων ὑμῶν γενομένων ἄλλοι ταύτας οἰκήσουσιν· ᾤκησαν δὲ αὐτὰς οἱ καλούμενοι Σαμαρῖται. Καὶ τὴν αἰτίαν τούτου διδάσκει· 10Διότι κατέλιπας τὸν θεὸν τὸν σωτῆρά σου καὶ κυρίου τοῦ θεοῦ σου οὐκ ἐμνήσθης. Ἡ ἀχάριστος γνώμη τὰς συμφοράς σοι γεννήσει. Διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον καὶ σπέρμα ἄπιστον. Τὸν χρόνον ἐνήλλαξε καὶ ἀντὶ τοῦ παρεληλυθότος τὸν μέλλοντα τέθεικεν. Ἐπειδὴ ἀγνώμων φησὶ περὶ τὸν εὐεργέτην ἐγένου, τὴν ἀπιστίαν ἐφύτευσας καὶ τὴν ἀσέβειαν ἔσπειρας. Ἀλλὰ συμβαίνοντας τοῖς φυτοῖς καὶ τοῖς σπέρμασι δρέψῃ καρπούς. Τοῦτο γὰρ ἐπήγαγεν· 11Τῇ δὲ ἡμέρᾳ ᾗ ἐὰν φυτεύσῃς πλανηθήσῃ· τὸ δὲ πρωὶ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητόν· καὶ ᾗ ἂν ἡμέρᾳ θερίσῃς, κληρώσῃ, καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσει τοῖς υἱοῖς αὐτοῦ. Ἡ μὲν γὰρ πλάνη τῆς τοιαύτης αἰτία σπορᾶς, ἡ δὲ σπορὰ τὸν ἀμητὸν προξενεῖ· ὁ δὲ τοιοῦτος ἀμητὸς καρπός ἐστι τῶν πονηρῶν γεωργῶν, οὐ μόνον αὐτοῖς ἀλλὰ καὶ τοῖς υἱοῖς φυλαττόμενος. 12Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν. Ἀναγκαίως δείκνυσι τοὺς τῆς κακῆς γεωργίας καρποὺς καὶ προτίθησι τῆς προρρήσεως θρῆνον καὶ–ἵνα μὴ καὶ τὰ σαφῶς εἰρημένα πλατύνων μηκύνω–ἀπεικάζει θαλάττῃ κυμαινούσῃ τῶν πολεμίων τὸ πλῆθος καὶ τοὺς ἐκείνων λόχους τοῖς κύμασιν, αὐτοὺς δὲ τοὺς πολεμουμένους κόνει λεπτοτάτῃ, ἣν τροχὸς ἁμάξης ἐλέπτυνε καὶ σφοδρὸς ἐσκέδασεν ἄνεμος· ταὐτὸ δὲ τοῦτο καὶ τοῦ ἀχύρου τὸν χοῦν πάσχειν ὑπὸ τοῦ πνεύματος λέγει. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ μακαρίου Δαυὶδ εἰρημένα· «Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.» Ταῦτα ταῖς δέκα φυλαῖς καὶ τοῖς τούτων ἐπικούροις προαγορεύσας Δαμασκηνοῖς, πρὸς τὴν Ἰουδαίαν μεταφέρει τὸν λόγον καί φησιν· 14Αὕτη ἡ μερὶς τῶν ὑμᾶς προνομευσάντων καὶ κληρονομία τῶν ὑμᾶς κληρονομησάντων. Προειρήκαμεν δὲ ἤδη ὡς πολλὰς αὐτῶν μυριάδας οὗτοι κατὰ ταὐτὸν γενόμενοι καὶ κατηκόντισαν καὶ αἰχμαλώτους ἀπήγαγον. 18Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας. Ὁ τῆς Δαμασκοῦ βασιλ εὺς δείσας τῶν πολεμίων τὴν προσβολὴν Αἰγυπτίους καὶ Αἰθίοπας εἰς συμμαχίαν ἐκά λεσεν· ὀξέως δὲ ταύτης τυχεῖν ἐφιέμενος διὰ θαλάττης τοὺς πρέσβεις ἀπέστειλεν. Πτέρυγας μέντοι τὰ πλοῖα ἐκάλεσεν, ἐπειδήπερ οἱ ἐν τῇ γῇ κατοικοῦντες ἄνθρωποι, ταχέως κατορθῶσαι τὰς προ κει μένας βουλόμενοι χρείας, καθάπερ τισὶ πτεροῖς κεχρημένοι τοῖς πλοίοις τάχιστα καὶ μακρὰν ὁδὸν ἐξανύουσιν. 2Ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βυβλίνας ἐπάνω τοῦ ὕδατος. Τὰς βυβλίνας «παπυρίνας» ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν. Δηλοῖ δὲ τοὔνομα τὸν χάρτην· ἀπὸ παπύρου γὰρ οὗτος κατα σ κευά ζεται. Ὅ μηρα δὲ τοὺς πρέσβεις ἐκάλεσε τοὺς ἀποσταλέντας πρὸς Αἰγυπτ ίους καὶ Αἰθίο πας· οὕτω γὰρ ὁ Ἀκύλας· «ὁ ἀποστέλλων ἐν θαλάσσῃ πρεσβευτάς». Πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον καὶ ξένον, λαὸν χαλεπόν, οὗ ἐπέκεινα ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον. Τὸ ἀσθενὲς τῶν Αἰγυπτίων διὰ τούτων ᾐνίξατο. Χαλεπὸν μὲν καὶ μετέωρον τοῦτο τὸ ἔθνος ἐκάλεσε τὴν κατὰ τῶν ὑπηκόων σημαίνων βαρύτητα, ἀνέλπιστον δὲ ὡ ς μηδεμίαν ἐλπίδα σωτηρίας τοῖς κατα φεύγουσι παρέχειν δυνάμενον· τὸ δὲ καταπεπατημένον σημαίνει τὸ εὐχεί ρωτον καὶ εὐάλωτον. Τοῦτο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ διὰ τῶν ἐπαγομένων δεδήλωκεν· Οὗ διήρπασαν οἱ ποταμοὶ |124 b| τῆς γῆς 3πάντες. Ποταμοὺς τῆς γῆς τοὺς βασιλέας καλεῖ τοὺς διαφόρως ἐκείνων περιγενομένους. Καὶ γὰρ Ναβουχο δονόσορ αὐτοὺς κατέλυσε, καὶ μετὰ ταῦτα Καμβύσης καὶ ἕτεροι Περσῶν βασιλεῖς καὶ μέντοι καὶ Μακεδόνες αὐτοὺς δουλεύειν ἠνάγκασαν. Ὡς χώρα κατοικουμένη κατοικη θήσεται ἡ χώρα αὐτῶν, ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται. Οὐκέτι φησὶ βασιλευθή σονται ἀλλὰ τοῖς ἄλλοις ἔθνεσι παραπλησίως δουλεύσουσιν. Καὶ ἔσται αὐτῶν ἐπίσημος ἡ δουλεία ὡς σημεῖον ἐφ' ὑψηλοῦ ὄρους αἰρόμενον καὶ ὡς διὰ σάλπιγγος πάντοσε ἐκκηρυτ τομένη. Ταῦτα μὲν οὖν τῇ Δαμασκῷ καὶ τοῖς ἐκείνης ἐπικούροις γενήσεται, ἡ δὲ Ἱερουσαλὴμ τῆς παρ' ἐμοῦ τεύξεται προμη θείας. 4Ἀσφάλεια γάρ φησιν ἔσται ἐν τῇ ἐμῇ πόλει ὡς φῶς καύματος μεσημβρίας καὶ ὡς νεφέλη δρόσου ἐν ἡμέρᾳ ἀμή του. Ἀπεικάζει καύματι μὲν καὶ ἀμήτῳ τῶν ἄλλων τὰς συμφοράς, φωτὶ δὲ καὶ δρόσῳ τὴν πρόνοιαν, ἧς ἡ Ἱερουσαλὴμ τετύχηκεν. Πρὸ γὰρ τῶν ταύτης περιβόλων αἱ πολλαὶ τῶν Ἀσσυρίων ἔπεσον μυριάδες. Εἶτα προλέγει τῆς Δαμασκοῦ καὶ τῶν δέκα φυλῶν τὰς παντοδαπὰς συμφοράς· 5Ὅταν συντελεσθῇ ἄνθος καὶ ὄμφαξ ἀνθήσῃ τὸ ἄνθος ὀμφακίζον, καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις καὶ τὰς κληματίδας ἀφελεῖ καὶ ἀποκόψει 6καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. Δυσμενῶν ὑπέδειξε τρύγητον· οὐδεὶς <γὰρ> οἰκείαν τρυγῶν ἄμπελον ἀνθοῦντας ἔτι τοὺς βότρυας ἢ ὀμφακίζοντας ἀλλὰ πεπείρους τρυγᾷ οὔτε μὴν σὺν τοῖς βότρυσι καὶ τὰ κλήματα ἐκτέμνει. Τροπικῶς τοίνυν τὰ ὑπὸ τῶν πολεμίων ἐσόμενα προλέγει καὶ καλεῖ κλήματα μὲν τοὺς γεγεννηκότας, βοτρύδια δὲ μικρὰ τὰ ἐκείνων βρέφη, δρέπανα δὲ τὰ πολεμικὰ ὄργανα, τὰ δὲ καταλιμπανόμενα οἰωνοῖς καὶ θηρίοις τοὺς πίπτοντας νεκρούς. Τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων δεδήλωκεν· Καὶ συναχθήσεται ἐπ' αὐτοὺς πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τῆς γῆς ἐπ' αὐτοὺς ἥξει. Οὕτω τῆς Δαμασκοῦ καὶ τῶν δέκα φυλῶν τὸν ὄλεθρον ἐπιδείξας εἰς τὴν Ἱερουσαλὴμ τὴν προφητείαν μετέθηκεν· 7Ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου καὶ τετιλμένου καὶ ἀπὸ λαοῦ μεγάλου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον. Λαὸν τεθλιμμένον καὶ τετιλμένον τὸν τῆς Ἱερουσαλὴμ λέγει· αὕτη μὲν γὰρ ἐν ἀγῶνι διῆγε καὶ δέει, αἱ δὲ ὑπ' αὐτὴν ἑάλωσαν πόλεις, ὅθεν αὐτῇ καὶ τὸ τετιλμένον ἁρμόζει. Λαὸν δὲ μέγαν τὸν Χριστιανικὸν καλεῖ, οὗ πᾶσα πλήρης ἡ οἰκουμένη· οὗτος γὰρ εἰς τὸν αἰῶνα χρόνον δῶρα κυρίῳ προσφέρει καὶ τὴν τοῦ Σεναχηρὶμ παράδοξον κατάλυσιν ἐν ταῖς ἐκκλησίαις ἀκούων ὕμνοις τὸν δυνατὸν καὶ φιλάνθρωπον δεσπότην ἀμείβεται. Ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ, εἰς <τὸν> τόπον, οὗ τὸ ὄνομα κυρίου Σαβαὼθ ἐπικέκληται, ὄρους Σιών. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν «Ἔθνος ἐλ πίζον καὶ διηρπασ μένον, οὗ διήρπασαν οἱ ποταμοὶ τὴν γῆν.» Καλεῖ δὲ ποταμοὺς τῶν Ἀσσυρίων τοὺς βασιλέας τοὺς π ολεμίους, διηρπα σμένον δὲ ἔθνος καὶ ἐλπίζον τὸν ἐν Ἱεροσολύμοις λαόν. Εὐσεβείᾳ γὰρ κοσμούμενος τούτων ὁ βασιλεύς, ὁ θαυμάσιος Ἐζεκίας, εἰς τὴν εὐθεῖαν αὐτοὺς ὁδὸν ἐποδήγησεν. Οὗτοί φησι τὰ κατὰ τῶν Ἀσσυρίων γεγενημένα θεασάμενοι ἑορτὴν μεγίστην ἐπιτελέσουσι, θυσίας καὶ δῶρα τῷ σωτῆρι προςφέροντες. Οὕτω συμπεράνας τὰ κατὰ τῆς Δαμασκοῦ καὶ τῶν δέκα φυλῶν προηγορευμένα καὶ δείξας τῆς Ἱερουσαλὴμ τὴν πα ρά δοξον σωτηρίαν, ἐπὶ τὴν Αἴγυπτον μεταφέρει τὴν προφητείαν. Ἐπειδὴ πρὸς τούτους κατέ πεμψεν ὁ τῆς Δαμασκοῦ βασιλεύς, μάλα εἰκότως καὶ τὰ περὶ τούτων προλέγει καὶ τὴν τῆς βα σιλεί ας αὐτῶν προαγορεύων κατάλυσιν καὶ τὴν τῆς ἀσεβείας ἀπαλλαγήν· 191Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον. Μαρτυρεῖ τῇ προφητείᾳ τῶν ἱερῶν εὐαγγελίων ἡ ἱστορία· τῷ γὰρ Ἰωσὴφ ἄγγελος παρηγγύησε τὴν Αἴγυπτον κατα λαβεῖν σὺν τῷ παιδίῳ καὶ τῇ τούτου μητρί. Νεφέλην τοίνυν κούφην τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρωπείαν καλεῖ φύσιν, ἣν ὁ θεὸς λόγος ἀνέλαβεν· γα μικ ὸν γὰρ ὑετὸν ἡ σύλληψις οὐκ ἐδέξατο. Εἶτα διδάσκει τὴν τῆς δεσποτικῆς παρουσίας |125 a| ἐνέργειαν· Καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ. Μαρτυρεῖ τῇ προρρήσει τὰ πράγματα· ἔσβεσται γὰρ αὐτῶν ἡ πολύθεος πλάνη, καὶ ὁ ἐπὶ τῆς νεφέλης τῆς κούφης καθήμενος ὑπ' αὐτῶν προσκυνεῖται. Καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. Ἔστιν ἧττα καὶ νίκης ἀμείνων. Ταύτην καὶ ἐν τοῖς πρόσθεν εἰρημένοις καταδέξασθαι τοῖς ἔθνεσιν ὁ προφητικὸς παρηγγύησε λόγος· «Γνῶτε» γὰρ ἔφη «ἔθνη καὶ ἡττᾶσθε.» Καὶ ἐνταῦθα τοίνυν διδάσκει ὅτι οἱ πάλαι ἀντιλέγοντες καὶ ἀντικρὺ λέγοντες· Οὐκ οἶδα τὸν κύριον, ἡττήθησαν καὶ βοῶσιν· Οἶδα τὸν κύριον. 2Ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολε μήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ· πόλις ἐπὶ πόλιν καὶ νομὸς ἐπὶ νομόν. 3Καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. Τοῦτο καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς προηγόρευσεν εὐαγγελίοις· «Ὅτι οὐκ ἦλθον βαλεῖν εἰρήνην εἰς τὸν κόσμον ἀλλὰ μάχαιραν, διχάσαι ἄνθρωπον ἀπὸ τοῦ πλησίον αὐτοῦ, υἱὸν ἀπὸ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα ἀπὸ τῆς μητρὸς αὐτῆς, νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς.» Τὴν γὰρ τῆς ἀσεβείας ὁμόνοιαν διελὼν δι' αὐτῶν τῶν τῆς ἀσεβείας τροφίμων ἐκήρυξε τὴν ἀλήθειαν· καὶ τὴν βλαβερὰν διασκεδάσας ὁμόνοιαν τὴν ὀνησιφόρον ὁμοφροσύνην εἰσήγαγε καὶ ἀντέταξε τοῖς δυσσεβέσι τοὺς εὐσεβεῖς, τῷ νόμῳ τῆς ἀπιστίας τὸν νόμον τῆς πίστεως. Καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας καὶ τοὺς ἐγγαστριμύθους. Οἱ δὲ ἀπιστοῦντές φησι τὰ μαντεῖα περινοστήσουσι καὶ νεκυίαις χρήσονται καὶ στερνομάντεις καλοῦσι, μηχανάς τινας κατὰ τῆς εὐσε βείας ἐπιζητοῦντες. Ἐγὼ δὲ καὶ ἄλλως αὐτῶν καταμαλάξω τὸ ἀπειθές· 4Παραδώσω γάρ φησιν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. Τὴν Ῥωμαϊκὴν βασιλείαν διὰ τούτων ᾐνίξατο. Ταύτην γὰρ καὶ ἡ τοῦ Δανιὴλ προφητεία σίδηρον ἀπεκάλεσεν· ἐκείνῳ γάρ φησι παραπλησίως «λεπτυνεῖ πάντα καὶ δαμάσει». Ἁρμοδίως δὲ καὶ ταύτην τὴν προφητείαν τῇ περὶ τοῦ κυρίου συνῆψε προρρήσει. Αὐγούστου γὰρ βασιλεύοντος ὁ παρ θενικὸς ἐγένετο τόκος. Αὔγουστος δὲ τὴν Αἰγυπτίων βασι λείαν παντελῶς καταλύσας ὑπάρχοις βασιλείας παρέδωκεν. Τάδε λέγει κύριος Σαβαώθ· 5καὶ πίονται Αἰγύπτιοι ὕδωρ τὸ παραθαλάσσιον, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηραν θήσεται. Προεῖπεν ὁ προφήτης ἐν τοῖς ἔμπροσθεν εἰρημένοις· «Ὅτι πληρωθήσεται ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψει θαλάσσας.» Τοῦτό φησι τὸ ὕδωρ μεταβαλεῖ καὶ τὴν Αἴγυπτον καὶ τοῦτο αὐτοῖς ἔσται πότιμον μόνον· ὃ δὲ πρότερον ἔπινον, τουτέστι τῆς πολυθέου πλάνης τὰ νάματα, ἄποτον ἔσται. Ποταμὸν γὰρ καλεῖ τὴν πλάνην, διώρυγας δὲ τὰς πολυσχεδεῖς αὐτῆς ἀτραπούς. Τοῦτο γὰρ ἐπήγαγεν· 6Καὶ ἐκλείψουσιν οἱ ποταμοὶ καὶ αἱ διώρυγες τοῦ ποταμοῦ, καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος καὶ πᾶν ἕλος καλάμου καὶ παπύρου. 7Καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ καὶ πᾶν τὸ σπειρό μενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἐν ἀνεμοφθορίᾳ. Μάλα εἰκότως τὴν ἀσέβειαν καλάμῳ καὶ παπύρῳ καὶ χιλῷ ἀπει κάζει χλωρῷ. Ἄκαρπος γὰρ ἡ πλάνη, ἀνεμόφθορα δὲ καὶ τὰ διὰ ταύτης σπειρόμενα κέκληκεν. Ἡ γὰρ τῶν εἰδώλων προσκύνησις οὐδεμίαν μὲν ἀγαθῶν μετουσίαν, κακῶν δὲ φορὰν τοῖς ἀνθρώποις προσφέρει. 8Καὶ στενάξουσιν οἱ ἁλιεῖς καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμὸν, καὶ οἱ βάλλοντες σαγήνας καὶ ἀμφιβολεῖς πενθήσουσιν. Ἀμφιβολεῖς καὶ ἁλιέας καὶ ἀγκιστροθηρευτὰς τοὺς τῶν εἰδώλων ἱερέας καλεῖ. Οὗτοι γὰρ παυσαμένης τῆς πλάνης ἔστενον καὶ ὠλοφύροντο τὰς τῆς εὐπορίας οὐκ ἔχοντες ἀφορμάς. Ἐξαπατῶντες γὰρ τὰ πλήθη καὶ οἱονεὶ σαγηνεύοντες, εἰς ἑαυτοὺς τὸν ἐκείνων μετέφερον πλο ῦτον . 9Καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ σχιστὸν καὶ τοὺς ἐργαζομένους τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βύσσον, 10καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ. Τῶν καλουμένων φιλοσόφων τὴν ἐν λόγοις λεπτουργίαν διὰ τούτων αἰνίττεται· καὶ γὰρ οὗτοι διὰ τῆς εὐγλωττίας τῇ πλάνῃ συνήργουν. Διάφορα δὲ καὶ τούτων τὰ δόγματα· διὸ σχιστὸν τὸ λίνον ἐκάλεσεν. Αἰσχύνονται δὲ καὶ οὗτοι τῆς τῶν δογμάτων δυσσεβείας |125 b| ἐλεγχομένης καὶ ἀνιῶνται καταγωνίζεσθαι τὴν ἀλήθειαν οὐκ ἰσχύοντες. Καὶ πάντες οἱ ποιοῦντες τὸν ζῦθον λυπηθήσονται καὶ τὰς ψυχὰς πονήσουσιν. Πόμα ἐστὶν ὁ ζῦθος ἐπινενοημένον, οὐ φυσικόν· καὶ αὐτὸ δὲ ὀξῶδές τε καὶ δυσῶδες καὶ βλάβην, οὐκ ὄνησιν ἐργαζόμενον. Τοιαῦτα δὲ καὶ τῆς ἀσεβείας τὰ δόγματα, οὐκ οἴνῳ προσεοικότα τῷ «εὐφραίνοντι καρδίαν ἀνθρώπου». Εἶτα διδάσκει ὡς καὶ τῆς Τάνεως οἱ ἄρχοντες–πόλις δὲ αὕτη πάλαι βασιλεύσασα τῆς Αἰγύπτου–ἀνοηταίνοντες αἰσχυνθήσονται καὶ μηχανὴν οὐδεμίαν εἰσενεγκεῖν κατὰ τῶν τῆς εὐσεβείας κηρύκων δυνήσονται. Ἔπειτα τὸ ἀλαζο νικὸν αὐτῶν διελέγχει φρόνημα· 11Πῶς ἐρεῖτε τῷ βασιλεῖ· Υἱοὶ συνετῶν ἡμεῖς, υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; 12Ποῦ εἰσιν οἱ σοφοί σου; Καὶ ἀναγγειλάτωσάν σοι καὶ εἰπάτω σάν σοι, τί βούλεται κύριος Σαβαὼθ ἐπ' Αἴγυπτον. Οὔτε γὰρ ἀστρολόγοι οὔτε χρησμολόγοι διδάξαι σε τοῦ θεοῦ τὴν οἰκονομίαν δυνήσονται. Πρὸς τούτοις προλέγει καὶ τὴν ἐσομένην τῶν Αἰγυπτίων διαίρεσιν καὶ τὴν βασιλικὴν μετάστασιν· 13Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανῶσιν Αἴγυπτον κατὰ φυλάς. 14Κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως. Ἡ ἀλήθεια οὐ πλανᾷ ἀλλὰ τοὺς ἀντικειμένους καὶ ἀντιλέγοντας ἀκυβερνήτους ἐᾷ. Ἐστερη μένοι δὲ οὗτοι τοῦ κυβερνῶντος εἰκότως πλανῶνται. Τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς δεδήλωκεν· Καὶ ἐπλάνησεν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἐμῶν ἅμα. Ἀντὶ τοῦ· εἴασεν αὐτοὺς ἀκυβερνήτους διὰ τὰ ἔργα αὐτῶν. Καὶ ὁ μεθύων δὲ γνώμῃ τὸ πάθος εἰσδέχεται. Τὴν ὑπερβολὴν δὲ τῆς πλάνης δηλῶν ἀπείκασεν αὐτοὺς ἀκρατεῖ ἀνθρώπῳ πίνοντι κατὰ ταὐτὸν καὶ ἐμοῦντι, ὃν οὐδὲ ὁ ἐμετὸς τοῦ πίνειν ἀφίστησιν. Καὶ γὰρ οὗτοι πολλὰς συμφορὰς διὰ τὴν ἀσέβειαν ὑπομείναντες ἀσεβοῦντες ἐπὶ πλεῖστον διέμειναν, οἱ δὲ προειρημένοι ἄρχοντες τῆς ἐξα πάτης αἴτιοι διάφορα αὐτοὺς δυσσεβείας διδάσκοντες δόγματα. Οἱ μὲν γὰρ κύνα οἱ δὲ λέοντα οἱ δὲ πίθηκον ἐθεοποίουν καὶ οἱ μὲν λύκον οἱ δὲ πρόβατον, τὰ ἐναντία ἀλλήλοις. Διὰ τοῦτο ὁ προφητικὸς ἔφη λόγος· Καὶ πλανῶσιν Αἴγυπτον κατὰ φυλάς. Οὐ τοίνυν ὁ κύριος αὐτοὺς ἐπλάνησεν, ἀλλ' οἱ τούτων διδάσκαλοι· ὁ δὲ κύριος τῆς ἀχαριστίας ἠνέσχετο. 15Καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον, ὃ ποιήσει κεφαλὴν καὶ οὐράν, ἀρχὴν καὶ τέλος. Ἀτέλεστά φησιν αὐτῶν τὰ βουλεύματα ἔσται, καὶ σύγχυσις ἀρχόντων καὶ ἀρχομένων γενήσεται. 16Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς κυρίου Σαβαὼθ ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. Χεῖρα κυρίου τὴν Ῥωμαϊκὴν ἐκάλεσε βασιλείαν, ἧς τὸ δέος τὸ τῶν Αἰγυπτίων κατέλυσε φρόνημα καὶ γυναιξὶν ἐοικότας ἀπέφηνεν. 17Καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον· πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλὴν ἣν βουλεύεται κύριος Σαβαὼθ ἐπ' αὐτήν. Τινές φασι τὰ κατὰ τὸν Σεναχηρὶμ διὰ τούτων σημαίνεσθαι καὶ ὡς τούτων πανταχοῦ μηνυθέντων ἐφοβήθησαν τοὺ ς Ἰουδαίους οἱ Αἰγύπτιοι. Ἀλλ' οὐχ εὑρίσκω τοῦτο οὕτως ἔχον· ἐπεστράτευσαν μὲν γὰρ μετὰ τ αῦτα κατὰ τ ῶν Ἰουδαίων οἱ Αἰγύπτιοι καὶ τὸν Ἰώχας, τὸν τούτων βασιλέα, δορυά λωτον ἤγαγον καὶ ............ τὸν Ἰωσίαν ἀνεῖλον καὶ φόβον τοῖς Ἰουδαίοις ἐπέβαλον. Οἶμαι τοίνυν τὸν προ φήτην προλέγειν ὡς τῆς πλάνης ἀπαλλαγέντες οἱ Αἰγύπτιοι καὶ τὸ ἀποστολικὸν δεξάμενοι κήρυγμα φοβηθήσονται τὴν Ἰουδαίαν γῆν ὡς ἐν αὐτῇ καὶ γεννηθέντος τοῦ τῆς οἰκουμένης σωτῆρος καὶ τὸ σωτήριον ὑπομείναντο ς πάθος καὶ μέντοι καὶ ὡς ἁγιασθεῖσαν καὶ τῷ σταυρῷ καὶ τῷ τάφῳ καὶ τῷ τῆς ἀντι.......... Τούτ ου χάριν μέχρι καὶ τήμερον Αἰγύπτιοι μετὰ τῶν ἄλλων ἀνθρώπων εἰς ἐκείνην τὴν χώ ραν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συντρέχουσιν . 18Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χανανίτιδι καὶ ὀμνύουσαι τῷ ὀνόματι κυρίου Σαβαώθ· Πόλις Ἀσεδὲκ κληθήσεται ἡ μία πόλις. Ἀσεδὲκ πόλις δικαιοσύνης ἑρμηνεύεται· καὶ γὰρ ὁ Μελχισεδὲκ κατὰ τὸν θεῖον ἀπόστολον «βασιλεὺς δικαι οσύνης» |126 a| ὀνομάζεται. Χανανίτιδα δὲ γλῶσσαν τὴν Ἑβραΐδα λέγει, ἐπειδὴ τὴν Χαναναίαν εἰσῴκησαν οἱ Ἑβραῖοι. Τινὲς δὲ ταῦτα ἔφασαν γεγενῆσθαι κατὰ τὸν τῶν Μακεδόνων καιρόν, ἀλλ' οὐ συμβαίνει τῇ προφητείᾳ ἡ ἑρμηνεία. Αἰγυπ τίων γὰρ λέγει μεταβολήν, οὐχ Ἑβραίων ἀποικίαν προλέγει. Καὶ ταῦτα τοίνυν τετύχηκε πέρατος μετὰ τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν. Τὰς δὲ πέντε πόλεις οὐχ ὡρισμένον λέγει τινὰ ἀριθμόν, ἀλλὰ τὸν τέλειον οὕτω ἐκάλεσεν. Πέντε γὰρ καὶ τοῦ ἀνθρώπου αἰσθήσεις· ὄψις ὄσφρησις γεῦσις ἁφή τε καὶ ἀκοή. Εἰ δὲ καὶ ἀριθμόν τις βούλεται ὡρισμένον εἶναι τὸν τῶν πέντε πόλεων ἀριθμόν, οὐδὲ οὕτως ψεῦδος περιθήσει τῷ λόγῳ· ὀλίγοι γὰρ <οἱ> ἐξ ἀρχῆς τὸ σωτήριον δεξάμενοι κήρυγμα, ηὐξήθη δὲ κατὰ μέρος τῆς εὐσεβείας τὰ σπέρματα. Μίαν δὲ πόλιν Ἀσεδὲκ καλουμένην, τουτέστι πόλιν δικαιοσύνης, οὐ μίαν τινὰ ἐξαίρετον λέγει ἀλλ' ἀντὶ τοῦ μίαν ἑκάστην. 19Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ τῶν Αἰγυπτίων καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ. Εἰ δὲ τὰ ἐπὶ Ὀνίου γεγενημένα φαῖεν Ἰουδαῖοι προηγορεῦσθαι, τῆς ἀληθείας διαμαρτάνουσιν. Τοῦ γὰρ Νόμου σαφῶς διαγορεύσαντος μὴ χρῆναι πανταχοῦ τῷ θεῷ θύειν, ἕνα δὲ ταῖς θυσίαις ἀφορίσαντος τόπον, παράνομον ἦν ἄντικρυς τὸ ἐν Αἰγύπτῳ γενόμενον. Οὐκ ἂν δὲ τὰ παράνομα ὡς ἔννομα ὁ προφητικὸς προηγόρευσε λόγος. Δῆλον τοίνυν ὡς θυσιαστήριον τὸ ἡμέτερον λέγει καὶ στήλην τὸν θεῖον νεών. Ἑνικῶς δὲ καὶ οὐ πληθυντικῶς λέγει, ἐπειδὴ καὶ τὴν ἐκκλησίαν πολλάκις τὴν καθ' ὅλης τῆς οἰκουμένης ἑνικῶς ὀνομάζει «ἥτις ἐστί» φησιν «ἐκκλησία θεοῦ ζῶντος» ὁ θεῖος ἀπόστολος, καί· «Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν.» Καὶ ἡμεῖς προσευχόμενοι ὑπὲρ τῆς ἁγίας καὶ μόνης καὶ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας φαμέν. Οὕτω τοίνυν κἀνταῦθα διὰ τοῦ ἑνὸς θυσιαστηρίου τὰ πολλὰ σημαίνει καὶ διὰ τῆς μιᾶς στήλης τοὺς πολλοὺς εὐκτηρίους οἴκους. 20Ὅτι κεκράξονται πρὸς κύριον διὰ τοὺς θλίβοντας αὐτούς, καὶ ἀποστελεῖ αὐτοῖς κύριος ἄνθρωπον ὃς σώσει αὐτούς, <κρίνων σώσει αὐτούς>. Οὐδὲ τοῦτο ἁρμόζει τῷ Ὀνίᾳ· οὐδὲ τῶν Αἰγυπτίων τὸν θεὸν ἱκετευσάντων οὗτος εἰς τὴν ἐκείνων ἐπικουρίαν ἐπέμφθη ἀλλὰ φεύγων εἰς τὴν Αἴγυπτον ἀπελήλυθεν. Τινὲς μὲν οὖν τῶν ἑρμηνευτῶν τὸν κύριον ἔφασαν διὰ τούτων σημαίνεσθαι, ἐγὼ δὲ ταύτην οὐ προσίεμαι τὴν διάνοιαν· οὐ γὰρ αὐτὸς ἀπεστάλη εἰς Αἴγυπτον ἀλλ' αὐτὸς ἀπέστειλεν ἄνθρωπον· πρὸ δὲ τῶν ἄλλων ὁ μακάριος Μᾶρκος ὁ εὐαγγελιστὴς ἐκείνων ἡγήσατο καὶ τὸν ἱερὸν αὐτῶν διεκόσμησε θρόνον. 21Καὶ γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις· καὶ γνώ σονται οἱ Αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ποιήσουσι θυσίαν καὶ δῶρον. Ἡμέραν δὲ τὸν καιρὸν καλεῖ, θυσίαν καὶ δῶρον τὴν μυστικὴν λειτουργίαν. Καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ καὶ ἀποδώσουσιν. Εὐχὰς καλεῖ τὰς ὑποσ χέ σεις , ἃς οἱ πολλοὶ καλοῦσι τάγματα. Τοῦτο καὶ ὁ ψ αλ μῳδὸς δηλοῖ· «Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.» Καὶ δηλοῖ τί ἐπηγγείλατο· «Ὁλοκαυτώ ματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων.» 22Καὶ πατάξει κύριος τοὺς Αἰγυπτίους πληγῇ καὶ ἰάσεται αὐτοὺς ἰάσει, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ εἰσακούσεται αὐτῶν καὶ ἰάσεται αὐτούς. Πληγὴν λέγει τὴν τῆς βασιλείας ἀφαίρεσιν, ἴασιν δὲ τὴν θείαν ἐπίγνωσιν. Καταλύσας γὰρ αὐτῶν τὴν βασιλείαν ἐδίδαξε τὴν εὐσέβειαν. 23Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ὁδὸς ἀπὸ Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι πρὸς Αἴγυπτον, καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους· καὶ δουλεύ σουσιν Αἰγύπτιοι τοῖς Ἀσσυρίοις. Ἀσσύριοι πάλαι καὶ οἱ Σύροι προσηγορεύοντο. Σημαίνει τοίνυν τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιμιξίαν τὴν μετὰ ταῦτα Σύροις καὶ Αἰγυπτίοις γεγενημένην κατὰ τὴν Αἰγυπτίων ὑποταγήν. Καὶ γὰρ ἐπὶ τῶν ἡμετέρων πατέρων εἰς τὴν Σύρω ν ἐπαρχίαν ἡ ἀρχὴ ἐπιστεύετο· ἐν Ἀντιοχείᾳ δὲ οὗτος, τῇ Σύρων μητροπόλει, καθήμενος Αἰγυπτίοις ............. |126 b| Τὴν πολλὴν τοίνυν τῶν Αἰγυπτίων μεταβολὴν διὰ τούτων ἡ προφητεία δεδήλωκεν. Εἰ δέ τις ταύτην οὐ προσίεται τὴν διάνοιαν, εἰδέναι χρὴ ὡς διάφορα ἐν διαφόροις ἐσόμενα καιροῖς οἱ προφῆται θεσπίζουσιν. Καὶ γὰρ τοῖς Ἰουδαίοις ἄνω προαγορεύσας οὗτος αὐτὸς ὁ προφήτης τοῦ Ἐμμανουὴλ τὴν σωτήριον γέννησιν, συνῆψεν εὐθὺς τὰ κατὰ τὸν Φακεὲ καὶ τὸν Ῥαασίν, ἔφη γάρ· «Καὶ καταλειφθήσεται ἡ γῆ ἣν σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων.» Τοῦτο δὲ συνέβη κατ' αὐτὸν τὸν καιρὸν καθ' ὃν τοῦτο ὁ προφήτης ἐθέσπισεν, τὰ δὲ κατὰ τὸν Ἐμμανουὴλ μετὰ πλείονα ἢ ἑξακόσια ἔτη τὸ πέρας ἐδέξατο· συνημμέναι δὲ ὅμως εἰσὶν αἱ προφητεῖαι, καὶ οὐκ ἔστι διορίζον οὐδέν. Οὕτω τοίνυν νοήσομεν καὶ τῆς Αἰγύπτου τὴν πρόρρησιν, ὡς ἐκεῖνα μὲν τὰ τὴν εὐσέβειαν προσημαί νοντα μακροῖς ὕστερον ἐγένετο χρόνοις, τὰ δέ γε κατὰ τοὺς Ἀσσυρίους κατ' ἐκεῖνον τὸν καιρὸν τετύχηκε πέρατος εἰς βεβαίωσιν τῆς μακροτέρας προρρήσεως. Καὶ ὅτι οἱ Αἰγύπτιοι Ἀσσυρίοις ἐπῆλθον–Φαραὼ γὰρ Νεχαὼ τοῦτο δέδρακε–, καὶ ἡ δευτέρα διδάσκει τῶν Παραλειπομένων καὶ τῶν Βασιλειῶν ἡ τετάρτη. Καὶ Ἀσσύριοι αὐτοῖς ἐπῆλθον, καὶ ἐδούλευσαν τοῖς Ἀσσυρίοις Αἰγύπτιοι, ἐπὶ δὲ τοῦ Ναβουχο δονόσορ τοῦτο συνέβη. 24Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τρίτος Ἰσραὴλ ἐν τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις, εὐλογημένος ἐν τῇ γῇ, 25ἣν εὐλόγησε κύριος Σαβαὼθ λέγων· Εὐλογημένος ὁ λαός μου ἐν Αἰγύπτῳ καὶ ἔργον χειρός μου ἐν Ἀσσυρίοις καὶ ἡ κληρονομία μου Ἰσραήλ. Τὴν ἀνάκλησιν τῶν Ἰουδαίων διὰ τούτων δεδήλωκεν. Ὥσπερ γάρ φησι τῆς Αἰγυπτίων αὐτοὺς ἠλευθέρωσα δουλείας, οὕτως αὐτοὺς ἐκ Βαβυλῶνος ἐπανάξω καὶ περιβλέπτους ἐργάσομαι καὶ τὴν εὐλογημένην γῆν οἰκῆσαι παρασκευάσω. Οὗτος γὰρ ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ τῆς ἐμῆς ἐπικουρίας τυχὼν δείξει μου τὴν ἰσχὺν ἐν Ἀσσυρίοις, τῆς ἐκείνων δι' ἐμοῦ δουλείας ἀπαλλαγείς, καὶ ἔσται μου πάλιν κληρο νομία. Τούτοις ἔτι συνάπτει ὁ προφήτης, ὡς στρατηγοῦ τινος Ἀσσυρίου, Τανάθαν ὀνομαζομένου, τὴν Ἄζωτον κατειληφότος καὶ ἀνάστατον αὐτήν τε καὶ τὴν χώραν πεποιηκότος ἐκελεύσθη παρὰ τοῦ θεοῦ τῶν ὅλων καὶ τὸν ἐκ τριχῶν κατασκευασμένον ἀποδύσασθαι χιτῶνα καὶ γυμνοῖς βαδίσαι ποσὶ καὶ συνάψαι τοῖς λόγοις τὸ σχῆμα καὶ δεῖξαι τῆς προφητείας τῶν λόγων διὰ τῶν ἔργων τὸ ἀληθές. Ἐμοῦ δέ φησι ταῦ τα πεποιηκότος αὐτὸς ὁ κύριος ταῦτα ἔφη ὀργάνῳ τῇ ἐμῇ χρησάμενος γλώττῃ· 203Ὃν τρόπον πεπόρευται ὁ παῖς μου Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος τρία ἔτη, ἔσται σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν· 4ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου καὶ Αἰθιόπων, νεανίσκους καὶ πρεσβύτας, γυμνοὺς καὶ ἀνυποδέτους, ἀνακεκαλυμμένους τὴν αἰσχύνην Αἰγύπτου. Περιώρισε τρισὶν ἔτεσι τὸν τῶν σημείων καιρὸν τῶν τὸν ἐσόμενον ὄλεθρο ν προδηλούντων καὶ διδάσκει, ὡς κατ' ἐκεῖνο τοῦ προφήτου τὸ σχῆμα πᾶσαν ἡλικίαν τῶν Αἰθιό πων καὶ Αἰγυπτίων γυμνώσαντες οἱ Ἀσσύριοι δορυαλώτους ἀπάξουσιν. 5Καὶ αἰσχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ Αἰγύπτιοι, οἳ ἦσαν αὐτοῖς εἰς δόξαν. Τῶν Ἀσσυρίων ἐπιόντων τοὺς Αἰθίοπας εἰς συμμαχίαν ἐκάλεσα ν. Καὶ οὗτοι μὲν ἀντελάβον το τῆς βοηθείας, κοινῇ δὲ τὴν ἧτταν ἐδέξαντο. 6Καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν· καὶ αὐτοὶ οὐκ ἐδύναντο σωθῆναι ἀπὸ βασιλέως Ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα; Νῆσον καλεῖ τὴν Αἴγυπτον ὡς θαλαττουμένην τῷ ποταμῷ καὶ ὡς ταῖς διώρυξι κυκλουμένην. Οὗτοί φησι μετὰ τὴν ἧτταν ἐροῦσιν ὅτι μάτην ἐθαρρήσαμεν Αἰθίοψιν, οὐδὲ γὰρ σφίσιν αὐτοῖς ἴσχυσαν ἐπαρκέσαι. Τοῦτο τέλος τῆς Αἰγυπτίων προρρή σεως. Ἐπειδὴ δὲ τῶν Ἀσσυρίων ἐμνήσθη, τῆς Βαβυλῶνος προα γορ εύ ει τὸν ὄλεθρον·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

21Τὸ ῥῆμα τῆς ἐρήμου θαλάσ σης. Ἔρημον θάλασσαν τὴν |127 a| Βαβυλῶνα καλεῖ, θάλασσαν μὲν διὰ τὴν προτέραν εὐημερίαν καὶ τῶν οἰκητόρων τὸ πλῆθος κύματα μιμουμένων, ἔρημον δὲ διὰ τὴν ἐπενεχθεῖσαν ὕστερον συμφοράν. Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι, ἐξ ἐρήμου ἐρχομένη, ἐκ γῆς φοβερᾶς. Ἠθοποιία ἐστὶν ἐκ προσώπου τῆς Βαβυλῶνος λεγομένη. Καλεῖται δὲ καταιγίδα τῶν Περσῶν καὶ Μήδων τὴν στρατιάν, ἣν εὔχεται διελθεῖν καὶ μὴ κατ' αὐτῆς χωρῆσαι. Εἶτα τὸ δέος αὐτῆς γυμνοῖ· Φοβερὸν 2τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι. Ἀνιαρά φησι καὶ χαλεπὰ προορῶ. Ὁ ἀθετῶν ἀθετεῖ, καὶ ὁ ἀνομῶν ἀνομεῖ. Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται,καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται. Ταῦτα ὁ Σύμμαχος οὕτως εἴρηκεν· «Ὁ ἀθετῶν ἀθετεῖται, καὶ ὁ ταλαιπωρίζων ταλαιπωρεῖ. Ἀνάβηθι Ἐλάμ, πολιορκεῖτε Μῆδοι.» Πάλαι φησὶν ἐγὼ ἠθέτουν, νῦν δὲ ἐγὼ ἀθετοῦμαι· πάλαι ἄλλους ἐγὼ ταλαιπώρους ἐποίουν, νῦν δὲ πάσχω ἃ ἔδρων. Δικαία ἡ ψῆφος. Ἀνάβηθι τοίνυν Ἐλάμ–ἔθνος δὲ τοῦτο Περσικόν–, πολιορκεῖτε ὦ Μῆδοι. Νῦν οὖν στενάξω καὶ παρακαλέσω ἐμαυτόν. Παραμυ θεῖται τὸν ὀδυνώμενον ὁ στεναγμός. Οἷον γάρ τις καπνὸς ἐκ τοῦ τῆς ἀθυμίας πυρὸς ἔνδοθεν ἐκ τῆς καρδίας ἐκπέμπεται, εἰκότως τοίνυν ἔφη· Στενάζω καὶ παρακαλέσω ἐμαυτόν. Διὰ τί δ έον στενάζειν; ὅτι 3ἐνεπλήσθη ἡ ὀσφῦς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν· ἡ γὰρ εὔζωνος πάλαι καὶ γενναία, ἡ κατὰ πάντων τῶν ἐθνῶν στρατεύουσα νῦν τῆς ἰσχύος ἐστέρημαι καὶ ὀδύνην ἔχω μιμουμένην ὠδῖνας. Τίς δὲ τῆς μεταβολῆς ἡ αἰτία; Ἠδίκησα τοῦ μὴ ἀκοῦσαι, ἐσπούδασα τοῦ μὴ βλέπειν. 4Ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει, ἡ ψυχή μου ἐφέσ τηκεν εἰς φόβον. Οὐκ ἠνεσχόμην φησὶ τῶν τοῦ Δανιὴλ συμβολῶν–ἐκεῖνος γὰρ ἔλεγε τῷ Ναβουχοδονόσορ· «Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ ἐν ἐλεημοσύναις ἀπόλουσαι τὰς ἁμαρτίας σου καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρ μοῖς πενήτων»–, εἶδον θαύμα τα μέγιστα καὶ τὸ δέον συνιδεῖν οὐκ ἠθέλησα, τὴν κάμινον ἐκείνην τοὺς γενναίους οὐ κατακαίουσαν ἀθλητάς. Τοῦτο γὰρ λέγει· Ἠδίκησα τοῦ μὴ εἰσακοῦσαι, ἐσπούδασα τοῦ μὴ βλέπειν. Ταῦτα ἐκ προσώπου τῆς Βαβυλῶνος τεθεικὼς ὁ προφήτης δείκνυσι τὸν θεὸν κελεύοντα τοῖς πολεμίοις καταθαρρῆσαι τῆς Βαβυλῶνος· 5Ἑτοιμάσατε γάρ φησι τὴν τράπεζαν, σκοπεύσατε τὴν σκοπιάν, φάγετε, πίετε· ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε θυρεούς. Εἶτα διδάσκει ὡς προσετάχθη στῆσαι κατασκόπους ἔν τινι περιω πῇ καὶ τὸ ὁρώμενον ἀπαγγεῖλαι. Καὶ τοῦτο δράσας εἶδε δύο ἱππεῖς, τὸν μὲν ἐπὶ ὄνου τὸν δὲ ἐπὶ καμήλου ὀ χού μενον. Σημαίνει δὲ διὰ μὲν τῶν ἵππων τὴν ἱππικὴν στρατιάν, διὰ δὲ τῆς ὄνου καὶ τῆς καμήλου τὰ σκευοφόρα ζῷα. 7Καὶ εἶπέ μοί φησιν· Ἀκρόασαι ἀκρόασιν πολλὴν 8καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν· κύριος εἶπεν. Ἡσυχίαν ἄγε φησί, καὶ ἡ μὲν γλῶττα πεπαύ σθω, ἡ δὲ ἀκοὴ ἀκροάσθω. Ἔχε δὲ κοινωνὸν τὸν Οὐρίαν· «Ἐπὶ γὰρ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.» Εἶτα ἔστη εἰς σκοπιὰν ὡς πανημέριον καὶ παννύχιον ἔτι τὸ ἀπαγγελησόμενον περιμένων καὶ εἶδέ τινα ἐπὶ ξυνω ρ ίδος ὀχ ούμενον κα ὶ β οῶντα ὡς 9Πέπτωκε Βαβυλών, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβη εἰς τὴν γῆν. Δῆλον δὲ ὡς ἀόρατοι δυνάμεις ἦσαν αἱ ταῦτα διαπορθμεύουσαι. Τούτων ἀκούσας ὁ προφήτης τῶν λόγων οὐκ ἀνέχεται κρύψαι ἀλλὰ τοῖς ὁμοφύ λοις σημαίνει· 10Ἀκούσατε οἱ καταλελειμμένοι καὶ ὀδυ νώμενοι, ἀκούσατε ἃ ἤκουσα παρὰ κυρίου Σαβαώθ, ἃ ὁ θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν. Ἱκανὰ δὲ ἦν ταῦτα τοῖς πιστεύουσιν ἐνθεῖναι ψυχαγωγίαν. Οὕτω τὰ περὶ τῆς Βαβυλῶνος προθεσπίσας καὶ τῇ περὶ Αἰγυπτίων ταῦτα προφητείᾳ συνάψας τὴν σωτηρίαν τῆς Ἰδου μαίας προλέγει. Ἰδουμ αίαν δὲ ἐνταῦθα τοῦ Ἠσαῦ τὸ γένος καλεῖ· Ἐδὼμ γὰρ οὗτο ς ἀπὸ τῆς πυρρᾶς ὠνομάσθη μορφῆς. Ἠ σαῦ δὲ καὶ Ἰακὼβ ἀδελφοί· ἀλλ' ὅμως καίπερ ἐξ Ἀ βραὰμ τὸ γένος κατάγοντες Ἰσραηλῖται καὶ Ἰδουμαῖοι μάλα δυσμενῶς περὶ ἀλλήλους διέκειν το .................. |127 b| ...τως τὸ προ γονικὸν ἐφύλαξαν μῖσος. Ἀλλὰ ταῦτα σαφέστερον ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταῖς τῶν ἄλλων προφητῶν δεδηλώκαμεν προφητείαις. 11Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ Σηίρ. Σηὶρ τὸ ὄρος τῶν Ἰδουμαίων καλεῖται· ἐκ δὲ τοῦ Ἠσαῦ καὶ αὐτὸ τὴν προσηγορίαν ἐδέξατο· ἐπειδὴ γὰρ δασὺς ἦν, Σηὶρ ὠνομάσθη, τουτέστι τετριχωμένος. Φύλασσε ἐπάλξεις. Τί ὀλολύζεις; φυλάσσοντι ἀπὸ νυκτὸς 12εἶπον· φυλάσσων ἦλθε τὸ πρωὶ καὶ τὴν νύκτα. Ἐπειδὴ γὰρ δεδιότες τοὺς πολεμίους ἠγρύ πνουν καὶ τῷ τείχει προσήδρευον νύκτωρ καὶ μεθ' ἡμέραν φυλάσσοντες καὶ φυλάσσοντες ἐβόων φοβεῖν ταύτῃ τοὺς ἐναντίους νομίζοντες, εἰκότως αὐτοῖς ὁ προφητικὸς λόγος ἐπιτωθάζων φησίν· Φύλασσε τὰς ἐπάλξεις, ἀντὶ τοῦ· Καλῶς ποιεῖς τῆς ἀσφαλείας προμηθούμενος, ἀνθ' ὅτου δὲ ὀλολύζεις φυλάσσων, καὶ οὐ νύκτωρ μόνον ἀλλὰ καὶ μεθ' ἡμέραν· ὅμως ἐὰν <ζητῆτε>, ζητεῖτε· ἐπιστρέψατε, ἔλθετε καὶ παρ' ἐμοὶ οἰκεῖτε 13ἐν τῷ δρυμῷ. Εἰ σωτηρίαν ζητεῖτε, πρὸς ἐμὲ ἔλθετε, μὴ ἑαυτοῖς θαρρεῖτε. Μέμνημαι τῆς τοῦ Ἀβραὰμ συγγενείας· διὰ τοῦτο καταφεύγοντας ὡς ἐν δρυμῷ τινι κατακρύψω καὶ κρείττους ποιήσω τῶν πολεμίων. Μετὰ τοὺς Ἰδουμαίους τοῖς Ἰσμαηλίταις τὰ ἐσόμεναπρολέγει· αὐτοὺς γὰρ Ἄραβας ὀνομάζει. Ἑσπέρας κοιμηθήσονται ἐν τῇ ὁδῷ Δαιδανίμ. 14Εἰς συνάντησιν διψῶντι φέρετε ὕδωρ, οἱ κατοικοῦντες ἐν χώρᾳ Θαιμάν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσιν. Δείκνυσι καὶ τούτους δραπετεύοντας τὸν Ἀσσύριον καὶ παρακελεύεται τοῖς πελάζουσι καὶ ἄρτους παρασχεῖν καὶ ὕδωρ ὡς φεύγουσιν. Διδάσκει δὲ καὶ τῆς φυγῆς τὴν αἰτίαν· πολύ φησι πλῆθος μαχαιροφόρων, πολὺ δὲ καὶ τοξοτῶν. Οὗ δὴ χάριν οἱ πλεῖστοι πεπτώκασιν. 16Διότι οὕτως εἶπέ μοι κύριος· Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, καὶ ἐκλείψει ἡ δόξα τῶν υἱῶν Κηδάρ, 17καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τοῦ ἀριθμοῦ τῶν ἰσχυρῶν Κηδὰρ ἔσται ὀλίγον, ὅτι κύριος ὁ θεὸς Ἰσραὴλ οὕτως ἐλάλησεν. Ἔδειξε τῶν εἰρημένων τὸ ἀληθές, τὸν εἰρηκότα δηλώσας· θεὸς γὰρ οὗτος καὶ κύριος. Τὸν μέντοι Κηδὰρ ἐν τῷ γένει τοῦ Ἰσμαὴλ εὑ ρήκαμεν. Λέγει τοίνυν οὐχ ὅτι παντελῶς τὸ τοιοῦτον καταλυθήσεται γένος, ἀλλ' ὅτι ἡ δόξα κατασβεσθήσεται καὶ ὀλίγοι ἀντὶ πολλῶν ἔσονται. Καὶ τοῦτο ἐγένετο μὲν ἐν τῇ τῶν Ἀσσυρίων προσβολῇ, ηὐξήθησαν δὲ πάλιν τῷ χρόνῳ. Ἀψευδὴς γὰρ ὁ τῷ Ἀβραὰμ ὑποσχόμενος τῶν τοῦ Ἰσμαὴλ ἀπογόνων τὸ πλῆθος. Μετὰ τούτους πρὸς τὴν Ἱερουσαλὴμ ποιεῖται τοὺς λόγους. Καλεῖ δὲ αὐτὴν φάραγγα Σιὼν διὰ τὴν ὑπὸ Ῥωμαίων αὐ τοῖς ἐπενεχθεῖσαν ἐρημίαν· ταύτην γὰρ ἐνταῦθα προ λέγει. 221Τί ἐγένετό σοι νῦν, ὅτι ἀνέβητε πάντες εἰς δώματα 2μάταια; Ἐνεπλήσθη ἡ πόλις βοώντων, ἡ πόλις γαυριῶσα. Τί τὸ καινόν φησι, τί τὸ παράδοξον, ὅτι ἡ κατὰ πάντων φρυαττομένη πόλις ταραχῆς τε καὶ θορύβου πεπλή ρωται, ὡς αὐτὰ κα ταλα βεῖν τὰ δώματα καὶ ἄνωθεν περισκοπεῖν τῶν πολεμίων τὸ πλῆθος; Οἱ τραυματίαι σου οὐ τραυματίαι μαχαίρας, οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμου. Οὐχ οἱ πολέμιοί φησιν ἰσχυροὶ γεγένηνται κατὰ σοῦ, ἀλλ' ἐγώ σε προὔδωκα διὰ τὴν κατ' ἐμοῦ μανίαν. Διὰ τοῦτο 3οἱ ἄρχοντές σου πεφεύγασιν καὶ ὅ σοι ἑάλ ωσαν ἐπεδήθησαν· καὶ οὐ μόνον οἱ ἄρχοντες ἀλλὰ καὶ τῶν στρα τιωτῶν οἱ ἀριστεύειν εἰω θότες οἱ μὲν ἀπέδρασαν οἱ δὲ ἁλόντες ἐδέθησαν. Ταῦτα προθεσπίσας ὁ προφήτης ἐπάγει · 4Διὰ τοῦτο εἶπον· Ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. Ἀπαραμύθητά φησι τὰ συμβάντα τῇ πόλει κακά. Θυγατέρα δὲ γένους αὐτὴν καλεῖ ὡς ἐξ αὐτῆς καὶ αὐτὸς κατάγων τὸ γένος. 5Ὅτι ἡμέρα ταραχῆς καὶ ἀπω λείας καὶ καταπατήματος καὶ πλανήσεως παρὰ κυρίου Σαβαώθ· ἐν φάραγγι Σιὼν πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη. Συμφορῶν αὐτοῖς φησιν ἐπέστη καιρός, διὸ δὴ εὐάλωτοι πᾶσιν ἐγένοντο οἱ λί αν ἀκαταφρόνητ οι . Διὰ τοῦτο καὶ τὴν πόλιν καταλιπόντες εἰς τὰ ὄρη πλανῶνται δρ ασμῷ περιποιήσεσθ αι τὴν σωτηρίαν ἐλπίζοντες. 6Οἱ δὲ Ἐλαμῖται ἔλαβον φαρέτρας. Ἐλαμίτας τοὺς Σαμαρίτας καλεῖ· ἐκ γὰρ τῆς Περσικῆς μετῳκίσθησαν χώρας. Ἀπεχθῶς δὲ διακείμενοι |128 a| πρὸς Ἰουδαίους συνεμάχουν κατ' αὐτῶν ἀναγκαίως Ῥωμαίοις. Εἶτα πάσῃ ὁμοῦ τῇ στρατιᾷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρακελεύεται· Ἀνάβητε ἄνθρωποι ἐφ' ἵππους, καὶ συναγωγὴ παρατάξεως. Τούτων δέ φησι γενομένων· 7Καὶ φάραγγες πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς τὰς πύλας ἐμφράξουσι 8καὶ ἀνακαλύψουσι τὰς πύλας Ἰούδα, τουτέστιν ἀνοίξουσιν. Ἐναντίον δὲ τῷ ἀνοῖξαι τὸ ἐμφράξαι. Ἀμφότερα δὲ ὅμως ἐποίουν· τοὺς μὲν γὰρ πολιορκουμένους ἐκώλυον φεύγειν, τοῖς δὲ πολεμίοις τὰς θύρας ἀνεπετάννυσαν. Καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως 9καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυίδ. Πάσας φησὶ μηχανὰς σωτηρίας ἀνερευνήσουσι καὶ τὰς ὑψηλὰς περισκοπήσουσ ιν οἰκίας , ταύτῃ λογιζόμενοι κρείττους ἔσεσθαι τῶν δυσμενῶν, καὶ τὴν ἄκραν Δαυὶδ καταλήψονται. Π ό λιν δὲ τὴν Σιὼν ὀνομάζει. Καὶ εἶδον ὅτι πλείους εἰσὶ καὶ ἀπέστρεψαν τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν 10καὶ τοὺς οἴκους Ἱερουσαλὴμ ἠρίθμησαν καὶ καθεῖλον τοὺς οἴκους εἰς ὀχύρωμα τείχους τῇ πόλει. Τὰ πλεῖστα τούτων καὶ Ἰώσηπος ἱστορεῖ τὴν Ἰουδαϊκὴν ἱστορίαν συγγράψας. Ὥσπερ γὰρ εἶδον ἀπολλ υμένην τὴν πόλιν, οἱ τῆς στάσεως ἀρχηγοὶ πολλὰς τῶν οἰκιῶν καταλύσαντες τὴν Ἀντωνίαν καὶ τὸν ναὸν ἀσφαλέστερον ᾠκοδόμησαν. 11Καὶ ἐποιήσατε ἑαυτοῖς ὕδωρ ἀναμέσον τῶν δύο τειχῶν ἐσώτερον τῆς ἀρχαίας κολυμβήθρας καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπ' ἀρχῆς κτίσαντα αὐτὴν καὶ τὸν ποιήσαντα αὐτὴν πόρρωθεν οὐκ εἴδετε. Οὐδενὸς ἂν τούτων ἐδεήθης, εἰ τὴν ἐμὴν ἐπεκαλέσω ῥοπήν· ἐν ἀκαρεῖ γὰρ ἂν τοὺς πολεμίους ἐσκέδασα. Ἐγκαλεῖ δὲ πρὸς τούτοις ὅτι, δέον πενθεῖν καὶ ὀλοφύρε σθαι καὶ τὸν θεὸν ἱλεοῦσθαι διὰ τὸ μέ γεθος τῶν συμφορῶν, δημοθοινίαις ἐχρῶντο καὶ εὐωχούμενοι διετέλουν 13λέγοντες· Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνῄσκομεν. Ταῦτα δέ φησιν ἅπαντα καὶ ἑώρα καὶ ἤκουσεν ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν. 14Ἀνακεκαλυμμένα γάρ φησίν ἐστι ταῦτα ἐν τοῖς ὠσὶ κυρίου Σαβαώθ, καὶ οὐκ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνητε, εἶπε κύριος ὁ θεὸς τῶν δυνάμεων. Καὶ ἀληθῶς παγχάλεπόν ἐστι καὶ συγγνώμην οὐκ ἔχον ἀγανακτοῦντος τοῦ δεσπότου τοὺς οἰκέτας τρυφᾶν καὶ τῷ γέλωτι δεικνύναι τὴν καταφρόνησιν. Ἐνταῦθα τοίνυν τὴν τούτου προφητείαν ἐπέρανεν· μετὰ δὲ ταῦτα διδά σκει ὡς ἐκελεύσθησαν 15εἰσελθεῖν εἰς τὸ παστοφόριον πρὸς Σομνᾶν τὸν ταμίαν καὶ εἰπεῖν αὐτῷ· 16Τί σοι ὧδε καὶ τί σοί ἐστιν ὧδε, ὅτι ἐλατόμησας σεαυτῷ ὧδε μνημεῖον καὶ ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖον καὶ ἐλάξευσας σεαυτῷ ἐν πέτρᾳ σκηνήν; Παστοφόρια τοῦ θείου νεὼ τὰς ἐξέδρας εὑρή καμεν ὠνομασμένας τὸν Ἰεζεκιὴλ ἑρμηνεύοντες. Δῆλος τοίνυν οὗτός ἐστιν, ὡς ἱερατικὴν λαχὼν ἀξίαν τῆς θείας κατημέλησε λειτουργίας εἰς π λοῦ τον καὶ τρυφὴν τὴν σπουδὴν μεταθείς. Οὗ δὴ χάριν καὶ περίβλεπτον αὐτῷ κατεσκεύασε μνῆμα, ἀοίδιμος ἐντεῦθεν ἔσεσθαι προ σδοκῶν . Ταμίαν δὲ αὐτὸν ἡγοῦμαι καλεῖσθαι ὡς τὰ ἱερὰ σκεύη πεπιστευμένον. Εἶτα αὐτῷ τὸν ὄλεθρον ἀπειλεῖ · 17Ἰδοὺ δὴ κύριος Σαβαὼθ ἐκβαλεῖ ἄνδρα καὶ ἐκτρίψει σε καὶ ἀφελεῖ τὴν στολήν σου 18καὶ τὴν κίδαρίν σου καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον. Ταῦτα τὸν ἀρχιερατικὸν κόσμον ἐπλήρωσεν. Ἐντεῦθεν δῆλ ον ὅτι τῶν πρώτων ἦν ἱερέων. Καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ ἀμέτρητον, κἀκεῖ ἀποθανῇ. Φασί τινες, ὡς ἥλω φεύγων ὑπὸ τῶν Ἀσσυρίων καὶ δορυάλωτος ἀπήχθη. Καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν εἰς ἀτιμίαν καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς ἀπώλειαν. 19Καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου, καὶ ἐκ τῆς στάσεώς σου καθελεῖ σε. Εἶτα δῆλον ποιεῖ τὸν διαδεξάμενον τὴν ἐκείνου τιμήν· 20Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καλέσω τὸν παῖδά μου Ἐλιακὶμ τὸν τοῦ Χελκίου. Τούτου μέμνηται καὶ ἡ κατὰ τὸν Ἐζεκίαν ἱ στορία· οὗτος γὰρ οὐκ ἐνεγκὼν τοῦ Ἀσσυρίου τὴν βλασφημίαν τὴν ἐσθῆτα διέρρηξεν. Τοῦτον ὑπισχνεῖται ἐνδύσειν τὴν στολὴν καὶ τῷ στεφάνῳ τὴν κεφαλὴν δια κοσμή σειν καὶ τὸ κράτος αὐ τῷ καὶ τὴν οἰκονομίαν δώσειν . Ἐπαινεῖ δὲ αὐτὸν ὡς ἠπ ίου πατρὸς φι λο στοργίαν μι μούμενον καὶ τῶν τῆς Ἱερουσαλὴμ οἰκητόρων |128 b| καὶ τῶν περιοίκων ἐπιμελῶς προμηθούμενον. 22Καὶ δώσω τὴν δόξαν Δαυὶδ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντιλέγων· καὶ δώσω αὐτῷ τὴν κλεῖδα οἴκου Δαυὶδ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ ἀνοίξει, καὶ οὐδεὶς κλείσει, <καὶ κλείσει,> καὶ οὐκ ἔσται ὁ ἀνοίγων. Ἐν τούτῳ καὶ τὰ ἡμέτερα προτυποῦται. «Ὃ ἂν δήσητε» γάρ φησιν «ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.» 23Καὶ στήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς θρόνον δόξης τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. Κατὰ ταὐτὸν καὶ ἱερατικὴν αὐτῷ δίδωσι καὶ ἀρχοντικὴν ἐξουσίαν. Διὸ καὶ τοῦ Δαυὶδ ἐμνημόνευσεν· ὁ γὰρ Δαυὶδ οὐχ ἱερεὺς ἀλλὰ βασιλεύς, ἀλλ' ὅμως καὶ τὴν ἱερωσύνην διέταξεν. 24Καὶ ἔσται πεποιθὼς ἐπ' αὐτῷ πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ ἀπὸ μικροῦ ἕως μεγάλου, πᾶν τὸ σκεῦος τὸ μικρὸν, ἀπὸ σκεύους τῶν ἀγανώθ, <καὶ ἔσονται ἐπικρε μάμενοι αὐτῷ 25τῇ ἡμέρᾳ ἐκείνῃ. Τὸ ἀγανὼθ> «κρατήρων» ἡρμήνευσαν ὅ τε Σύμμαχος καὶ ὁ Ἀκύλας. Διὰ μέντοι τῶν προειρημένων τὸ περὶ αὐτὸν ἐδήλωσε φίλτρον καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων καὶ τῶν πλουτούντων καὶ τῶν πενομένων. Τροπικῶς γὰρ σκεύη ἐκάλεσε τούς τε μεγάλους καὶ τοὺς μικρούς. Καὶ γὰρ τῶν σκευῶν τὰ μὲν ἦν ἅγια τὰ δὲ ἁγιώτερα, καὶ τὰ μὲν ἐν τῇ αὐλῇ ἔκειτο τὰ δὲ ἐν τῷ ναῷ. Τάδε λέγει κύριος Σαβαώθ· Κινηθήσεται ἄνθρωπος ἐστηριγμένος ἐν τόπῳ πιστῷ καὶ ἀφαιρεθήσεται καὶ πεσεῖται, καὶ ἐξολοθρευθήσεται ἡ δόξα ἡ ἐπ' αὐτόν, ὅτι κύριος ἐλάλησεν. Τὸν περὶ τοῦ Σομνᾶ ἀνέλαβε λόγον καὶ ἔδειξεν αὐτὸν ὠφέλειαν μὲν οὐδεμίαν ἐκ τῆς ἱερωσύνης δεξάμενον, τιμω ρίαν δὲ ἐκ τῆς ῥᾳθυμίας δρεψάμενον. Πρόκειται δὲ ἡμῖν εἰς ὠφέλειαν ἡ ἱστορία καὶ ἡ ταύτῃ συνηρμοσμένη προφητεία. Δυνατὸν γάρ, ἂν ἐθελήσωμεν τοῦ μὲν μισῆσαι τὴν πονηρίαν τοῦ δὲ ζηλῶσαι τὴν ἀρετήν, καὶ τὴν αὐτὴν εὔκλειαν καὶ εὐφημίαν καρπώσασθαι. Δίκαιος γὰρ ὁ κριτὴς ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 7 ΤΟΜΟΣ Ζ΄ 231Τὸ ῥῆμα Τύρου. Καὶ τὴν Τύρον οἱ Ἀσσύριοι πολιορκήσαντες ἐξεπόρθησαν. Καὶ τοῦτο τοίνυν τοῖς πνευμα τικοῖς ὀφθαλμοῖς προϊδὼν ὁ προφήτης προλέγει. Ὀλολύξατε πλοῖα Καρχηδόνος, ὅτι ἀπώλοντο καὶ οὐκέτι ἔρχονται ἐκ γῆς Κιτιαίων. Ἔνια τῶν ἀντιγράφων· «ὅτι ἀπώλετο», τουτέστιν ἡ Τύρος. Καρχηδὼν μέν ἐστιν ἡ τῆς Λιβύης τῆς νῦν Ἀφρικῆς καλουμένης μητρόπολις· παρὰ μέντοι τῷ Ἑβραίῳ «Θαρσὶς» κέκληται. Κιτι εῖς δὲ ἢ «Χετιίμ»–οὕτω γὰρ καὶ παρὰ τῷ Ἑβραίῳ καὶ παρὰ τοῖς Λοιποῖς Ἑρμηνευταῖς κεῖται τὸ ὄνομα– ἡ Κύ προς καλεῖται· αὕτη γὰρ καὶ πόλισμα ἔχει Κίτιον καλούμενον μέχρι τοῦ νῦν. Τούτοις τοίνυν τοῖς μὲν ὡς νη σιώταις τοῖς δὲ ὡς παραλίμοις παρακελεύεται θρηνεῖν ὡς ἀναστάτου γενομένης τῆς Τύρου, ἐν ᾗ τῆς ἐμ πορίας εἶχον τὰς ἀφορμάς. Ἤχθησαν αἰχμάλωτοι, τουτέστιν οἱ Τύριοι. Τίνι 2ὅμοιοι γεγόνασιν οἱ ἐνοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ; Νήσῳ ἔοικεν ἡ τῆς Τύρου θέσις· ἰσθμὸς γάρ ἐστιν ἐν τῇ θαλάσσῃ κείμενος μίαν εἴσοδον ἔχων. Μεταβόλοι φοινίκης. Τοὺς ἐ μπ όρους οὕτω. καλεῖ ὡς τόδε μὲν κομίζοντας τόδε δὲ ἀντι λαμβάνοντας. <Οἱ διαπερῶντες τὴν θάλασσαν 3ἐν ὕδατι πολλῷ σπέρμα μεταβόλων.> Ἀντὶ τοῦ· καὶ οἱ πρόγονοι αὐτῶν τοῦτον εἶχον τὸν βίον. Ὡς ἀμητοῦ εἰσφερομένου οἱ μεταβόλοι τῶν ἐθνῶν. Ἔοικέ φησι τῶν ἐμπόρων τὰ πλοῖα εἰς τοὺς λιμένας καταίροντα τοῖς ἀπὸ τῶν ἀγρ ῶν ἐν τῷ καιρῷ τοῦ θερισμοῦ εἰς τὰς ἅλως τὰ δράγματα μεταφέρουσιν. 4Αἰσχύνθητι, Σιδὼν εἶπεν, ἡ θάλασσα. Ἡ Σιδὼν ὑπέκειτο καὶ πάλαι τῇ Τύρῳ. Εἰσάγει τοίνυν αὐτὴν ὁ λόγος τῇ Τύρῳ λ έγουσ αν– ταύτην γὰρ ἐκάλεσε θάλασσαν–· Αἰσχύνθητι, ἀντὶ τοῦ· Παῦσαι τοῦ θράσους, γνῶθι σαυτήν. Οὐ γὰρ ………… ἡ θάλασσα τῇ Σιδῶνι εἶπεν· Αἰσχύν θητι, ἀλλ' ἡ Σιδὼν τῇ καλουμένῃ θαλάσσῃ, τουτέστι τῇ ἔξω θαλάσσῃ, ᾗ τὴν Τύρον ἀπεικάζει διὰ τὸ πλῆθος τῶν οἰκητόρων. Καὶ τοῦτο δηλοῖ τὰ ἑξῆς· Ἡ ἰσχὺς τῆς θαλάσσης εἶπεν· Οὐκ ὤδινα οὐδὲ ἔτεκον οὐδὲ ἐξέθρεψα νεανίσκους οὐδὲ ὕψωσα παρθένους. Λόγους ταῖς πόλεσιν ὁ προφητικὸς περιτίθησι λόγος καὶ τὴν μὲν Σιδῶνα λέγουσαν· Αἰσχύνθητι, τὴν δὲ Τύρον ὁμολογοῦσαν ὅτι τὸ πλῆθος τὸ τοῖς θαλαττίοις κύμασιν ἐοικὸς οὐχ ἡ αὐτῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δύναμις ἔτεκε καὶ ἐξέθρεψεν. Προσωποποιεῖ δὲ ταῦτα ἡ χάρις τοῦ πνεύματος διδάσκουσα μὴ ἐφ' ἑαυτοῖς μέγα φρονεῖν ἀλλ' εἰδέναι τὸν τῶν ἀγαθῶν χορηγόν. 5Ὅταν δὲ ἀκουστὸν γένηται Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου. Ἀπὸ γὰρ τῶν συμφορῶν τοῦ Τύρου οἱ Αἰγύπτιοι σφ ᾶς αὐτοὺς μεριμνήσουσιν. 6Ἀπέλθετε εἰς Καρχηδόνα, ὀλολύξατε |129 a| οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. Παλαιὰ ἦν Καρχηδονίοις καὶ Τυρίοις φιλία, καὶ τὰ τῆς ἐμπορίας συμβόλαια πρὸς ἀλλήλας αἱ πόλεις ἐποιοῦντο. Οὗ δὴ χάριν καὶ τοῖς Καρχηδονίοις ὀλολύζειν παρακελεύεται. 7Οὐχ αὕτη ἦν ὑμῶν ἡ ὕβρις ἡ ἀπ' ἀρχῆς πρὶν ἢ παραδοθῆναι αὐτήν; Διδάσκει ὁ λόγος τῆς τιμωρίας τὸ δίκαιον. Ὕβρις γάρ, τουτέστι παρανομία καὶ ἀλαζονεία, τῆς πολιορκίας ἡγήσατο. Ἀπάξουσιν αὐτὴν οἱ πόδες αὐτῆς πόρρωθεν εἰς ἀποικίαν. Πόδας αὐτῆς καλεῖ τὴν ὁδὸν αὐτῆς, τουτέστι τῶν βίων τὰ ἐπιτηδεύματα. Διὰ ταῦτα γὰρ ἐγένετο δορυάλωτος. Τοῦτο καὶ ἀλλαχοῦ λέγει ὁ αὐτὸς προφήτης· «Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ.» 8Τίς ταῦτα ἐβουλεύσατο ἐπὶ Τύρον; Τίς ταύτην κατ' αὐτῆς τὴν ψῆφον ἐξήνεγκεν; Μὴ ἥσσων ἐστὶν ἢ οὐκ ἰσχύει; Ἀντὶ τοῦ· Μὴ μικρὰ πόλις ἐστὶ καὶ ὀλίγην ἔχουσα δύναμιν, οὐκ ἀποχρῶσαν τοῖς πολεμίοις ἀνθίστασθαι; Εἶτα δείκνυσιν αὐτῆς τὴν εὐπραξί αν · Οἱ ἔμποροι αὐτῆς ἄρχοντες Χαναάν, καὶ οἱ μεταβόλοι αὐτῆς ἔνδοξοι τῆς γῆς. Καὶ μὴν βασιλικωτά τη πόλις ἐστὶ καὶ πολυθρύλητον τῆς οἰκουμένης ἐμπόριον. Τίς τοίνυν ἡ αἰτία τῶν συμφορῶν; 9Κύριος Σαβαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων καὶ ἀτιμάσαι πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς. Ἐνδόξους ἐνταῦθα τοὺς ἀλαζόνας καὶ ὑπερηφάνους καλεῖ. Τούτοις γὰρ ἀντιτάσσεται. Οὐ γὰρ τοὺς τῆς ἀρετῆς ἔχοντας κλέος τῆς δόξης γυμνοῖ ἀλλὰ τοὺς τὴν φύσιν ἀγνοοῦντας καὶ ὑπὲρ ταύτην φρονοῦντας. 10Ἐργάζου τὴν γῆν σου, καὶ γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ Καρχηδόνος. 11Ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει κατὰ θάλασσαν παροξύνουσα βασιλεῖς. Παῦσαι ἀπὸ τῆς ἐμπορίας καὶ ἔχου τῆς γεωργίας καὶ ἀντὶ τῆς θαλάσσης ἐργάζου τὴν γῆν. Οὐκέτι γὰρ ἴσως τῆς ἀπὸ θαλάττης ἀφθονίας ἀπολαύσεις οὐδὲ ἐπίφθονος ἔσῃ τοῖς πελάζουσι βασιλεῦσιν. Κύριος Σαβαὼθ ἐντέταλται περὶ Χαναὰν ἀπολέσαι αὐτῆς τὴν ἰσχύν. 12Καὶ ἐροῦσιν· Οὐκέτι μὴ προσθῆτε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν παρθένον θυγατέρα Σιδῶνος. Χαναὰν οὐ τὴν φύσιν ἀλλὰ τὸν τρόπον καλεῖ. Καὶ δηλοῖ αὐτὰ τὰ ῥήματα· τῆς γὰρ Τύρου κατηγορῶν κήδεται τῆς Σιδῶνος, ἡ δὲ Σιδὼν π ρω τότοκος τοῦ Χαναάν· «Χαναὰν» γάρ φησιν «ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον.» Ἄξιον δὲ θαυμάσαι τε κ αὶ ὑμνῆσαι τὴν τοῦ δεσπότου φιλανθρωπίαν, ὅτι τῶν δύο πόλεων, καὶ τῆς Τύρου καὶ τῆς Σιδῶνος, τὴν ἀσέ βειαν καὶ τὴν παρανομίαν ἀσπαζομένων τῆς μὲν κατηγορεῖ τῆς δὲ κήδεται, ἐπειδὴ ἡ μὲν Τύρος ἠδίκ ησεν ἀφορμὴν εἰς ἀλαζονείαν τὴν περιφάνειαν ἔχουσα, ἠδικεῖτο δὲ παρ' αὐτῆς ἡ Σιδών· καὶ οὐκ ἀφεώρα ὁ φ ιλάνθρωπος θεὸς εἰς τὴν αὐτῆς ἀσέβειαν ἀλλ' εἰς ἣν ὑπέμεινεν ἀδικίαν. Καὶ ἐὰν ἀπέλθῃς εἰς Κιτιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι· 13καὶ εἰς γῆν Χαλδαίων, καὶ αὐτὴ ἠρήμωται ὑπὸ τῶν Ἀσσυρίων, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι, ὅτι πέπτωκε τὸ τεῖχος αὐτῆς, ἐθεμελίωσεν αὐτὴν σιίμ, ἔστησεν ἐπάλξεις αὐτῆς, ἐξήγειραν βάρεις αὐτῆς· ὁ τοῖχος αὐτῆς πέπτωκεν. Ὡς τῶν πολεμίων πανταχόθεν προσβαλόντων καὶ παν το δαπῶν αὐτὴν κυκλωσάντων κακῶν ἐρώτησιν αὐτῇ προσάγει· Ποῦ φησι βεβούλευσ αι ἀπελθεῖν ; εἰ ς Κι τιεῖς, τουτέστιν εἰς Κύπρον; Ἀλλ' οὐδὲ ἐκεῖ παῦλαν εὑρήσεις κακῶν. Ῥᾴδιον γὰρ τοῖς ἔχουσι ν αῦ ν, πρ οσ χρ ησα μένοις δυνάμει κἀκεῖθεν ἀγαγεῖν σε καὶ ἀπαγαγεῖν δορυάλωτον. Ἀλλὰ τὴν Βα βυλῶνα καταλαβεῖν ἐβουλεύσω τῇ ἀρχαίᾳ συγγενείᾳ θαρροῦσα; –καὶ γὰρ Νεβρὼδ ὁ ταύτην δείμα ς ἐκ τοῦ Χαναὰν κατάγει τὸ γένος–ἀλλὰ καὶ ταύτην ἔρημον εἰργάσατο τῶν οἰκητόρων ὁ δυσσεβὴς καὶ παρά νομος βίος. Τοῦτο γὰρ ὁ λόγος αἰνίττεται λέγων· Ἠρήμωται ὑπὸ τῶν Ἀσσυρίων, τουτέστιν .... αὐτῆς καὶ τῆς οἰκείας δυσσεβείας τε καὶ παρανομίας. Πέπτωκε τὸ τεῖχος αὐτῆς, ἀντὶ τοῦ· ἀσφαλείας πάσης γεγύμνωται. Ἐθεμελίωσεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὴν σιίμ– τὸ σιὶμ γὰρ ὁ Ἀκύλας «ἐξερχομένους» ἡρμ ήνευσεν –, ἀντὶ τοῦ· ἄνωθεν ταύτην ἔλαβε τὴν ἀπόφασιν ὥστε γενέσθαι δορυάλωτος. Καὶ ἡνίκα τὰς ἐπάλξεις καὶ τοὺς περιβόλους ἐδέχετο καὶ τὰς ἔνδοθεν οἰκίας, ταύτην εἶχε τὴν ψῆφον. Ὁ δὲ Σύρος τὸ σιὶμ |129b| «δαιμόνια» ἡρμήνευσεν. Καὶ ἔστιν ἀληθὴς ἡ ἑρμηνεία· εὗρον γὰρ παρὰ τούτῳ τῷ προφήτῃ κείμενον τὸ σιίμ, ἔνθα λέγει· «Καὶ συναντήσει δαιμόνια ὀνοκενταύροις»· τοῦτο τὸ σιὶμ οἱ Ἑβδομήκοντα «δαιμόνια» ἡρμήνευσαν. Δῆλοι τοίνυν εἰσὶν ἑκόντες αὐτὸ καταλελοιπότες ἐπὶ τῆς Βαβυλῶνος ἀνερμήνευτον, ἵνα μήτις ὑπολάβῃ δαίμονας τῆς πόλεως γεγενῆσθαι δημιουργούς. Δῆλον δὲ ὡς τὴν τῆς πονηρίας οἰκοδομίαν ὁ προφητικὸς λόγος τοῖς δαίμοσιν ἀνατίθησι, δι' ἣν καὶ τὴν ἐρημίαν ἡ πόλις ἐδέξατο. Καὶ γάρ, ὅταν ὁ ἀπόστολος λέγῃ· «Ἐγὼ ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα», οὐ λίθους νοοῦμεν ἀλλ' εὐσεβεῖς λόγους. Ὁ μέντοι προφήτης πάλιν τῷ ναυτικῷ τῆς Καρχηδόνος ὀλολύζειν παρεγγυήσας προλέγει καὶ τῆς ἐρημίας τῆς Τύρου τὸν χρόνον· 15Καταλειφθήσεται γάρ φησι Τύρος ἑβδομήκοντα ἔτη ὡς χρόνον βασιλέως ἑνός, ὡς χρόνον ἀνθρώ που. Ἀμέτρητος ἡ τοῦ δεσπότου φιλανθρωπία. Αὐτοὶ γὰρ ἐν πολλαῖς ἐξήμαρτον γενεαῖς, αὐτὸς δὲ περιγράφει τὴν τιμωρίαν μακροβίου βασιλέως ἀρχῇ ἢ ἑνὸς ἀνθρώπου ζωῇ. Καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη ἔσται Τύρῳ ὡς ᾆσμα πόρνης. 16Λάβε κιθάραν, ῥέμβευσον πόλις πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται. Τὴν πολλὴν αὐτῆς ἀκολασίαν καὶ ἀκρασίαν ἡ προφητεία διδάσκει· παρακελεύεται γὰρ αὐτῇ τοῖς τῆς εὐημερίας ἐπιτηδεύμασι χρήσασθαι καὶ ἐν αὐτῇ τῇ κακοπραγίᾳ. Εἰρωνικῶς δὲ τοῦτο ποιεῖ διδάσκων τοῦ τοιούτου βίου τὸ βλαβερόν. 17Καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη ἐπισκοπὴν ποιήσει ὁ θεὸς Τύρου, καὶ πάλιν ἀποκατασταθήσεται εἰς τὸ ἀρχαῖον, καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Καὶ ταῦτα καταστέλλει τῶν Ἰουδαίων τὸν τῦφον· ὃν γὰρ ὥρισε χρόνον τῇ τῆς Ἱερουσαλὴμ ἐρημίᾳ, καὶ τῇ Τύρῳ διὰ τὴν πολλὴν δέδωκεν ἀγαθότητα, διδάσκων ὡς οὐκ Ἰουδαίων μόνον ἀλλὰ καὶ τῶν ἐθνῶν ἐστι θεός· «Αὐτοῦ γὰρ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.» 18Καὶ ἔσται ἡ ἐμπορία αὐτῆς καὶ ὁ μισθὸς ἅγια τῷ κυρίῳ· οὐκ αὐτοῖς συναχθήσεται οὐδὲ ἀποτεθήσεται, ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι κυρίου ἔσται πᾶσα ἡ ἐμπορία αὐτῆς φαγεῖν καὶ πιεῖν καὶ ἐμπλησθῆναι εἰς συμβολὴν μνημόσυνον ἔναντι κυρίου. Τό· εἰς συμβολήν, ὁ μὲν Σύμμαχος καὶ ὁ Θεοδοτίων «εἰς τὸ περιβαλέσθαι» ἡρμήνευσαν, ὁ δὲ Ἀκύλας «ἐσθῆτα». Δηλοῖ δὲ ὁ λόγος τὴν πολλὴν ἐπὶ τὰ κρείττω τῆς Τύρου μεταβολήν· τὴν γὰρ παρανόμως καὶ δυσσεβῶς πάλαι πολιτευομένην ἔφη προσοίσειν τῆς ἐμπορίας τὰ κέρδη τοῖς ἐσχολακόσι τῇ τοῦ θεοῦ θερα πείᾳ , ὥστε αὐτοὺς ἐκ τούτων καὶ τῆς τροφῆς τὴν χρείαν καὶ τὴν περιβολὴν ἔχειν. Ταῦτά τινες ἔφασαν μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον γεγενῆσθαι, τῶν Τυρίων τοῖς ἐν Ἱεροσολύμοις ἱερεῦσι ταῦτα προς φερόντων τὰ δῶρα· τινὲς δὲ εἰρήκασι τὸν Γὼγ καὶ Μαγὼγ τὴν Τύρον πεπορθηκότας κατὰ τῆς Ἱερουσαλὴμ ὁρμῆ σαι, εἶτα ἐκεῖ θεηλάτῳ πληγῇ καταλῦσαι τὸν βίον, τὸν δὲ ὑπ' ἐκείνων συναθροισθέντα πλοῦτον ἀνατεθῆ ναι τῷ τῶν ὅλων θεῷ. Ἐγὼ δὲ ὁρῶν τῆς προφη τείας τὸ τέλος πολλῶν οὐ δέομαι λογισμῶν· μάρτυρες γὰρ τῆς ἀληθείας οἱ ὀφθαλμοί. Τὰ γὰρ λαμπρὰ καὶ περίβλεπτα κ αὶ πολυτάλαντα δαιμόνων τε μένη, ἃ οἱ παλαιοὶ τῆς Τύρου κατεσκεύασαν βασιλεῖς, ταῦτα ................. ..... καὶ θείους ἐκ τούτων σηκοὺς οἱ τῆς εὐσεβείας κατεσκεύασαν ἱ ερεῖ ς. Ὁρῶ μεν δὲ καὶ μέχρι τῆς τ ήμερον πολλὰ παρὰ πάντων δῶρα προσφερόμενα τῷ θεῷ, καὶ τὰ κτήματα δέ, ἐξ ὧν οἱ τοῦ θείου ἱερεῖς καὶ τρέ φ ονται καὶ περιβάλλονται, τὰ μέν τινες ἔτι ζῶντες τὰ δὲ τε τελευ τηκότες ἀνέθηκαν τῷ θεῷ. Μαρτυρ εῖ τοίνυν τῇ προφητείᾳ τῶν πραγμάτων ἡ θεωρία. Ὁ μέντοι προφητικὸς λόγος ἐνταῦθα συμπεράνας τῆς Τύρου τὴν πρόρρησιν τὰ πᾶσιν ἀνθρώποις συμβησόμενα προθεσπίζει· 241Ἰδοὺ κύριος καταφθείρει τὴν οἰκουμένην καὶ ἐρημώσει αὐτὴν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. Διπλῆν ὁ λόγος ἔχει τὴν προφητείαν· σημαίνει γὰρ καὶ τὰ κατὰ διαφόρους καιροὺς ἐν τοῖς πολέμοις γιγνόμενα καὶ τὰ ἐν τῇ συντελείᾳ τοῦ παρόντος ἐσόμενα αἰῶνος. 2Καὶ ἔσται |130 a| ὁ λαὸς ὡς ὁ ἱερεὺς καὶ ὁ παῖς ὡς ὁ κύριος καὶ ἡ θεράπαινα ὡς ἡ κυρία καὶ ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν καὶ ὁ δανείζων ὡς ὁ δανειζόμενος καὶ ὁ ὀφείλων ὡς ᾧ ὀφείλει. Ταῦτα κυρίως μὲν καὶ ἀληθῶς μετὰ τὴν ἀνάστασιν ἔσται· τότε γὰρ μεταβάλλεται τοῦ παρόντος βίου τὸ σχῆμα καὶ παύεται μὲν ἡ τῶν ἀξιωμάτων διαφορά, ἀντεισάγεται δὲ ἡ τῆς ἀρετῆς καὶ τῆς κακίας διαφορά, καὶ πολλάκις ἱερεῖς παρανομίᾳ συζήσαντες τιμωρίᾳ παρα δοθήσονται, τινὲς δὲ εἰς τὸν τοῦ λαοῦ τελοῦντες κατάλογον εἰς τὸ ἐκείνων μεταβήσονται τάγμα, καὶ οἰκέται μὲν συνα ριθμήσονται τοῖς σῳζομένοις, δεσπόται δὲ τοῖς κολαζομένοις· οὕτως ὁ Λάζαρος ἐνδιῃτᾶτο τοῖς κόλποις τοῦ Ἀβραάμ, ὁ δὲ πλούσιος κατεφλέγετο. Ἀλλ' ὅμως καὶ ἐν τοῖς πολέμοις ταὐτὸ τοῦτο ἔστιν ἰδεῖν γιγνόμενον· οὐκ ἴσασι γὰρ οἱ πολέμιοι δούλου καὶ δεσπότου διαφοράν, οὐκ εὐγενοῦς τε καὶ δυσγενοῦς, ἀλλὰ πᾶσιν ὁμοίως ἐπιφέρουσι τὸν τῆς δουλείας ζυγόν. Εἶτα πάλιν προειρηκὼς τὴν ἀπὸ τῆς θείας ψήφου ἐσομένην τῆς οἰκουμένης διαφ<θ>ορὰν καὶ τῶν ἐπὶ πλούτῳ καὶ δυνάμει γαυριώντων τὰς ὀλοφύρσεις, ἐπήγαγεν· 5Ἡ δὲ γῆ ἠνόμησε διὰ τοὺς κατοικοῦντας ἐν αὐτῇ, διότι παρῆλθον τὸν νόμον καὶ ἤλλαξαν τὰ προστάγματα, διεσκέδασαν δια θήκην αἰώνιον. Ἐπειδὴ γὰρ ἡ γῆ ἄλογός τε καὶ ἄψυχος, εἰκότως ἐδίδαξεν ὡς οἱ οἰκήτορες αὐτὴν ἀνομίας ἐνέπλησαν. Νόμον δὲ καὶ προστάγματα οὐ μόνον τὸν Μωυσέως λέγει ἀλλὰ καὶ τὸν ἄνωθεν ἐν τῇ φύσει γραφέντα. Αὐτοδίδακτος γὰρ τῆς τῶν ἀγαθῶν καὶ τῶν κακῶν διαφορᾶς ἡ φύσις τῶν ἀνθρώπων· καὶ μαρτυροῦμεν ἀγαθῶν μὲν ἀπολαύειν βουλό μενοι, παραιτούμενοι δὲ πάσχειν κακῶς. Τοῦτο καὶ ὁ θεσπέσιος ἡμᾶς ἀπόστολος ἐξεπαίδευσεν· «Ὅταν γάρ» φησιν «ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος.» 6Διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἥμαρτον οἱ κατοι κοῦντες ἐν αὐτῇ. Τοῦτο καὶ νῦν ὁρῶμεν γιγνόμενον· ἀκρίδος γὰρ ἐμβολὴ καὶ ἐρυσίβης ψεκάδες καὶ χαλάζης σφενδόναι καὶ ὄμβρων ὑπερβολή τε καὶ ἔνδεια καὶ φυτοῖς ἐπιφέρεται καὶ ληίοις διὰ τὴν ἡμετέραν παρανομίαν. Τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος. 7Πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάζουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν. 8Πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται αὐθάδεια καὶ πλοῦτος δυσ σεβῶν, πέπαυται φωνὴ κιθάρας. 9Ἠσχύνθησαν καὶ οὐκ ἔπιον οἶνον, πικρὸν ἐγένετο τὸ σίκερα τοῖς πίνουσιν αὐτό. 10Ἠρημώθη πᾶσα πόλις, κλεισθήσονται αἱ οἰκίαι τοῦ μὴ εἰσελθεῖν. Ἐπειδὴ γὰρ εἰς τρυφὴν ἐξώκειλε τῶν ἀνθρώπων ἡ φύσις, τοῖς ἐναντίοις θεραπεύεται φαρμάκοις· τῇ ἐνδείᾳ ἡ εὐπορία, τῇ τῆς γῆς ἀκαρπίᾳ τὰ ἐκ τῆς πολυκαρπίας σκιρτήματα, τῇ τῶν πόλεων ἐρημίᾳ ἡ τῶν οἰκητόρων ἀταξία. Εἶτα πάλιν παρακελεύεται τοῖς τῇ γαστ ρὶ τὴν εὐδαιμονίαν μετροῦσι θρηνεῖν τοῦ οἴνου τὴν ἔνδειαν καὶ τὴν παῦλαν τῆς εὐφροσύνης καὶ τὰς τῶν πό λεων ἐρημίας καὶ τῶν οἰκητόρων τὸ ἀοίκητον. Ἔπειτα εἰκό να τῶν ἀπολλυμένων προτίθησιν. 13Ὃν τρόπον ἐάν τις καλαμᾶται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς. Καὶ ἐὰν παύσηται ὁ τρύγητος, 14οὗτοι φωνῇ βοήσουσιν, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ὑμνοῦντες τὸν ἐνδοξασμὸν τοῦ κυρίου ἅμα. Ταῦτα ὁ Σύμ μαχος οὕτως ἡρμήνευσεν· «Ὡς καλαμητὸς ἐλαίας, ὡς ἐπιφυλλίδες, ὅταν συντελεσθῇ τρύγητος. Οὗτοι δὲ ἐπαροῦσι φωνὴν αὐτῶν, ἀγαλλιάσονται ἐν τῷ δοξασθῆναι κύριον.» Ταύτης τῆς παραβολῆς καὶ ἐν τοῖς κατὰ τ ῆς Δαμασκοῦ ἐμνημόνευσ ε καὶ εἶπέ τινας ὑπολειφθῆναι ὡς «καλάμην ἐν φάραγγι στερεᾷ ἢ ὡς ῥᾶγας ἐλαίας δύο ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἐπ' ἄκρου μετεώρου». Καὶ ἐνταῦθα δείκνυσι τοὺς μὲν ἀπολλυμένους, τοὺς δὲ ὑπολοίπους καὶ τῆς σωτηρίας ἀπολαύοντας καὶ τὸν εὐεργέτην ὑμνοῦντας θεόν. Εὕροι δ' ἄν τις καὶ ἐν τῷ καιρῷ τῆς συντελείας τοῦτο ἐσόμενον· «Δύο» γάρ φησιν «εὑρεθήσονται ἐπὶ τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κλίνης, εἷς παραλαμβάνεται καὶ εἷς ἀφίεται, δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται», καὶ πάλιν· «Οὗτοι ἀπελεύσονται εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς κόλασιν καὶ αἰσχύνην αἰώνιον.» Ὅτι τῇ δόξῃ κυρίου ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης. 15Διὰ τοῦτο ἡ δόξα κυρίου ἔσται ἐν ταῖς νήσοις τῆς θαλάσσης, ἐν ταῖς νήσοις τὸ ὄνομα κυρίου θεοῦ Ἰσραὴλ |130 b| ἔνδοξον ἔσται. Δόξαν κυρίου κέκληκε τὰ διὰ τῶν ἀποστόλων γενόμενα θαύματα, ὕδωρ δὲ θαλάσσης τῶν ἀνθρώπων τὸ πλῆθος. Δίκην γὰρ θαλάττης διεταράττοντο καὶ οἱ μὲν ἀντέλεγον οἱ δὲ ἐν τοῖς κηρυττομένοις ἐπίστευον. Νήσους δὲ τὰς ἐν μέσῳ τῆς θαλάττης ταύτης ἀνοικοδομηθείσας ἐκκλησίας καλεῖ καὶ δεχομένας μὲν τῆς θαλάττης τὰ κύματα, ἀβλαβεῖς δὲ φυλαττομένας κατὰ τὴν τοῦ κυρίου ὑπόσχεσιν· ἐν ταύταις τὸ θεῖον ὄνομα παρὰ τῶν εὐσεβούντων ὑμνεῖται. Ταῦτα δὲ διὰ τῆς πνευματικῆς χάριτος ὁ προφήτης μεμαθηκὼς πρὸς τὸν δεσπότην φησίν· Κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, 16ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν. Πτέρυγας τῆς γῆς τὴν πίστιν καὶ τὴν θεογνωσίαν ὠνόμασεν· οἱ γὰρ γήινοι διὰ τούτων ἀνιπτάμενοι θεωροῦσι τὰ θεῖα. Τέρατα δὲ καλεῖ τά τε περὶ τῆς συντελείας προηγορευμένα καὶ τὰ περὶ τῶν ἐκκλησιῶν τεθεσπισμένα. Εἶτα δείκνυσι τῶν εἰρημένων τὸ ἐπικερδές· ἐπάγει γάρ· Ἐλπὶς τῷ εὐσεβεῖ. Ὁ γὰρ ἐννόμως καὶ εὐσεβῶς πολιτευόμενος τὰς τοῦ μέλλοντος αἰῶνος ἀντιδόσεις μανθάνων φέρει γενναίως τῆς ἀρετῆς τοὺς πόνους, τῆς ἐλπίδος ὑπερει δούσης. Τίς δὲ ἡ ἐλπίς, ὦ θεσπέσιε προφῆτα; Ἀγαθῶν μέν φησιν ἐδεξάμην ἐλπίδα, τὰ δὲ ταύτης εἴδη σαφῶς οὐ μεμάθηκα. Τοῦτο γὰρ ἐπήγαγεν· Καὶ εἶπεν· Τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. Διὰ τοῦτο ὁ θεῖος ἀπόστολος περὶ τούτων αὐτῶν διαλεγόμενος ἔφη· «Ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ.» Οὕτω καὶ ἐνταῦθα ὁ θεὸς διὰ τοῦ προφήτου φησίν· Τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. Οὕτω μυσταγωγήσας τοὺς εὐσεβεῖς κατὰ τῶν παρα νομούντων τρέπει τὸν λόγον· Οὐαὶ τοῖς ἀθετοῦσιν, οἱ ἀθετοῦντες ἀθεσίαν ἀθετούντων τὸν νόμον. Ἀθετοῦσι τὸν νόμον οἱ παρὰ τὸ τούτου συμβιοτεύοντες βούλημα. Νόμον δὲ πάλιν ἐνταῦθα οὐ τὸν Μωσαϊκὸν μόνον λέγει, ἀλλὰ καὶ τὸν φυσικόν· περὶ πάντων γὰρ ἀνθρώπων ὁ λόγος. 17Φόβος καὶ βόθυνος καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. 18Καὶ ἔσται ὁ φεύγων τὸν φόβον ἐμπεσεῖται εἰς τὸν βόθυνον, καὶ ὁ ἐκβαίνων ἐκ τοῦ βοθύνου ἁλώσεται ὑπὸ τῆς παγίδος. Ἐπάλληλα λέγει κακὰ καὶ τὰ δεύτερα τῶν προτέρων χαλεπώτερα· ὁ γὰρ τὸ ἔλαττόν φησι διαφυγὼν τῷ χαλεπωτέρῳ περιπεσεῖται. Ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς. Τὴν ἐποψίαν τοῦ θεοῦ τῶν ὅλων διὰ τούτων δεδήλωκεν. Τούτοις ἔοικε τὸ ὑπὸ τοῦ θειοτάτου Δαυὶδ εἰρημένον· «Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς οἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνίων ἢ ἐκζητῶν τὸν θεόν.» Εἶτα πάλιν τὰ ἐκ τῆς θείας ἐποψίας συμβησόμενα λέγει, τὴν ἁπάντων ταραχήν, τοῦ πρακτέου τὴν ἀπορίαν· μεθύουσι γάρ φησιν ἐοικότες ἅπαντες τῇδε κἀκεῖσε περιπλανῶνται. 20Καὶ σεισθήσεται ὡς ὀπωροφυλάκιον ἡ γῆ καὶ πεσεῖται καὶ οὐ μὴ δύνηται ἀναστῆναι· κατίσχυσε γὰρ ἐπ' αὐτὴν ἡ ἀνομία. Τὸ ὀπωροφυλάκιον πρόσκαιρός ἐστι σκηνή. Οὕτω καὶ τοῦ βίου τὸ σχῆμα χρόνῳ τινὶ περιώρισται· τοῦτο δὲ παράγειν ὁ μακάριος ἔφη Παῦλος. 21Καὶ ἐπάξει ὁ θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ ἐν τῷ ὕψει τὴν χεῖρα αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἐπὶ τὰς βασιλείας τῆς γῆς ἐπὶ τῆς γῆς. 22Καὶ συνάξουσι συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα. Καὶ ταῦτα τοῦ παντὸς δηλοῖ τὴν συντέλειαν· τότε γὰρ κατὰ τὴν τοῦ κυρίου φωνὴν «Ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς», καὶ πάλιν· «Πεσεῖται τὰ ἄστρα τοῦ οὐρανοῦ ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου καὶ ὡς ἐκρεῖ φύλλα ἀπὸ συκῆς.» Τότε αἱ ἐπὶ τῆς γῆς βασιλεῖαι δέξονται τέλος καὶ οἱ κολάσεως ἄξιοι ὡς εἰς ὀχύρωμά τι καὶ δεσμωτήριον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθειρχθήσονται τὸ ἀφωρισμένον τοῖς κολαζομένοις χωρίον. Διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν. Πολλῆς γάρ φησι καὶ ἐπὶ πλεῖστον μακροθυμίας ἀπέλαυσαν. 23Καὶ τακήσεται ἡ πλίνθος, τὸ γήινον φρόνημα. Καὶ πεσεῖται τὸ τεῖχος, ἡ νομιζομένη τῶν ἐν δυναστείαις ἀσφάλεια. Καὶ ἐντραπήσεται ἡ σελήνη, καὶ αἰσχυνθήσεται ὁ ἥλιος, τῶν ἀσεβῶν ἡ πολύθεος πλάνη. Ἐπειδὴ γὰρ πᾶσαν τὴν κτίσιν ἐθεοποίησαν, ἀπὸ τῶν λαμπροτάτων μορίων τῆς κτίσεως ὑπέδειξε τὴν παντελῆ τῆς πλάνης κατάλυσιν. Οὐδὲ γὰρ αὐτὰ τὰ στοιχεῖα λέγει καταισχυνθήσεσθαι τὰ ἄψυχά τε καὶ ἄλογα ἀλλὰ τοὺς ταῦτα θεοποιήσαντας. Ὅθεν ἐπήγαγεν· Ὅτι βασιλεύσει κύριος ἐν Σιὼν καὶ ἐν Ἱερουσαλὴμ καὶ ἐνώπιον τῶν πρεσβυτέρων αὐτοῦ δοξασθήσεται. Σιὼν καὶ |131 a| Ἱερουσαλὴμ τὴν ἐπουράνιον λέγει. «Προσελη λύθατε» γάρ φησιν ὁ θεῖος ἀπόστολος «Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.» Ἐν ἐκείνῃ τοίνυν τῇ πόλει δεικνυμένης τῆς τοῦ θεοῦ βασιλείας αἰσχυν θήσονται οἱ λατρεύσαντες τῇ κτίσει παρὰ τὸν κτίσαντα. Ταῦτα πάλαι προδιδαχθεὶς ὁ προφήτης ὕμνον ὑφαίνει τῷ ταῦτα ποιοῦντι θεῷ καί φησιν. 251Κύριε ὁ θεός μου δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. Ἄνωθεν γὰρ ταῦτα προώρισας, νῦν δὲ αὐτὰ διὰ πραγμάτων ἐδήλωσας. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος· «Τὸ μυστήριόν» φησι «τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι», καὶ πάλιν· «Λαλοῦμεν σοφίαν θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν», καὶ αὖθις· «Ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ», καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις· «Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.» Τοῦτο καὶ ὁ προφήτης ἔφη· Ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. Γένοιτο κύριε, τουτέστι· τῶν εἰρημένων τὸ τέλος. 2Ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ὀχυράς, τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια. Ἤλεγξάς φησι καὶ τῶν ἀνθρωπείων πραγμάτων τὸ πρόσκαιρον καὶ τὸ σὸν ἔδειξας κράτος. Ἀσεβῶν πόλις τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. Καθολικῶς μὲν ὁ λόγος εἴρηται, δοκεῖ δέ μοι καὶ τὴν Ἱερουσαλὴμ αἰνίττεσθαι κατὰ τὴν τοῦ κυρίου φωνὴν τὴν λέγουσαν· «Οὐ μὴ μείνῃ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθῇ.» 3Διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων φοβουμένων σε εὐλογήσουσί σε. Λαὸν πτωχὸν τὸν εὐσεβῆ καλεῖ τὸν μετρίῳ φρονήματι χρώμενον· τοῦτον γὰρ καὶ ὁ κύριος μακαρίζει, «Μακάριοι» λέγων «οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.» Διὰ δὲ τῶν πόλεων τῶν ἀδικουμένων μὲν ὑπ' ἀνθρώπων τὸν δὲ θεὸν φοβουμένων τὴν ἀποστολικὴν πολιτείαν ᾐνίξατο· τούτους γὰρ πάλιν μακαρίζων ὁ κύριος ἔλεγεν· «Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.» 4Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθὸς καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη, ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς· σκέπη διψών των καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων. Πᾶσι τὰ κατάλληλα προσφέρει· τοῖς ἀδικουμένοις βοήθειαν, τοῖς ἀθυμοῦσι ψυχαγωγίαν, πᾶσι τοῖς δεομένοις τὴν χρείαν. 5Ὡς ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν Σιὼν ἀπὸ ἀνθρώπων πονηρῶν οἷς ἡμᾶς παρέδωκας. Ὡς ἐκ τοῦ ἀποστολικοῦ ταῦτα λέγει χοροῦ· Διψῶμεν τὴν ἐπουράνιον Σιὼν καὶ ἀπαλλαγῆναι τῶν δυσσεβῶν ἀνθρώπων ἀντιβολοῦμεν, οἷς ἡμᾶς εἰς γυμνασίαν καὶ δοκιμασίαν ἐξέδωκας. Καύσων ἐν σκέπῃ νέφους κληματίδα ἰσχυρῶν ταπεινώσει. Ταῦτα μετὰ ἀστερίσκων πρόσ κειται. Διδάσκει δὲ ὅτι φλογμὸς ἡλίου μετὰ νέφους γιγνόμενος καὶ τὰς ἰσχυρὰς καὶ τεθηλυίας κληματίδας ξηραίνει. Συνῆπται δὲ ἡ διάνοια τῷ πρὸ τούτου ῥη τῷ . Ὀλιγοψυχοῦμέν φησι καὶ τὴν ἐπουράνιον διψῶμεν Σιών· πολλὰ γὰρ ἡμῖν πανταχόθεν προσβάλλει δεινά, καὶ τὸ μὲν σὸν κρύπτεται φῶς, τὸ δὲ τῶν διωκόντων ἐπικείμενον νέφος ἱκανόν ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δαπανῆσαι τὴν νοτίδα τῆς πίστεως. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ θειοτάτου ἀποστόλου εἰρημένα· «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι· καὶ ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἶπέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται», καὶ πάλιν· «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν.» Ἐντεῦθεν πά λιν ὁ προφήτης προθεσπίζει τὴν δοθεῖσαν τοῖς ἔθνεσι μυστικὴν δωρεάν· 6Καὶ ποιήσει κύριος ὁ θεὸς Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ἐπὶ τὸ ὄρος τοῦτο πότον λιπασ μάτων, πότον τρυγιῶν· πίονται εὐφροσύνην, πίονται οἶνον, χρίσονται μύρον. 7Καὶ παραδοθήσονται ἐν τῷ ὄρει τούτῳ παραδόσει καὶ καταπίεται ἐν τῷ ὄρει τούτῳ. Ὄρος καλεῖ τῆς θεογνωσίας τὸ ὕψος· τοῦτο γὰρ καὶ ἐν τοῖς προειρημένοις ἐδείξαμεν. Τῶν δὲ τῆς θεογνω σίας μυστηρίων σύμβολα τὰ προειρημένα. Συνῆπται δὲ τούτοις ἡ εὐφροσύνη· τῶν θεοσδότων γὰρ πότ ων τούτων ἅπαντα μεταλήψεσθαι προλέγει τὰ ἔθνη. Καὶ συμφωνεῖ τοῖς ὑπὸ τοῦ δεσπότου πρὸς τοὺς ἱεροὺς |131 b| ἀποστόλους εἰρημένοις· «Πορευ θέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.» Ταῦτα τὰ ἔθνη καὶ τῷ ὄρει λέγει παραδοθήσεσθαι, τουτέστι τῇ τῆς θεογνωσίας διδασκαλίᾳ. Συμφωνεῖ δὲ τούτοις καὶ τὰ ἑξῆς· Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. Οὐ γάρ, ὥσπερ τὸν νόμον μόνοις δέδωκεν Ἰουδαίοις, οὕτω καὶ τὴν καινὴν διαθήκην μόνοις αὐτοῖς παρέσχεν, ἀλλὰ πᾶσι τοῖς ἔθνεσι τὴν ἐντεῦθεν φυομένην προὔθηκε σωτηρίαν. Εἶτα, ἐπειδὴ συμβαίνει τοὺς ἀγνοοῦντας τὸ τῆς οἰκονομίας μυστήριον καὶ μετὰ τὴν ἀπόλαυσιν τοῦ θείου βαπτίσματος ὁρῶντας κρατοῦντα τὸν θάνατον ἀπιστεῖν τῇ δυνάμει τῆς χάριτος, ἐπήγαγεν· 8Κατέπιεν ὁ θάνατος ἰσχύσας. Ἡμεῖς φησι δεδώκαμεν τῷ θανάτῳ τὴν ἰσχὺν διὰ τῆς ἁμαρτίας. Καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· τὸ ὄνειδος τοῦ λαοῦ αὐτοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Ἀλλ' ἀγαθότητι κυβερ νῶν τὰ καθ' ἡμᾶς ὁ δεσπότης κατέλυσε μὲν τὸν θάνατον, ἔπαυσε δὲ τὰ ἐπὶ τοῖς τελευτῶσι γιγνόμενα δάκρυα, τῆς ἀναστάσεως δεδωκὼς τὴν ἐλπίδα, καὶ τὰ τῆς ἁμαρτίας περιεῖλεν ὀνείδη. Ταῦτα δὲ οὐκ ἐγώ φησιν ἐφθεγξάμην ἀλλ' αὐτὸς δι' ἐμοῦ τῶν ὅλων ὁ κύριος. 9Καὶ ἐροῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ὁ θεὸς ἡμῶν, ἐφ' ὃν ἠλπίζομεν καὶ ἠγαλ λιώμεθα, καὶ σώσει ἡμᾶς, οὗτος κύριος, ὑπεμείναμεν αὐτῷ· καὶ ἀγαλλιασόμεθα καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. 10Ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο. Οἱ τῆς σωτηρίας τετυχηκότες τῶν ἐλπιζομένων ἀγαθῶν τὸ τέλος ὁρῶντες τοῦτον τῷ σεσωκότι τὸν ὕμνον προσφέρουσιν. Οὗτός φησι τῆς ὑπομονῆς ὁ καρπός· εὐφροσύνη καὶ θυμηδία τέλος οὐκ ἔχουσα. Τούτους ἀπὸ τοῦδε τοῦ ὄρους ἐδρεψάμεθα τοὺς καρπούς, τουτέστι τῆς εὐσεβείας. Καὶ καταπατηθήσεται ἡ Μωαβῖτις ἐν τῷ τόπῳ αὐτῆς, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις· 11καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ ὡς ἁπλοῖ ὁ λουόμενος εἰς τὸ κολυμβῆσαι. Τῆς πολυθεΐας τὴν πλάνην καὶ τὸν τούτων διδάσκαλον διὰ τούτων ᾐνίξατο· τοῦτο γὰρ καὶ διὰ τοῦ Βαλαὰμ ἡ χάρις τοῦ πνεύματος προηγόρευσεν· «Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἐξεγερθήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ καὶ προνομεύσει πάντας τοὺς υἱοὺς Σήθ.» Ἀρχηγοὶ δὲ Μωὰβ Χαμὼς καὶ Βεελφεγὼρ καὶ τἄλλα εἴδωλα· διὰ τούτων τοίνυν τῆς τῶν εἰδώλων πλάνης τὴν παῦλαν δεδήλωκεν· διὰ δὲ τῶν υἱῶν Σὴθ πάντων ἀνθρώπων τὴν σωτηρίαν· ἐκ γὰρ τοῦ Σὴθ ὁ Νῶε κατάγει τὸ γένος, πάντων δὲ τῶν ἄλλων ἀνθρώπων τῇ τοῦ κατακλυσμοῦ πανωλεθρίᾳ παραδοθέντων ἐκ τούτου πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ἀνήνθησεν. Τὸν τῆς πλάνης τοίνυν ἔφη δι δάσ καλον καταπατηθήσεσθαι κατὰ τὴν τοῦ κυρίου φωνήν· «Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.» Καὶ τῆς ἁμάξης δὲ τῆς τὴν ἅ λωνα λεπτυνούσης σαφέστερον ἡμᾶς ἐν ἑτέρῳ χωρίῳ ὁ αὐτὸς προφήτης ἐδίδαξε τὴν διάνοιαν· «Ἰδοὺ» γάρ φησιν «ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς.» Καὶ ὁ νηχόμενος δὲ ἄλλο μὲν οὐδὲν ἐρ γάζεται, προμηθεῖται δὲ τῆς ἑαυτοῦ σωτηρίας· οὕτω τοίνυν καὶ ὁ τῆς πλάνης διδάσκαλος καὶ οἱ τὴν ἐκείνου δεξάμενοι διδασκαλίαν ἐν τῷ μέλλοντι βίῳ τῇ τιμωρίᾳ παραδοθέντες οὐκέτι μὲν ἄλλως τὴν ἀπάτην ἀγρεύουσι, τὸν δὲ οἰκεῖον θρηνοῦσιν ὄλεθρον. Ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσεν τοῦ ἀπολέσαι, οὕτως ταπεινωθήσεται <καὶ ταπεινωθήσεται> τὸ ὕψος αὐτοῦ, ἐφ' ᾧ τὰς χεῖρας ἐπέβαλεν· 12καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου σου ταπεινώσει, καὶ καταβήσονται ἕως τοῦ ἐδάφους ἕως κόνεως. Ἐταπείνωσεν αὐτ ῶν τὴν φύσιν ἀποστήσας τοῦ ποιητοῦ καὶ τῆς πλάνης τὰς ἀτραποὺς ὑποδείξας. Ταπεινωθήσεται δὲ ἐπαιρ όμενος καὶ ἐλεγχθήσε ται δαίμων ὢν πονηρὸς ἀλλ' οὐ θεός. Τοῦτο γὰρ εἶπεν· ἐφ' ᾧ τὰς χεῖρας ἐπέβαλεν· ἥρπασε γὰρ τὸ μὴ προσῆκον ὄνομα. Καταφυγὴν δὲ τοῦ τοίχου αὐτοῦ καλεῖ τοὺς ὑπ' αὐτοῦ πλανηθέντας· καὶ γὰρ αὐτοὶ τιμωρίᾳ παραδοθήσονται κατὰ τὴν τοῦ κυρίου φωνήν· «Πορεύεσθε» γάρ φησιν «οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.» 261Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ τῆς γῆς Ἰούδα λέγοντες· Ἰδοὺ πόλις ἰσχυρά, καὶ σωτήριον ἡμῶν θήσει τεῖχος καὶ περίτειχος. 2Ἀνοίξατε πύλας, εἰσελθέτω δίκαιος λαὸς φυλάσσων δικαιοσύνην καὶ φυλάσσων ἀλήθειαν, 3ἀντιλαμβανόμενος ἀληθείας καὶ φυλάσσων |132 a| εἰρήνην τελείαν, ὅτι ἐπὶ σοὶ 4ἠλπίσαμεν κύριε ἕως τοῦ αἰῶνος. Ὅτι ὁ θεῖος ἀπόστολος οὐ μόνον τὸν ἐν τῷ φανερῷ ἀλλὰ καὶ τὸν ἐν τῷ κρυπτῷ οἶδεν Ἰουδαῖον, σαφῶς μεμα θήκαμεν. Διδάσκει τοίνυν ὡς τῶν εὐσεβῶν ὁ χορὸς ὁρῶν τὴν τῶν πολεμίων κατάλυσιν ἀνυμνεῖ τὸν εὐεργέτην θεὸν καὶ τῆς εὐσεβοῦς πολιτείας τὸ ἄμαχον δείκνυσι παρακαλεῖ δὲ καὶ τὰς ἐπουρανίους ἀνοιγῆναι πύλας τῷ τῆς δικαιοσύνης τροφίμῳ λαῷ τῷ καὶ τὴν περὶ ἀνθρώπους δικαιοσύνην καὶ τῶν θείων δογμάτων φυλάξαντι τὴν ἀλήθειαν καὶ τὴν πρὸς τὸν θεὸν εἰρήνην ἐντελῶς κτησαμένῳ καὶ ἐπὶ τῆς εἰς αὐτὸν ἐλπίδος βεβαίως ἐρηρεισμένῳ. Ὁ θεὸς ὁ μέγας ὁ αἰώνιος, 5ὃς ταπεινώσας κατήγαγες τοὺς κατοικοῦντας ἐν ὑψηλοῖς· πόλεις ὀχυρὰς καταβαλεῖς καὶ κατάξεις ἕως ἐδάφους, 6καὶ πατήσουσιν αὐτὰς πόδες πραέων καὶ ταπεινῶν ἴχνη. Τοῦτο καὶ ἡ ἁγία παρθένος ὑμνοῦσα ἔλεγεν· «Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς.» Οὗτος καὶ τῶν κατὰ τῆς εὐσεβείας μαινομένων πόλεων τὸ θεομάχον φρόνημα καταλύσας τοῖς ἀποστολικοῖς αὐτὰς ὑπέταξεν ἴχνεσι καὶ τοῖς τὴν ἐκείνων διδασκαλίαν ἐκδεξαμένοις. 7Ὁδὸς εὐσεβῶν εὐθεῖα, τρίβος εὐσεβῶν <εὐθεῖα>, εὐθεῖα ἐγένετο ἡ ὁδὸς τῶν εὐσεβῶν καὶ παρασκευασμένη· 8ἡ γὰρ ὁδὸς τοῦ κυρίου κρίσις. Ἄνωθεν ταύτην τὴν ὁδὸν ὁ θεὸς τοῖς ἀνθρώποις ὑπέδειξεν. Τοῦτο δὲ καὶ ὁ λόγος ᾐνίξατο· Εὐθεῖα ἡ ὁδὸς τῶν εὐσεβῶν καὶ παρεσκευασμένη. Οὗ δὴ χάριν καὶ διὰ τοῦ Νόμου διδάσκει· «Ὁδῷ βασιλικῇ πορεύσῃ, οὐκ ἐκκλινεῖς δεξιὰ ἢ ἀριστερά.» Ταύτην οἱ τῆς εὐσεβείας ὥδευσαν τρόφιμοι. Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου καὶ ἐπὶ τῇ μνείᾳ, 9ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν ἐπιθυμίᾳ ψυχῆς. Πάσης μνήμης ἀγαθῆς ἀξιεραστοτέρα ἡμῖν ἡ τοῦ ὀνόματος μνήμη. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ μακαρίου Δαυὶδ εἰρημένα· «Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην», καὶ πάλιν· «Εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον.» Ἐπειδὴ δὲ πολλοῖς ὕστερον χρόνοις ταῦτα ἔμελλεν ἔσεσθαι, διδάσκει ὁ προφήτης πόθεν ταῦτα μεμάθηκεν· Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Νύκτα καλεῖ τὸν πρὸ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου καιρόν, ὄρθρον δὲ τὴν προφητικὴν πρόγνωσιν. Ἡμέρα γὰρ ἡ τῆς θεογνωσίας ἀνατολή. Καὶ γὰρ αὐτὸς ὁ κύριος «φῶς ἀληθινὸν» καὶ ἥλιος δικαιοσύνης ὠνόμασται. Λέγει τοίνυν ὁ προφήτης ὅτι ἔτι νυκτὸς οὔσης ὑπὸ τοῦ σοῦ φωτιζόμενος πνεύματος τῆς σῆς ἡμέρας τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄρθρον ὁρῶ, οὐδὲ γὰρ αὐτὰ βλέπω τὰ πράγματα ἀλλὰ τὰς τούτων εἰκόν ας . Διὸ δὴ καὶ ὁ κύριος ἔλεγεν· «Πολλοὶ προφῆται καὶ βασιλεῖς δίκαιοι ἐπεθύ μησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδον.» Καὶ αὐτὰ δέ φησι τὰ προστάγματά σου φωτὸς δίκην ὑποδείκνυσι τὴν εὐθεῖαν ὁδόν. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Καὶ διδάσκων τὴν τῆς μαθήσεως εὐκολίαν ἐπήγαγεν· 10Πέπαυται γὰρ ὁ ἀσεβής, οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσῃ. Τῆς γὰρ τοῦ διαβόλου τυραννίδος διὰ τῆς δεσποτικῆς ἐπιφανείας καταλυθείσης ῥᾴων γέγονε τῆς ἀρετῆς ἡ κατόρθωσις. Ἐκεῖνος δὲ οὐδὲν ἐντεῦθεν ἀπώνατο· τὴν γὰρ δικαιοσύνην μαθεῖν οὐκ ἠνέσχετο. Δι ὃ ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. Οὐκ ὄψεται γάρ φησι τὸ ἀκήρατον φῶς τὸ τοῖς ἁγίοις ηὐτρεπισ μένον. 11Κύριε, ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήτωσαν. Τοῦτο καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· «Καὶ τότε ὄψονται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς.» Δῆλον δὲ ὡς οἱ ἐν ἑκάστῳ ἔθνει τοῖς δε σπο τικοῖς κ ηρύ γμασιν ἀπ ι στήσαντες θρηνή σουσι τὴν οἰκείαν ἀσθένειαν. Ζῆλος λήψεται λαὸν ἀπαί δευτον. Τοὺς Ἰουδαίους αἰνίττεται διὰ ζῆλον δῆθεν τῷ σταυρῷ τὸν κύριον προσηλώσαντας. Τοῦτο καὶ ὁ θεῖός φησιν ἀπόστολος· «Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν ἀλλ' οὐ κατ' ἐπίγνωσιν.» Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Ἐπειδὴ γὰρ τὸ φῶς οὐκ ἐδέξαντο, παραδοθήσονται τῷ πυρὶ καὶ τῷ σκότει. 12Κύριε ὁ θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ τὰ ἔργα ἡμῶν ἀπέδωκας ἡμῖν. 13Κύριε ὁ θεὸς ἡμῶν κτῆσαι ἡμᾶς, κύριε ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Τὴν σὴν ἠσπασάμεθα δεσποτείαν. Μὴ ἐκπέ σωμέν σου τῆς προμηθείας· οὐδένα γὰρ ἄλλον ἴσμεν θεόν. Ταῦτα καὶ τὴν τοῦ Ἀρείου καὶ Εὐνομίου διελέγχει παραπληξίαν. Πῶς γὰρ δύνανται λέγειν· Ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, κτιστὸν θεὸν τὸν υἱὸν ὀνομάζοντες; Ἡμεῖς δὲ μίαν οὐσίαν τῆς τριάδος κηρύττοντες ἀληθεύομεν λέγοντες· Ἐκτὸς σοῦ ἄλλον |132 b| οὐκ οἴδαμεν. 14Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν. Νεκροὺς καλεῖ τοὺς τοῖς ἀγαθοῖς ἔργοις νενεκρωμένους. Οὕτω γὰρ καὶ ὁ κύριος ἔφη· «Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς.» Οὗτοί φησι τῆς ἀληθοῦς ζωῆς στερηθήσονται· ἐν ὀδύνῃ γὰρ τὸν αἰῶνα διάξουσιν. Οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσιν. Θεοῦ γὰρ κολάζοντος τίς ἐπαμῦναι δυνήσεται; Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας αὐτοὺς καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Τό· ἦρας πᾶν ἄρσεν αὐτῶν, ὁ Σύμμαχος «πᾶσαν τὴν μνήμην αὐτῶν» ἡρμήνευσεν, Ἀκύλας δὲ καὶ Θεοδοτίων «πᾶν τὸ μνημόσυνον αὐτῶν». Ταὐτὸ δὲ τοῦτο καὶ οἱ Ἑβδομήκοντα διὰ τοῦ ἄρσενος ᾐνίξαντο· διὰ γὰρ τῶν ἀρρένων μᾶλλον ἡ τῶν πατέρων φυλάττεται μνήμη. 15Πρόσθες αὐτοῖς κακὰ κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Εἰς εὐκτικὸν τὸ προαγορευτικὸν ὁ προφήτης μετέβαλε σχῆμα καὶ προλέγει τὸν ὄλεθρον τῶν διωκόντων τοὺς εὐσεβεῖς. 16Κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. 17Καὶ ὡς ἡ ἐν γαστρί, ἡ ἔγκυος, ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. Δείξας τῶν διωκόν των τὴν ταλαιπωρίαν ἐπιδείκνυσι τῶν διωκομένων τὴν ὠφέλειαν. «Ἡ» γὰρ «θλῖψις» κατὰ τὸν μακάριον Παῦλον «ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.» Καὶ ἐνταῦθα δὲ ὁ προφήτης τῆς θλίψεως καρπὸν τοῦ θεοῦ τὴν μνήμην ὑπέδειξεν, ὑπέδειξε δὲ καὶ τὴν ταχεῖαν ἀντίληψιν· τικ το ύσῃ γὰρ παραπλησίως ὀδυνηθέντες διὰ τὸν ἀγαπητόν σου υἱὸν ἀπηλλάγημεν τῆς ὀδύνης. Καὶ ἐπιμένων τῇ τ ροπῇ ἐπή γαγεν· Διὸ τὸν φόβον σου κύριε 18ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποίησας ἐπὶ τῆς γῆς. Ἐπειδὴ γὰρ ὠδινούσῃ ἑαυτοὺς ἀπείκασαν γυναικί, ἔδειξαν τὸν τῶν ὠδίνων καρπόν. Πνεῦμα γὰρ σωτηρίας φησὶν ἐτέκομεν, ὃ ἐποίησας ἐπὶ τῆς γῆς, τουτέστιν· ὃ τῇ γῇ ἐδωρήσω. Οὐ γὰρ τὸ πνεῦμα ἐν τῇ γῇ ἐδημιούργησεν, ἀλλὰ διὰ τοῦ πνεύματος ἐν τῇ γῇ τὴν σωτηρίαν εἰργάσατο. Εἰ δὲ ἀντιλέγουσιν οἱ τῷ παναγίῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματι πο λεμοῦντες, λεγέτωσαν ὅτι διὰ τῶν ἀποστόλων ἐν τῇ γῇ τῆς δημιουργίας τετύχηκεν· τοῦτο γὰρ ὁ προφη τικὸς ἐδίδαξε λόγος. Ἀλλὰ δῆλον ὡς οὐ τὸ πνεῦμα λέγει ἐν τῇ γῇ γεγενῆσθαι ἀλλὰ τὴν διὰ τοῦ πνεύματος σωτηρίαν ἐν τῇ γῇ τοῖς ἀνθρώποις παρασχεθῆναι. Οὐ πεσούμεθα, κἂν μυριάκις πολεμηθῶμεν. Τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Ἐν παντὶ θλιβόμενοι ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ' οὐκ ἐξαπορούμενοι.» Ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες τὴν γῆν, οἱ τὰ γήινα φρο νοῦντες, οἱ ὡς μένουσι θαρροῦντες τοῖς ῥέουσιν. Ἡμεῖς δὲ προσμένομεν τῶν νεκρῶν τὴν ἀνάστασιν· 19Ἀναστήσονται γὰρ οἱ νεκροί σου, καὶ ἐξεγερθήσονται οἱ ἐν τοῖς μνή μασιν, ἐξυπνισθήσονται καὶ εὐφρανθήσονται οἱ ἡσυχάζον τες ἐν τῇ γῇ. Ταῦτα καὶ ὁ κύριος ἔφη ὅτι «ἀκούσονται οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.» Ἀκο λούθως μέντοι τὸ ἐξυπνισθήσονται τέθεικεν ὁ προφήτης δεικνὺς ὕπνον ὄντα τὸν θάνατον. Εἶτα διδάσκει τὸν τῆς ἀναβι ώ σεως τρόπον· Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν. Ὥσπερ γὰρ ὁ ὑετὸς ζωοποιεῖ τὰ καταχω σθέντα καὶ οἱονεὶ ταφέντα σπέρματα, οὕτως ὁ σὸς λόγος οἷόν τις δρόσος ἀνίστησι τῶν ἀνθρώπων τὴν φύσιν. Ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Τὸ γήινον αὐτῶν καταλυθήσεται φρόνημα. Ταῦτα μὲν οὖν ὁ προφήτης εἴρηκεν ὕμνον ὑφαίνων τῷ τῶν ὅλων θεῷ. Αὐτὸς δὲ ὁ δεσπότης τοῖς εἰς αὐτὸν πεπιστευκόσι παρεγγυᾷ ὥσπερ ἔν τισι ταμιείοις τῇ πίστει τῶν κηρυγμάτων καὶ τῇ ἐλπίδι τῶν μελλόντων κατακρυβῆναι καὶ διαφυγεῖν τὸν τοῖς ἄλλοις ἀνθρώποις ἐπιφερόμενον ὄλεθρον· 20Βάδιζε γάρ φησι λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκ λεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον. Ἀντὶ τοῦ πρὸς μικρόν. Ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου. 21Ἰδοὺ γὰρ κύριος ἀπὸ τοῦ ἁγίου τόπου ἐπάγει τὴν ὀργὴν αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, ἐπισκέψασθαι τὴν ἀνομίαν τῶν κατοικούντων τὴν γῆν κατ' αὐτῶν. Ταῦτα εὑρί σκομεν τὸν κύριον τοῖς ἱεροῖς ἀποστόλοις παρεγγυήσαντα· «Ὅταν» γάρ φησιν «ἴδητε κυκλουμένην ὑπὸ στρα τοπέδων τὴν Ἱερουσαλήμ, γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς», καὶ πάλιν· «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ κατα βάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ.» Προλέγει δὲ αὐτοῖς, ἵνα διαφύγωσι τὸν ἐπιφερόμενον τοῖς ἀπιστήσασιν ὄλεθρον. Ὁ μέντοι προφήτης καὶ τὴν αἰτίαν |133 a| διδάσκει τῆς τιμωρίας· Καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους ἔτι. Καὶ ἐπὶ τοῦ Ἄβελ ὁ θεὸς εἴρηκεν· «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς», καὶ νῦν τὸ δεσποτ ικόν φησιν αἷμα οὐκ ἀνέχεται κατακρύψαι ἡ γῆ ἀλλὰ τοῦτο δείκνυσι τῆς μανίας κατηγοροῦσα. Δι ὰ τοῦτο οὐδὲ τοὺς μιαιφόνους ἀναιρουμένους ὑποδέξεται θαπτομένους ἀλλὰ προθήσ ει αὐτοὺς βορὰν οἰωνοῖς καὶ θηρίοις. 271Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ θεὸς τὴν μάχαιραν αὐτοῦ τὴν ἁγίαν καὶ τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν φεύγοντα, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν σκολιόν, καὶ ἀνελεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸν δράκοντα τὸν ἐν τῇ θαλάσσῃ. Μάχαιραν θεοῦ καλεῖ τὸν τιμωρητικὸν λόγον, δράκοντα δὲ ὄφιν σκολιὸν φεύγοντα ἐν τῇ θαλάττῃ διαιτώμενον τὸν διὰ τοῦ πρώτου ὄφεως ἐνεργήσαντα λέγει. Οὗτος γὰρ ἔφυγε τὴν τοῦ σωτῆρος μεμαθηκὼς ἐπιφάνειαν καὶ ἐβόα· «Τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;» Οὗτος τῆς εὐθείας ἀποτρέπων ὁδοῦ εἰς τὰς πολυελίκτους τῆς κακίας ἀτραποὺς τοὺς ἀνθρώπους ἀποπλανᾷ· οὗτος ἐν τῇ τῶν Ἁλῶν πάλαι Θαλάττῃ διῆγε, πικρὰ καὶ ἄποτα ταύτης κατασκευάζων τὰ ὕδατα· ἀλλὰ διὰ τοῦ ξύλου τοῦ σταυροῦ οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι εἰς γλυκεῖαν ταῦτα μεταβαλόντες ποιότητα ἐξήλασαν τοῦτον καὶ διεκώλυσαν ἐμβαλεῖν τὸν οἰκεῖον ἰόν, μᾶλλον δὲ ἔλαβον «ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». Ταύτης τῆς μαχαίρας καὶ ὁ μακάριος Παῦλος μέμνηται. Τὴν γὰρ ἄλλην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περ ιθεὶς τοῖς πιστοῖς πανοπλίαν ἐπήγαγεν· «Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ», καὶ πάλιν· «Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος.» Οὕτως ὁ θεῖος προφήτης ὑποδείξας ἡμῖν τὸν τῆς συντε λείας καιρὸν καὶ τῶν ἀνόμων τὸν ὄλεθρον καὶ τοὺς τῶν ἁγίων χοροὺς καὶ τὴν παντελῆ τοῦ διαβόλου κατάλυσιν ἐφ' ἑτέραν προφητείαν τὸν λόγον μετέθηκεν· 2Ἀμπελὼν καλὸς ἐπιθύμημα αὐτοῦ ἐξάρχειν κατ' αὐτοῦ. Πάλιν ἐνταῦθα τῆς Ἱερουσαλὴμ τὴν πολιορκίαν σημαίνει καὶ τῶν Ἀσσυρίων τὸν ὄλεθρον καὶ προσωποποιίᾳ κεχρημένος αὐτὴν εἰσάγει τὴν πόλιν λέγουσαν ὅτι ἀμπελών εἰμι καλὸς θεὸν ἔχων φυτουργὸν καὶ οὕτως εὐανθής εἰμι καὶ καλός, ὡς πολλοὺς τῆς ἐμῆς ἐφίεσθαι κτήσεως. 3Ἐγὼ πόλις ὀχυρά, πόλις πολιορκουμένη. Οὐδεμίαν φησὶν ἀπὸ τῶν περιβόλων ἀσφάλειαν ἔχω· πάντοθεν γὰρ ὑπὸ τῶν πολεμίων κεκύ κλωμαι. Μάτην ποτιῶ αὐτήν· ἁλώσεται γὰρ νυκτός, ἡμέρας δὲ πεσεῖται· 4τεῖχος γὰρ οὐκ ἔστιν, ὃ ἐπελάβετο αὐτῆς. Τό· μάτην ποτιῶ αὐτήν, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «ἐξαίφνης ποτιῶ αὐτήν», οὕτω δὲ καὶ οἱ Λοιποί. Τουτέστι τὴν π ολι ορκοῦσάν με στρατιάν. Ποτιῶ δὲ αὐτὴν ἐξαίφνης διὰ τῆς ἐμῆς μετανοίας καὶ τῆς σπουδαίας μου προσευχῆς· ἐκείνη γὰρ οὐκ ἔχει τῆς εὐσεβείας τὸ τεῖχος φυλάττον αὐτήν. Οὗ δὴ χάριν καὶ νύκτωρ καὶ δίχα χει ρῶν ἀνθρω πίνων κατακοντίζεται, καὶ μεθ' ἡμέραν οἱ φυγόντες τὸν ὄλεθρον δέξονται. Τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; Διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν. Δείκνυσιν ὁ προφητικὸς λόγος προσευχομέν ην τὴν πόλιν, τῶν ἀσταχύων ἐστερη μένην καλάμην τῶν πολεμίων τὴν στρατιὰν κειμένην ἰδεῖν. Διὰ ταύτην γάρ φησι τὴν εὐχὴν καὶ τὸ παράδοξον ἐκεῖνο γεγένηται θαῦμα· τοῦτο γὰρ διὰ τῶν ἑξῆς ὁ προφήτης ἐδίδαξεν· Τοίνυν διὰ τοῦτο ἐποίησε κύριος πάντα ὅσα συνέταξεν. Ἠθετηκέναι δὲ λέγεται, ἐπειδὴ τὸν συνήθη δασμὸν οὐ τε τέλεκεν Ἐζεκίας ὁ βασιλεύς. Κατακέκαυμαι, 5βοήσονται οἱ κατοικοῦντες ἐν αὐτῇ, τουτέστιν ἐν τῇ στρα τιᾷ. Το ιαύτη αὐτοῖς ἐπενεχθήσεται πληγή. Εἶτα ἀλλήλοις παρακελεύσονται διὰ μετανοίας τὸν θεὸν ἱλεώσασθαι· Ποιήσωμεν εἰρήνην αὐτῷ, εἰρήνην ποιήσωμεν 6οἱ ἐρχόμενοι. Καταλλάξωμέν φησι τὸν δεσπότην, παύσωμεν τὴν καθ' ἡμῶν ἀγανάκτησιν τῇ τοῦ βίου μεταβολῇ. Εἶτα δείκνυται ὁ τῆς μετανοίας καρπός· Τέκνα Ἰακὼβ βλαστήσει, καὶ ἐξανθήσει Ἰσραήλ, καὶ πλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. Οὐ μόνον φησὶ τῆς πολιορ κίας ταύτης ἀπαλλαγήσεσθε, ἀλλὰ καὶ τὸν σωτήριον καρπὸν τῇ οἰκουμένῃ βλαστήσετε. Δηλοῖ δὲ διὰ τούτων οὐ μόνον τὸν δεσπότην Χριστόν, ὃς ἐξ αὐτῶν κατὰ σάρκα βεβλάστηκεν, ἀλλὰ καὶ τοὺς ἱεροὺς ἀποστόλους κ αὶ καθόλου |133 b| πάντας τοὺς ἐξ Ἰουδαί ων πεπιστευκότας· διὰ τούτων γὰρ ἡ οἰκουμένη τὴν σωτηρίαν ἐδέξατο. Οὕτω τὰ Ἰουδαίω ν προαγορεύσας προλέγει τὴν τῶν Ἀσσυρίων πληγήν· 7Μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται; Ἢ ὡς αὐτὸς ἀνεῖλε, καὶ αὐτὸς οὕτως ἀναιρεθήσεται; Σύ φησι παραταττόμενος καὶ μα χόμενος ἀνεῖλες τῆς Ἱερουσαλὴμ τοὺς περιοίκους· σὲ δὲ οὐκ ἄνθρωποι συμπλεκόμενοι κατακοντί σ ουσιν, ἀλλ' ἀόρατος ἡ μάχη καὶ ἡ νίκη γενήσεται. 8Μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς. Σὺ μά χῃ καὶ παρατάττῃ καὶ κατὰ τοῦ θεοῦ τῶν ὅλων τὴν γλῶτταν κινεῖς καὶ ἀσθένειαν ὀνειδίζεις τῷ τὰ πάντα πεποιηκότι, ἐγὼ δὲ σιγῶν παρα πέμψω σε θανάτῳ. Οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματί σου τῷ σκληρῷ ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ; 9Διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακώβ, καὶ αὕτη ἐστὶν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι αὐτοῦ τὴν ἁμαρτίαν. Ἤλπισάς φησιν αὔτανδρον καταλῦσαι τὴν πόλιν· ἀλλὰ τούτου χάριν ἐγὼ τῆς ἐμῆς αὐτοὺς ἀξιώσω προνοίας, οὐκ ἀποβλέπων εἰς τὰ ἐκείνων πλημμελήματα διὰ τὴν σὴν βλασφημίαν. Τοῦτο καὶ διὰ ἑτέρου προφήτου φησὶν ὁ θεός· «Οὐ δι' ὑμᾶς ποιῶ, οἶκος Ἰσραήλ, ἀλλὰ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς ἔθνεσιν.» Εἰδέναι μέντοι χρὴ ὅτι κυρίως ἡ τῆς ἁμαρτίας ἀφαί ρεσι ς ἁρμόττει τῇ τοῦ σωτῆρος ἡμῶν ἐπιφανείᾳ, ὡς ἐν τύπῳ δὲ καὶ τότε ἐγένετο. Οὕτω δὲ καὶ τὰ ἐπαγόμενα  δι πλῆν ἔχει τὴν προφητείαν· Ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους ὡς κονίαν λεπτήν· καὶ οὐ μὴ μείνῃ τὰ εἴδωλα αὐτῶ<ν>, καὶ τὰ δένδρα αὐτῶ<ν> ἐκκεκομμένα ὥσπερ δρυμός. Ταῦτα καὶ ὁ θαυμάσιος Ἐζεκίας πεποίηκεν· καὶ διδάσκει τῶν Παραλειπομένων ἡ δευτέρα καὶ τῶν Βασιλειῶν ἡ τετάρτη. Ἀλλ' ἐκεῖνος ἐν τῇ Ἱερουσαλὴμ τοῦτο δέδρακε μόνῃ, ὁ δέ γε δεσπότης Χριστὸς τὴν οἰκουμένην τῆς τῶν εἰδώλων ἠλευθέρωσε πλάνης.  Οὕ τω προαγορεύσας τὴν γεγενημένην ἐπὶ τοῦ Σενναχηρὶμ τῇ Ἱερουσαλὴμ σωτηρίαν προλέγει καὶ τὴν ἐσομένην ἐπὶ τοῦ Ναβουχοδονόσορ αἰχμαλωσίαν· Μακρὰν 10τὸ κατοι κούμενον ποίμνιον ἀνειμένον ἔσται ὡς ποίμνιον ἐγκαταλε λειμμένον· καὶ ἔσται πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται. Καὶ μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ οὐθὲν χλωρὸν 11διὰ τὸ ξηρανθῆναι. Αἰχμάλωτοί φησιν  ἀπαχ θή σονται, καὶ ἔρημος αὐτῶν ἡ χώρα ἔσται, ἀλλὰ καὶ πάλιν ἐπανήξουσι καὶ οἰκήσουσιν ἐν αὐτῇ· μετὰ  μέ ντοι χρόνον ἄκαρπος ἔσται, καὶ οὐδὲ βλαστήσει χλωρὸν διὰ τὸ ξηραν θῆναι. Δηλοῖ δὲ ὁ λόγος τὴν ἐπὶ τοῦ  παρ όντος τῶν Ἰουδαίων ἀκαρπίαν· οὐδὲν γὰρ τέθηλε παρ' ἐκείνοις, ἐπειδὴ τὸν τῆς χάριτος ὑετὸν οὐκ εἰσδέχεται. Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν. Διὰ τοῦτο οὐ μὴ οἰκτείρῃ αὐτοὺς ὁ ποιήςας αὐτούς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσῃ αὐτούς. Γυναῖκας καλεῖ τὰς τῶν ἐθνῶν πόλεις ἢ τὰς ἐν αὐταῖς ἐκκλησίας τὰς τῆς Ἱερουσαλὴμ θεωμένας τὴν ἐρημίαν, καὶ παρακελεύεται τὴν ἐκείνων ἀπιστίαν φυγεῖν· συνιέναι γὰρ οὐκ ἐθέλουσι τὸ συμφέρον, οὗ δὴ χάριν καὶ συγγνώμης ἐστέρηνται. 12Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συμφράξει κύριος ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων. Τοῦτο οἱ Ἄλλοι Ἑρμη νευταὶ ἔφ ασαν «ἀπὸ ὅρους τοῦ ποταμοῦ ἕως τοῦ χειμάρρου Αἰγύπτου καταπαύσει τὰ ῥεῖθρα.» Οὔτε γὰρ ποταμὸς  οὔτε διῶρυξ  ἡ ἀσέβεια ἀλλὰ χειμάρρους ἐξ ἐράνου συνιστάμενος καὶ πρόσκαιρον ἔχων τὴν σύστασιν. Ὑμεῖς δὲ συναγάγετε τοὺς υἱοὺς Ἰσραὴλ κατὰ ἕνα ἕνα. Τοῖς ἱεροῖς ἀποστόλοις ὁ λόγος παρακελεύεται· αὐτοὶ γὰρ τὰς κατὰ τὴν οἰκουμένην περινοστοῦντες συναγωγὰς πρώτοις Ἰουδαίοις τὸν λόγον ἐκήρυττον καὶ τοὺς τῷ θείῳ κηρύγματι πειθομένους τῷ δεσπότῃ προσέφερον. 13Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ σαλπίσουσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ καὶ προσκυνή σουσι τῷ κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ. Σάλπιγγα μεγάλην ἐκάλεσε τὸ σωτήριον κήρυγμα· τῶν γὰρ τῆς ἀληθείας κηρύκων «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα». Οὗτοι τὰ πλανώμενα συναγαγόντες «πρόβατα ἀπολωλότα οἴκου Ἰσραήλ», συναγαγόντες δὲ καὶ τὰ «ἄλλα πρόβατα, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης», μίαν ποίμνην κατεσ κεύασαν τῷ δεσπότῃ καὶ ταύτην νέμουσιν ἐν τῷ  ὄρει Σιών , τῆς θεολογίας αὐτοῖς ὑποδεικνύντες τὸ ὕψος. Καὶ τῆς ἄνω Ἱερουσαλὴμ <...> εἰ ὀνομάζοι, οὐκ ἂν ἁμάρτοι τῆς  |134 a| ἀληθείας. Συνομολογεῖ δὲ τῷ θείῳ Δαυὶδ λέγοντι· «Ἀγαπᾷ κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.» Ταύτας δὲ ἡμεῖς ἀγαπήσωμεν τὰς πύλας καὶ ταύταις διηνεκῶς προσεδρεύσωμεν, ἵνα δι' ἐκείνων εἰς τὴν τριπόθητον ἐκείνην εἰσέλθωμεν πόλιν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν πνεύματι ἁγίῳ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 8 ΤΟΜΟΣ Η΄


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐν τοῖς ἔναγχος ἑρμηνευθεῖσι τὰ κατὰ τὴν Ἱερουσαλὴμ προθεσπίσας καὶ τῶν ἱερῶν ἀποστόλων προαγορεύσας τὸ κήρυγμα, τὰ συμβησόμενα ταῖς δέκα προλέγει φυλαῖς· 281Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραίμ. Μισθωτοὺς Ἐφραὶμ τοὺς ἐπικούρους λέγει, τὴν Δαμασκὸν καὶ τοὺς ἄλλους Σύρους· τούτους γὰρ ἀεὶ κατὰ τῆς Ἱερουσαλὴμ ἐμισθοῦντο. Στέφανον δὲ ὕβρεως τὴν ἀλαζονικὴν καλεῖ αὐτῶν βασιλείαν· καὶ τοῦ θεοῦ γὰρ ἀπέστησαν καὶ κατὰ τῶν ἀδελφῶν ἐφρόνουν μέγα. Οὕτω δὲ καὶ ὁ Σύμμαχος ἔφη· «Οὐαὶ στέφανος ὑπερηφανίας.» Τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ με θύοντες ἄνευ οἴνου. Ἄνθος δόξης ἐκπεσὸν τὴν ἐξ <εὐ>ημε ρίας εἰς κακοπραγίαν μεταβολὴν ὠνόμασεν, κορυφὴν δὲ ὄρους παχέος τὸν Ἀσσύριον ἡγοῦμαι καλεῖσθαι διά τε τὸ ὕψος τῆς βασιλείας καὶ τὴν τῆς καρδίας παχύτητα, μέθην δὲ ἄνευ οἴνου τὴν τῶν εἰδώλων μανίαν. 2Ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν παρὰ κυρίου ὁ θυμὸς κυρίου καὶ ὀργὴ ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη, ὡς ὕδατος πολλοῦ πλῆθος σῦρον χώραν, τῇ γῇ ποιήσει ἀνάπαυσιν ταῖς χερσὶ 3καὶ τοῖς ποσίν. Τοῦ θεοῦ τὴν ὀργὴν ἀπεικάζει χαλάζῃ σφο δρο τάτῃ κατά τινων φερομένῃ σκέπην οὐδεμίαν ἐχόντων καὶ χειμάρρῳ μεγίστῳ πλημμυροῦντι καὶ τὴν παρακειμένην παρασύροντι γῆν καὶ μὴ συγχωροῦντι μήτε τοῖς ποσὶ τῶν ἐμπιπτόντων στῆναι μήτε ταῖς χερσὶ διαν ή ξασθαι. Καὶ καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραίμ. Τουτέστιν οἱ ἐπίκουροι αὐτοῦ, ἐφ' οἷς ἐφρόνει μέγα. 4Καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης αὐτοῦ ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ ὡς πρόδρομον σύκου· ὃ ὁ ἰδὼν αὐτό, πρὶν ἢ εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν αὐτό, θελήσει αὐτὸ καταπιεῖν. Τοῦ Σαλμανάσαρ ἐπελθόντος ταῖς δέκα φυλαῖς καὶ μέντοι καὶ τοῦ Σεναχηρὶμ ὕστερον, διέφυγόν τινες τὸν ἀνδραποδισμὸν ἐν τοῖς ὄρεσι λαθόντες, μετὰ δὲ τὴν τῶν πολεμίων ἀναχώρησιν ἐν μέρει τινὶ τῆς οἰκείας ᾤκησαν χώρας. Ταύτης ἦν καὶ ἡ Γαλιλαία· τῶν δέκα γὰρ ἦν αὕτη φυλῶν· «Χώρα» γάρ φησι «Ζαβουλὼν καὶ γῆ Νεφθαλίμ, Γαλιλαία τῶν ἐθνῶν.» Ἐκ ταύτης ἦν τῆς χώρας ὁ ἱερὸς τῶν ἀποστόλων χορός. Προλέγει τοίνυν ὡς ἀξιέραστοι πᾶσιν ἔσονται ὡς σῦκον πρώιμον ὅπερ λίαν ἐστὶ τοῖς θεωμένοις ἐπέραστον. 5Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος Σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι τοῦ λαοῦ αὐτοῦ. Τὸν ἀποστολικὸν ὑποδείξας χορὸν τὸν τούτων ὑποδείκνυσι δεσπότην· οὗτος γάρ φησι τὸν τῆς ὕβρεως στέφανον καταλύσας αὐτὸς ἔσται στέφανος δόξης τοῖς καταλειφθεῖσι τοῦ λαοῦ αὐτοῦ. Δόξα γὰρ τῶν πεπιστευκότων Ἰουδαίων μεγίστη τὸ ἐξ αὐτῶν βλαστῆσαι κατὰ σάρκα τὸν κύριον. 6Καταλειφθήσονται γὰρ ἐν πνεύματι κρίσεως ἐπὶ κρίσιν, καὶ ἰσχὺν κωλύων ἀνελεῖν. Αὐτὸς γὰρ κωλύσας ἀναιρεθῆναι πάντας, ἐνίους ἐφύλαξε προορῶν ἅπαντα ὡς θεὸς καὶ κρίνων δικαίως. Τὸ δέ· ἐν πνεύματι κρίσεως ἐπὶ κρίσιν, ταύτην ἔχει τὴν διάνοιαν· καὶ τότε φησὶν ἔκρινεν αὐτοὺς σῶσαι καὶ πάλιν αὐτοὺς ἑτέρᾳ κρίσει φυλάττει. 7Οὗτοι γὰρ οἴνῳ πεπλανημένοι εἰσίν· ἐπλανήθησαν διὰ τὸ σίκερα, ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸ σίκερα, κατεπόθησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς μέθης τοῦ σίκερα, ἐπλανήθησαν· τοῦτό ἐστι τὸ φάσμα. Τρυφὴν αὐτῶν καὶ ἀσωτίαν κατηγορεῖ καὶ ταύταις τῶν ἄλλων κακῶν ἀνατίθησι τὴν αἰτίαν· τὸ δὲ καὶ χαλεπώτατον, ὅτι καὶ οἱ ἱερεῖς ταύτην τὴν νόσον ἐδέξαντο. Προφήτας δὲ τοὺς ψευδοπροφήτας καλεῖ. Σίκερα δὲ οἱ Λοιποὶ Ἑρμηνευ ταὶ «μέθυσμα» εἰρήκασιν· ἐγὼ δὲ οὐχ ἡγοῦμαι τὸ ἀπὸ τῶν φοινίκων κατασκευαζόμενον πό μα νῦν ὀνομάζεσθαι σίκερα ἀλλὰ τὸν ἡδύσμασι κεκραμένον οἶνον. Τὸ μέντοι φάσμα οὕτως ὁ Θεοδοτίων ἡρμήνευσεν· «Ἠγνόησαν ἐν τῇ μέθῃ, ἠσωτεύθησαν ὑπερόγκως»· καὶ οἱ Ἑβδομήκοντα δὲ διὰ τοῦ φάσματος παραπ αίοντας αὐτοὺς ἀπὸ τῆς μέθης ὑπέδειξαν. 8Ἀρὰ ἔδεται τὴν βουλὴν ταύτην· αὕτη γὰρ ἡ βουλὴ ἕνεκεν πλεονεξίας. Βουλὴν τὴν αἵρεσιν τῆς γνώμης ἐκάλεσεν, ἀρὰν δὲ τὴν τιμωρίαν. 9Τίνι ἀνηγγείλαμεν κακὰ ἢ τίνι |134 b| ἀνηγγείλαμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγγελίαν; Οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπε σπασμένοι ἀπὸ μαστοῦ.
10Θλῖψις ἐπὶ θλῖψιν, προσδέχου <προσδέχου> ἔτι μικρόν· ἐλπὶς ἐπ' ἐλπίδι ἔτι μικρόν.
Ἐπειδὴ οἱ διακρίνειν εἰδότες τῶν ἡμετέρων οὐκ ἀκούουσι θεσπισ μάτων, τοῖς ἄρτι
τοῦ γάλακτος ἀπαλλαγεῖσι τῶν κακῶν τὰς προρρήσεις προσφέρομεν. Τὸ δέ· ἔτι
μικρὸν ἔτι μικρόν, τὴν μετ' ὀλίγον ἐσομένην ἔφοδον τῶν πολεμίων ᾐνίξατο· τὸ δέ·
ἐλπὶς <ἐπ'> ἐλπίδι, τὴν ἐπάλληλον τῶν κακῶν προσδοκίαν σημαίνει. 11Διὰ
φαυλισμὸν χειλέων διὰ γλώσσης ἑτέρας λαλήσουσι τῷ λαῷ τούτῳ 12λέγοντες
αὐτοῖς· Τοῦτο ἀνάπαυμα τῷ πεινῶντι καὶ τοῦτο σύντριμμα, καὶ οὐκ ἤθελον ἀκούειν.
Γλῶσσαν ἑτέραν καλεῖ τὴν παραβολικὴν καὶ τροπικὴν τῶν προφητῶν διδασκαλίαν,
φαυλισμὸν δὲ χειλέων τοὺς παρ' αὐτῶν κατὰ τῶν προφητῶν γινομένους ψόγους.
Ἐπειδὴ γὰρ τὰ σαφῶς λεγόμενα διέπτυον, συγκε καλυμμένην αὐτοῖς καὶ
παραβολικὴν προφητείαν προσέφερον, ἵνα ἐρευνᾶν τὸ τῶν λεγομένων
ἀναγκαζόμενοι βάθος τὴν ἐντεῦθεν ὠφέλειαν καρπώσωνται. 13Καὶ ἔσται αὐτοῖς τὸ
λόγιον κυρίου· θλῖψις ἐπὶ θλῖψιν, ἐλπὶς ἐπ' ἐλπίδι ἔτι μικρὸν ἔτι μικρόν, ἵνα
πορευθῶσι καὶ πέσωσιν εἰς τὰ ὀπίσω καὶ συντριβήσονται καὶ κινδυνεύσουσι καὶ
ἁλώσονται καὶ πεσοῦνται. Ἐπειδὴ γὰρ οὐκ ἐβουλή θησάν τινα ὄνησιν ἀπὸ τῶν θείων
λογίων καρπώσασθαι, δρέψονται θλῖψιν ἐπὶ θλῖψιν καὶ κακῶν προσδοκίαν διηνεκῆ
καὶ τῶν προσδοκωμένων χαλεπῶν τὴν πεῖραν. Οἶμαι δὲ καὶ τοὺς λογισμοὺς αὐτῶν
τὸν προφητικὸν αἰνίττεσθαι λόγον· ἤλπιζον γὰρ ἀπαλλαγήσεσθαι τῶν κακῶν καὶ
ἔλεγον πρὸς ἀλλήλους· Ἔτι μικρὸν ἔτι μικρὸν καὶ λύσις ἔσται τῶν ἀλγεινῶν. Τοῦτο
δὲ καὶ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Οὐκ ἠθέλησαν ἀκοῦσαι, ἀλλ' ἐγένετο αὐτοῖς
ὁ λόγος κυρίου ἐντολὴ οὐκ ἐντολή, ἐντολὴ οὐκ ἐντολή, προσδοκία οὐ προσδοκία,
προσδοκία οὐ προσδοκία, μικρὸν ἔτι μικρόν.» Τὴν ἀπιστίαν αὐτῶν διὰ πάντων
ᾐνίξατο καὶ τὴν τῆς γνώμης διχόνοιαν· ποτὲ μὲν γὰρ τὰ θεῖα λόγια ὡς ἐντολὴν τοῦ
θεοῦ κατεδέχοντο, ποτὲ δὲ αὐτῶν διέπτυον ὡς οὐκ ὄντων θείων. 14Διὰ τοῦτο
ἀκούσατε λόγον κυρίου, ἄνδρες τεθλιμμένοι καὶ οἱ ἄρχοντες τοῦ λαοῦ τούτου ἐν
Ἱερουσαλήμ, 15ὅτι εἴπατε· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου καὶ μετὰ τοῦ
θανάτου συνθήκας. Συμφωνεῖ καὶ ταῦτα τοῖς προηρμηνευ μένοις· τὴν ἀλαζονείαν
γὰρ αὐτῶν καὶ τὴν ἄνοιαν διὰ τούτων ἐλέγχει· ἀεὶ γὰρ ἤλπιζον κρείττους ἔσεσθαι
τῶν δεινῶν. Ἀντὶ δὲ τοῦ· ἄνδρες τεθλιμμένοι, οἱ Λοιποὶ Ἑρμηνευταὶ «ἄνδρες
χλευασταὶ» τεθείκασιν· κατέπαιζον γὰρ τῶν διὰ τῶν προφητῶν προσφερομένων
αὐτοῖς ἀπειλῶν. Τῆς δὲ Ἱερουσαλὴμ οὐχ ὡς ἀληθῶς ἄρχοντας τοὺς τοῦ Ἐφραὶμ
ὀνομάζει, ἀλλ' ὡς τοῦτο ἔσεσθαι φαντασθέντας· τοῦτο γὰρ καὶ ἐν τοῖς πρόσθεν ὁ
προφήτης ἐδίδαξεν, ὅτι τὴν Δαυιτικὴν βασιλείαν ἐβουλεύσαντο καταλῦσαι καὶ τὸν
υἱὸν Ταβεὴλ βασιλεῦσαι καὶ ὑπηκόους αὐτοὺς ἑαυτῶν καταστῆσαι. Καταιγὶς
φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν γὰρ ψεῦδος τὴν ἐλπίδα
ἡμῶν καὶ τῷ ψεύδει σκεπασθησόμεθα. Ἀνδρῶν ἐστι μεμηνότων ταῦτα τὰ ῥήματα καὶ
κατ' αὐτῆς τοῦ θεοῦ τῆς δίκης θρασυνο μένων. 16Διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός·
Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογωνιαῖον
ἔντιμον θεμέλιον εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.
Ἀνοίας ἐσχάτης εἶναι νομίζω τὸ ταύτην τῷ Ἐζεκίᾳ προσαρμόζειν τὴν προφητείαν·
εἰς ἄνθρωπον γὰρ πιστεύειν οἱ θεῖοι ἀπαγορεύουσι λόγοι· «Μὴ πεποίθατε» γάρ φησιν
«ἐπὶ ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστι σωτηρία», καί· «Ἐπικατάρατος
ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον», καί· «Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἢ
πεποιθέναι ἐπ' ἄνθρω πον», ἐνταῦθα δὲ ὁ προφητικὸς ἐπαινεῖ λόγος τὸν εἰς τὸν
λίθον τοῦτον πιστεύοντα. Ἀκρογωνιαῖος δὲ λίθος ὁ δεσπότης Χριστὸς «ὁ ποιήσας τὰ
ἀμφότερα ἕν», ὁ ἐν αὐτῷ τοὺς ἐξ ἐθνῶν καὶ τοὺς ἐξ Ἰσραὴλ συνάψας καὶ ἕνα λαὸν
ἀποφήνας. Αὐτὸς δὲ καὶ θεμέλιος κέκληται· «Θεμέλιον γάρ» φησιν «οὐδεὶς ἄλλον
δύναται θεῖναι παρὰ τὸ κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.» Ἐπειδὴ γὰρ ἠπείλουν οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν δέκα φυλῶν καταλύειν τὴν Δαυιτικὴν βασι λείαν, τὸ ἄμαχον αὐτῆς ὑποδείκνυσι καὶ τὸν ἐκεῖθεν δίχα χειρῶν τμηθησόμενον προθεσπί ζει λίθον, ὃς ἐγένετο ὄρος μέγα καὶ τὴν οἰκουμένην ἐκάλυψεν. 17Καὶ θήσω κρίσιν εἰς ἐλπίδα, τὴν δὲ ἐλεημοσύνην μου εἰς σταθμούς. Τοῦτο ὁ Σύμμαχος οὕτω ἡρμήνευσεν· «Καὶ θήσω κρίμα εἰς σπαρτίον καὶ δικαιοσύνην εἰς διαβήτην.» Ἀντὶ τοῦ· Δικαίαν κατὰ τῶν ἀντιλεγόντων ἐξοίσω ψῆφον. Καὶ γὰρ ὁ |135 a| διαβήτης ἴσην δείκνυσι τῶν λίθων τὴν ἐπιφάνειαν, καὶ ἡ σπάρτος διευθύνει τῆς οἰκο δομίας τοὺς σταθμούς. Διὰ τούτων τοίνυν ἔδειξε τῆς ψήφου τὸ δίκαιον. Ἐντεῦθεν καὶ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν νοήσωμεν· ἐλ πί δα φησὶ δικαίαν κρίσιν καὶ ἐλεημοσύνην τῷ δικαίῳ συγκεκραμένην. Καὶ γὰρ ὁ τῆς θύρας σταθμὸς διὰ τῶν οἰκο δομικῶν ὀργάνων ἐδέξατο τὴν εὐθύτητα. Καὶ οἱ πεποιθότες μάτην ψευδεῖ· ὅτι οὐ μὴ παρέλθῃ ἡμᾶς καταιγίς, 18μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἐλπὶς ὑμῶν πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ· καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα· 19ὅταν ἐπέλθῃ, λήψεται ὑμᾶς. Καὶ ταῦτα οὕτως ὁ Σύμμαχος τέθεικεν· «Καὶ ὁ προμαχὼν ὁ διὰ τὴν χάλαζαν, ἡ πεποί θησις ἡ ψευδὴς καὶ ἡ σκέπη ἡ διὰ τὸ ὕδωρ ἐπικλύσει· καὶ ἐξαλειφθήσεται ἡ συνθήκη ὑμῶν ἡ πρὸς τὸν θάνατον καὶ ἡ προσφυγὴ ὑμῶν ἡ πρὸς τὸν ᾅδην.» Οὐδὲν ὑμᾶς φησιν ἀπαλλάξει τῶν ἐπιφ ερο μένων δεινῶν, ἀλλ' ἐλεγχθήσεται τῆς ἐλπίδος ὑμῶν τὸ μάταιον. Ὅτι πρωὶ πρωὶ παρελεύσεται, ἡμέρας καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά. Πρωὶ πρωὶ τὴν ταχύτητα λέγει καὶ προλέγει τὰ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐπενεχθησόμενα αὐτοῖς κακά. Μάθετε ἀκούειν 20στενοχωρούμενοι. Δι' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων μετὰ κατ ανύ ξεως τὸν προφητικὸν ἐπαι νεῖ<ν> λόγον. Οὐ δυνάμεθα μάχεσθαι, αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ἡμᾶς συναχθῆναι. 21Ὥσπερ ἐν τῷ ὄρει τῶν διακοπῶν ἀναστήσεται κύριος <ὡς> ἐν τῇ φάραγγι Γαβαών, μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργα. Ἱστορίας ἡμᾶς ἀνέμνησεν· τοῦ μακαρίου γὰρ Ἰησοῦ τοῦ Ναυὴ στρατη γοῦντος καὶ τοῖς πέντε βασι λεῦσι πολεμοῦντος, οἳ κατὰ τῶν Γαβαωνιτῶν ἐπεστράτευσαν, ἐπήμυνε προφανῶς καὶ αὐτὸς ὁ τῶν ὅλων θεὸς νι φάδας λίθων χαλάζης ἄνωθεν κατ' αὐτῶν σφενδονήσας. Οὕτως φησὶ καὶ νῦν δείξει τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν. Ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται, καὶ ἡ πικρία αὐτοῦ ἀλλοτρία. Οὐκέτι γὰρ ὑμῶν ὡς οἰκείου προμηθεῖται λαοῦ, ἀλλ' ὡς κατ' ἐκείνων τῶν παντάπασιν αὐτὸν ἠγνοη κότων χρήσεται καθ' ὑμῶν τῷ θυμῷ. 22Καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μηδὲ ἰσχύσουσιν ὑμῶν οἱ δεσμοί· διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ κυρίου Σαβαὼθ ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν. Δεσμοὺς τὸ θράσος ἐκάλεσεν. Παρεγγυᾷ δὲ αὐτοῖς μὴ εὐφραίνεσθαι μηδὲ τῇ οἰκείᾳ δυνάμει θαρρεῖν· ἃ γὰρ προεῖπον, παρὰ τοῦ τῶν ὅλων θεοῦ ἀκήκοα· ἀψευδὴς δὲ ὁ θεῖος λόγος. 23Ἐνωτίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου, προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου. 24Μὴ ὅλην τὴν ἡμέραν μέλλει ὁ ἄνθρωπος ὁ ἀροτριῶν ἀροτριᾶν; ἢ σπόρον προετοιμάσει πρὸ τοῦ ἐργάσαι τὴν γῆν αὐτοῦ; 25Καὶ ὅταν αὐτῆς ὁμαλίσῃ τὸ πρόσωπον, τότε σπείρει μικρὸν μελάνθιον καὶ κύμινον, καὶ πάλιν σπείρει πυρὸν καὶ κριθὴν καὶ κέγχρον καὶ ζειὰν ἐν τοῖς ὁρίοις σου. Ἀπειλήσας ταῖς δέκα φυλαῖς τὴν τιμω ρίαν πρὸς τοὺς τὴν Ἱερουσαλὴμ κατοικοῦντας μεταφέρει τὸν λόγον καὶ παρακελεύεται αὐτοῖς προθύμως τῆς προ φ ητείας ἀκούειν καὶ δείκνυσι τὸν μὲν γεωργὸν οὐκ ἀεὶ γεωργοῦντα αὐτῶν τὰς ψυχὰς καὶ κατασπείροντα. Με λάν θιον καὶ κύμινον αὐτοὺς καλεῖ, τὰ δὲ ἄλλα σπέρματα τοὺς ἄλλους ἀνθρώπους. Ὥσπερ γὰρ ὁ ἐκ πυρῶν καὶ κριθῶν καὶ ζειῶν ἄρτος τὸ κύμινον δεχόμενος καὶ τὸ μελάνθιον ἡδίων γίνεται, οὕτω διὰ τούτων τοῖς ἄλλοις ἔθνεσιν ὁ θεὸς τὴν ὠφέλειαν ἐπόριζεν. Διὰ τοῦτο καὶ τοὺς ἱεροὺς ἀποστό λους ἅλας ὠνόμασεν, δηλονότι τοὺς ἄλλους ἀνθρώπους σῖτον κ εκληκώς . Τοῦτο δὲ καὶ ἐν τοῖς ἑφεξῆς διδάσκει σαφέστερον· 26Καὶ παιδευθήσῃ κρίματι θεοῦ καὶ εὐφραν θήσῃ. Σέ φησι πατρικῶς, παιδεύσω, οὐ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δικαστικῶς κολάσω. 27Οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, <οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον, ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον,> τὸ δὲ κύμινον βακτηρίᾳ, 28καὶ μετὰ ἄρτου βρωθήσεται. Ὑμᾶς φησι δίκην μελανθίου καὶ κυμίνου ῥάβδῳ παίω, τοὺς δὲ Ἀσσυρίους ὡς ζειὰς καὶ κριθὰς πρίονι δι' ἁμάξης λεπτυνῶ. Οὐ γὰρ εἰς τὸν αἰῶνα ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπα τήσει ὑμᾶς. Ἀντὶ τοῦ· ὥσπερ τοὺς Ἀσσυρίους . Ταύτης δὲ ἀπέλαυον τῆς μακροθυμίας Ἰουδαῖοι, ἡνίκα ἦσαν μελάν θιον καὶ κύμινον καὶ «ἄμπελος εὐκληματοῦσα». Ἐπειδὴ δὲ ἀντὶ τούτων ἀκάνθας ἐβλάστησαν, ταῖς Ῥωμαϊκαῖς καὶ αὐτοὶ παρ εβλήθησαν ἁ μάξαις. Ὁ μέντοι προφήτης, ὥσπερ ἐπὶ τῆς τιμωρίας τῶν δέκα φυλῶν εἴρηκε παρ ὰ τοῦ θεοῦ τῶν ὅλων δεδέχθαι τὴν ψῆφον, οὕτω κἀνταῦθα· 29Καὶ ταῦτα παρὰ κυρίου Σαβαὼθ ἐξῆλθε τὰ τέρατα. Εἶτα συμβουλὴν ἐπάγει· Βουλεύσασθε, ὑψώσατε ματαίαν παράκλησιν. Τοῦτο δὲ ὁ Σύμμαχος οὕτω τέθεικεν· «Καὶ τοῦτο παρὰ κυρίου δυνάμεων ἐξῆλθε, παρεδόξασε βουλήν, ἐμεγάλυνε σωτηρίαν.» Παρὰ δόξαν φησὶν ἔδειξεν ἀγαθότητα καὶ παρ' ἀξίαν ἡμῖν δέδωκε σωτηρίαν. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα |135 b| αἰνίττεται ὁ λόγος τὴν ἐσομένην αὐτῶν πανωλεθρίαν· οὐκ ἀνεχόμενοι γὰρ τῆς προφητικῆς διδασ καλί ας ἀλλὰ τὴν ἐναντίαν ὁδεύσαντες μάτην ἐψυχαγωγοῦντο ταῖς ἀγαθαῖς ὑποσχέσεσιν. Ἐφ' ἑτέραν ἐν τεῦθεν ὁ προφήτης πρόρρησιν μεταβαίνει καὶ τῆς Μωαβίτιδος προλέγει τὰς συμφοράς· 291Οὐαὶ Ἀριὴλ Ἀριὴλ πόλις ἣν Δαυὶδ ἐπολέμησεν. Ἀριὴλ ἡἈρεόπολις καλεῖται· τῆς δὲ Μωαβίτιδός ἐστιν αὕτη πόλ ις ἐπίσημος. Συναγάγετε γενήματα ἐνιαυτὸν ἐπὶ ἐνιαυ τόν. Ἑορταὶ συγκρουσθήσονται· φάγεσθε γὰρ σὺν Μωάβ. 2Ἐκθλίψω δὲ Ἀριήλ. Μωὰβ τὴν Χαραχμωβὰν καλεῖ. Προμηνύει δὲ ὁ λόγος τὴν ἐσομένην πολιορκίαν. Ἐν ταύταις γὰρ χρὴ διαφερόντως ἔνδον ἔχειν τῶν περιβόλων τῶν ἀναγκαίων τὴν χρείαν. Καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦ τος ἐμοί. 3Καὶ κυκλώσω ὡς Δαυὶδ ἐπὶ σὲ καὶ βαλῶ ἐπὶ σὲ χάρακα καὶ θήσω ἐπὶ σὲ πύργους. Φασί τινες μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοὺς Ἰουδαίους σύμμαχον ἔχοντας τὴν θείαν ῥοπὴν καταλῦσαι τοὺς Μω αβίτ ας. Καὶ ὁ προφη τικὸς δὲ τοῦτο αἰνίττεται λόγος· Ἔσται γὰρ αὐτῆς φησιν ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί, τουτέστιν εἰς τὸν ἐμὸν κομισθή σεται ναόν. 4Καὶ ταπεινωθήσονται εἰς τὴν γῆν οἱ λόγοι σου κάτω, καὶ ταπεινωθήσῃ· εἰς τὴν γῆν λαλήσεις, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου καταδύσονται, καὶ ἔσται ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει. Ἐπειδὴ βλάσφημα κατὰ τοῦ θεοῦ τῶν ὅλων ἐφθέγγοντο–τὸν Χαμὼς γὰρ ἐνόμι ζον κρείττονα καὶ διὰ τοῦτο κατεγέλων τῶν Ἰουδαίων τὸν τῶν ὅλων προσκυ νούντων θεόν–, ἀπειλεῖ αὐτοῖς δουλείαν καὶ δει λίαν καὶ ἀφάνειαν. Τοὺς δὲ ἐκ τῆς γῆς φωνοῦντας τοὺς δαίμονας λέγει τοὺς ἐν τύπῳ νεκρῶν φαινομένους καὶ φαι ἀ φθεγγο μένους. Τούτοις ἀπεικάζει τῶν Μωαβιτῶν τὴν φωνήν. Ἀπεικάζει δὲ αὐτῶν καὶ τὴν δυναστείαν καὶ τὴν εὐπορίαν κονιορτῷ τοίχου καταλυομένου καὶ κόνει ὑπὸ λαίλαπος φερομένῃ. 5Καὶ ἔσται ὡς στιγμὴ 6παρὰ κυρίου Σαβαώθ. Ἐν ἀκαρεῖ φησι καὶ συντόμως τὸν ὄλεθρον δέξεται. Ἐπισκοπὴ γὰρ ἔσται αὐτῆς μετὰ βροντῆς καὶ σεισμοῦ καὶ φωνῆς μεγάλης καὶ καταιγίδος φερομένης καὶ φλογὸς πυρὸς κατεσθιούσης. Τοῦτο καὶ κατ' ἄλλων ἐθνῶν πεποίηκεν ὁ θεός, καὶ σαφῶς ἡμᾶς αἱ παλαιαὶ διδάσκουσιν ἱστορίαι. Εἶτα ὀνείρῳ ἀπ εικάζει τῶν ἐθνῶν ἁπάντων τὴν δυνα στείαν τῶν κατὰ τῆς Ἱερουσαλὴμ στρατευσάντων· 8Ἔσονται γάρ φησιν ὡς οἱ ἐν τῷ ὕπνῳ πίνοντες καὶ ἐσθίοντες, καὶ ἐξαναστάντων μάταιον τὸ ἐνύπνιον αὐτῶν· καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος ἁπάντων τῶν ἐθνῶν, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ τὸ ὄρος Σιών. Συνάπτει τῇ κατὰ τῶν Μω αβιτ ῶν προρρήσει καὶ τὰ κατὰ τοῦ Σενναχηρὶμ συμβεβηκότα· καὶ γὰρ ἐκεῖνος ἀπόνως ἐλπίσας ἀνά στ ατον ποιήσειν τὴν Ἱερουσαλὴμ οὐ μόνον οὐ δέδρακεν ἅπερ ἤλπισεν ἀλλὰ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέπονθεν ἅπερ οὐκ ἤλπισεν· καὶ ἐῴκει οὕτω ς τῷ πεινῶντι μὲν καὶ διψῶντι, ὄναρ δὲ ἐσθίοντι καὶ πίνοντι, μετὰ δὲ τὴν ἐγρήγορσιν τῆς ἀπά της α ἰσθα νομένῳ· οὕτω γὰρ κἀκεῖνος μετὰ τὸν ὄλεθρον τῶν πολλῶν μυριάδων αἴσθησιν τῆς οἰκείας ἔσχεν ἀσθενείας. 9Θαυμάσατε καὶ ἔκστητε καὶ ἀπατήθητε καὶ ὑπεραπατήθητε καὶ μεθύσθητε οὐκ ἀπὸ οἴνου καὶ κραιπαλήσατε οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου κινούμενοι, 10ὅτι πεπότικεν ὑμᾶς κύριος πνεῦμα κατανύξεως καὶ καμμύσει τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ τῶν ἀρχόντων ὑμῶν καὶ τῶν προφητῶν ὑμῶν τῶν ὁρώντων τὰ κρυπτά. Ἀντὶ τοῦ κατανύξεως «καρώσεως» μὲν ὁ Σύμμαχος τέθεικεν, ὁ δὲ Θεοδοτίων «ἐκστάσεως», ὁ δὲ Ἀκύλας «καταφορᾶς». Τὸν ὄλεθρον τοῦ Ἀσσυρίου θαυμάσαντες Ἰουδαῖοι ἤλπισαν ἀεὶ κρείττους ἔσεσθαι τῶν πολεμούν των. Ταύτην καλεῖ ὁ προφητικὸς λόγος ἀπάτην. Ὁ δὲ θεὸς αὐτοὺς λέγεται καρῶσαι ἢ ἐκστῆσαι, παρὰ πᾶσαν ἐλπίδα τὴν παράδοξον αὐτοῖς ἐκείνην δωρησάμενος σωτηρίαν. Ἔδει δὲ αὐτοὺς συνειδέναι ὡς φειδοῦς τη νι καῦτα παρέσχον ἀφορμὴν τῇ θείᾳ φιλανθρωπίᾳ μεταμελείᾳ χρησάμενοι. Μετὰ δὲ ταῦτα τὴν ὑπερ βάλλουσαν ἀσπα σάμενοι πονηρίαν οὐκ εἰκότως ἐθάρρουν τῇ θείᾳ φιλανθρωπίᾳ. Ἑαυτοὺς τοίνυν ἠ πάτησαν τῆς θείας οἰκονομίας τὴν σοφίαν οὐκ ἐθελήσαντες συνιδεῖν. Οὗ δὴ χάριν φησίν· 11Καὶ ἔσται ὑμῖν πάντα τὰ ῥήματα ταῦτα ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα λέγοντες αὐτῷ· Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ· Οὐ δύναμαι ἀναγνῶναι, |136 a| ἐσφράγισται γάρ· 12καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα καὶ ἐροῦσιν αὐτῷ· Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ· Οὐ δύναμαι ἀναγνῶναι, οὐκ ἐπίσταμαι γράμματα. Τὸ ἀπειθὲς αὐτῶν καὶ ἀντίλο γον καὶ ἀσύνετον διὰ τούτων τῶν λόγων ἐδήλωσεν. Προλέγει δὲ ὅμως καὶ ἕτερόν τι ὁ θεῖος λόγος. Πάλαι γὰρ τὰς περὶ τοῦ κυρίου προρρήσεις οὔτε Ἰουδαῖοι συνορᾶν ἠδύναντο κεκαλυμμένας καὶ οἱονεὶ σφραγίδων ἐντὸς ἀποκειμένας οὔτε τὰ ἔθνη τὰ προφητικὰ μὴ ἐπιστάμενα γράμματα· μετὰ μέντοι τὴν δεσποτικὴν ἐπιφάνειαν ἀφαιρεθεισῶν τῶν σφραγίδων–τὰ γὰρ πράγματα μαρτυρεῖ τοῖς λόγοις– καὶ πλεῖστοι ἐξ Ἰουδαίων τῶν προρρήσεων ἔμαθον τὴν διάνοιαν καὶ τὰ ἔθνη μεμάθηκε τῆς εὐσεβείας τὰ γράμματα καὶ ἀναγινώσκουσι τὸ βιβλίον, ὃ τοῖς ἀπιστοῦσι τῶν Ἰουδαίων ἐσφραγισμένον ἔτι μεμένηκεν. Πρῶτος δὲ αὐτὸς ὁ κύριος τὰς τῆς προφητ είας περιεῖλε σφραγῖδας· εἰσελ θὼν γὰρ εἰς τὴν συναγωγὴν καὶ λαβὼν τὸν προφήτην Ἡσαΐαν καὶ ἀναγνούς· «Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν» καὶ τὰ ἑξῆς ἐπήγαγεν· «Σήμερον ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.» Ὁ μέντοι προφήτης, μᾶλλον δὲ ὁ τούτου θεός, καὶ ἑτέραν αὐτοῖς ἐπάγει κατηγορίαν· 13Εἶπε γάρ φησι κύριος· Ἐγγίζει μοι ὁ λαὸς οὗτος, τῷ στόματι αὐτῶν καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων. Καὶ ταύτης τῆς μαρτυρίας ὁ κύριος ἐμνημόνευσε τῶν Φαρισαίων κατηγορῶν καὶ διδάσκων ὡς τοῦ θείου νόμου καταφρονοῦντες ἰδίαις ἐχρῶντο νομοθεσίαις. Καὶ ὁ προφήτης δὲ Ἱερεμίας κατηγορεῖ αὐτῶν λέγων· «Ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν» <καὶ ὁ μακάριος Δαυίδ· «Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν> καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.» Αἰνίττεται δὲ διὰ τούτων τῆς ἀρνήσεως τὴν ὀξύτητα· ὥσπερ γὰρ ἡ γλῶσσα πελάζει τοῖς χείλεσιν, οὕτως φησὶ τῇ ὁμολογίᾳ αὐτῶν ἡ ἄρνησις. 14Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον καὶ μεταθήσω αὐτοὺς μεταθέσει. Οὐ γὰρ μόνον εἰς Βαβυλῶνα ἀπάξω, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν οἰκουμένην διασπερῶ. Καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν αὐτοῦ καὶ τὴν σύνεσιν τῶν <συνετῶν> αὐτοῦ κρύψω. Φροῦδα γὰρ τὰ τῶν Φαρισαίων καὶ γραμματέων· ἀνοίας γὰρ ἦν πλήρης ἡ δοκοῦσα σοφία. 15Οὐαὶ τοῖς βαθέως ποιοῦσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουλὴν καὶ οὐ διὰ κυρίου, οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσιν· Τίς ἡμᾶς ἑώρακε καὶ τίς ἡμᾶς γνώσεται, 16οἷα ἡμεῖς ποιοῦμεν; Ταῦτα καὶ κοινὴν ἔχει κατηγορίαν κατὰ τῶν οἰομένων λήσειν τὸν τῶν ὅλων ἔφορον ὀφ θαλμὸν καὶ ἰδίαν γραμματέων καὶ Φαρισαίων, οἳ δόλῳ χρησάμενοι συνεργῷ πολλὰς ἐρωτήσεις τῷ σωτῆρι προσέ φερον πειρώμενοι, ᾗ φησιν ὁ εὐαγγελιστής, παγιδεῦσαι αὐτὸν ἐν λόγῳ, ἀλλὰ καὶ συμβούλιον πολλάκις ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. Ἀλλ' ὅμως καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασι τοῖς οἰομένοις ἀγνοεῖν τὸν θεὸν τὰ κρύβδην γινόμενα τὸ πανάγιον πνεῦμα διὰ τοῦ προφήτου φησίν· Οὐχ ὡς ὁ πηλὸς τοῦ κεραμέως λογισθήσεσθε; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Οὐ συνετῶς με ἔπλασας; καὶ τὸ ποίημα τῷ ποιήσαντι· Οὐ συνετῶς με ἐποίησας; Πῶς οἷόν τέ φησι τὸν κεραμέα τὸν πηλὸν ἀγνοεῖν; Εἰ δὲ ἐκεῖνος οἶδεν ὁ διαπλά στης, πόσῳ μᾶλλον ἐγὼ τοῦ κεραμέως ὁ ποιητής. Ἀλλ' ὁ μὲν πηλὸς οὐκ ἀντιλέγει τῷ κεραμεῖ οὐδὲ τῆς ἐκείνου ἐργασίας κα τηγορεῖ–καὶ ταῦτα τὴν αὐτὴν ἐκείνῳ φύσιν ἔχων· ἐκ πηλοῦ γὰρ κἀκεῖνος–, ὑμεῖς δὲ ἀντιτείν ετε τῷ θεῷ . Μάθετε τοίνυν τὴν ἐντεῦθεν ὑμῖν ἐσομένην βλάβην· ὥσπερ γὰρ ὁ κεραμεὺς τὰ ἤδη πλασθέντα καὶ μηδέπω πυρὶ ὁμιλήσαντα ἀνασκευάσαι δύναται καὶ πάλιν ἕτερα ἀντ' ἐκείνων κατασκευάσαι, οὕτως ἐγὼ μὲν ὑμᾶς ἀπώσομαι, τὰ δὲ ἔθνη προσλήψομαι καὶ τὴν ἐν ὑμῖν ἀνθοῦσαν πνευματικὴν χάριν εἰς ἅπασαν τῶν ἀνθρώπων μεταθήσω τὴν φύσιν. Τοῦτο γὰρ διὰ τῶν ἑξῆς δεδήλωκεν· 17Οὐχὶ ἔτι μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος ὡς τὸ ὄρος τὸ Χερμὲλ καὶ ὁ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται; Λίβανον τὰ ἔθνη καλεῖ διὰ τὴν προτέραν ἀσέβειαν, καὶ αὐτὸ δὲ τὸ ὄρος οὐκ Ἰουδαίων ἦν ἀλλ' ἐθνῶν. Χερμὲλ δὲ τὸν Κάρμηλον· ὄρος δὲ τοῦτο πολυφόρον καὶ πολύκαρπον ἐν τῇ τοῦ Ἰσραὴλ κείμενον χώρᾳ. Τροπικῶς τοίνυν διδάσκει τὴν τῶν ἐθνῶν καὶ τῶν Ἰουδαίων |136 b| ἐναλλαγήν· δοθήσεται γάρ φησι τῷ Λιβάνῳ–τουτέστι τοῖς ἔθνεσιν– ἡ τοῦ Καρμήλου –τουτέστι τῶν Ἰουδαίων– εὐ καρπία, ὁ δὲ Κάρμηλος– τουτέστιν Ἰουδαῖοι–δρυμὸς ἔσονται ἄκαρπος. Καὶ ὁρῶμεν τὴν τῆς προφητείας ἀλήθειαν· καὶ γὰρ καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὴν ἀκαρπίαν μιμοῦνται δρυμόν. 18Καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου. Οἱ μὴ εἰδότες γράμματα, οἱ ἐξ ἐθνῶν πεπιστευκότες, οἱ μὴ δυνάμενοι διαγνῶναι τὸν προφητικὸν χαρακτῆρα, οὗτοι τούτων ἐπακούσονται προθύμως τῶν λόγων. Καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ ὁμίχλῃ ὀφθαλμοὶ τυφλῶν ὄψονται. Ἀληθῶς ἦσαν ἐν σκότῳ καὶ ὁμίχλῃ καθήμενοι τὴν κτίσιν ὁρῶντες καὶ τὸν ταύτης ποιητὴν ἀγνοοῦντες, ἀλλ' ὅμως καὶ οὗτοί φησιν ὄψονται τῆς ἀληθείας τὸ φῶς. 19Καὶ ἀγαλλιά σονται πτωχοὶ διὰ κύριον ἐν εὐφροσύνῃ. Τοὺς αὐτοὺς καὶ πτωχοὺς ὀνομάζει τοῦ παναγίου πνεύματος τὴν εὐπορίαν οὐκ ἐσχηκότας. Καὶ οἱ ἀπελπισμένοι τῶν ἀνθρώπων πλη σθήσονται εὐφροσύνης. Ἀπεγνωσμένοι γὰρ ὑπὸ Ἰουδαίων παρὰ πᾶσαν ἐλπίδα τῆς σωτηρίας ἀπέλαυσαν. 20Ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ 21καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ. Τῶν ἐθνῶν προθεσπίσας τὴν σωτηρίαν προλέγει καὶ τῶν ἀπιστησάντων Ἰουδαίων τὴν τιμωρίαν. Διαφερόντως δὲ αὐτῶν τῶν ἀρχιερέων καὶ γραμματέων κατηγορεῖ· οὗτοι γὰρ ἁμαρτάνειν τῇ γλώττῃ τοὺς ὑπηκόους ἠνάγκαζον· καὶ μάρτυς ὁ εὐαγγελιστὴς διδάσκων ὡς ἐκέλευσαν ἅπαντας τοὺς ὁμολογοῦντας τὸν σωτῆρα Χριστὸν ἀποσυναγώγους γενέσθαι. Πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσι καὶ ἐπλαγίασαν ἐν ἀδίκοις δίκαιον. Οὕτω φησὶν ἔφευγον τοὺς μετὰ παρρησίας ἐλέγχοντας, ἐκκλίνοντες λίθον ἐν μέ σῳ κείμενον καὶ προσπ<τ>αίειν παρασκευάζοντα. Καὶ μέντοι καὶ τοῖς ἀπατηλοῖς αὐτῶν λόγοις τοὺς ἁπλότητι συζῶντας ἀπέτρ ε πον τῆς εὐθείας ὁδοῦ. 22Διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ. Πολλῶν ἐ γένετο παίδων Ἀβραὰμ ὁ πατριάρχης πατήρ· καὶ γὰρ Ἰσμαὴλ ἐξ Ἀβραὰμ καὶ οἱ ἐκ τῆς Ῥεύμ ας τεχθέντες· καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέντοι καὶ ὁ Ἠσαῦ ἐκεῖθεν κατάγει τὸ γένος. Αἰνίττεται τοίνυν ὁ λόγος τὴν τοῦ θεοῦ εὐεργεσίαν καὶ ὅτι οὐ τῇ φύσει προσέχει ὁ δίκαιος κριτὴς ἀλλὰ πίστιν ζητεῖ. Εἰ γὰρ τοῦ Ἀβραάμ φησιν ἠγά πων τὸ γένος, πάντας ἂν τοὺς ἐξ Ἀβραὰμ τῆς ἴσης κηδεμονίας ἠξίωσα· ἐπειδὴ δὲ ἀρετὴν ζητ ῶ , προτετίμηκα τῶν ἄλλων τὸν Ἰακώβ. Τοῦτον δὲ ὑμεῖς ῥίζαν αὐχεῖτε τοῦ γένους. Εἶτα διδάσκει ὁ προφήτης, τίνα τοῦ γένους εἴρηκεν· Οὐ νῦν αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον αὐτοῦ μεταβαλεῖ· 23ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου καὶ ἁγιάζουσι τὸν ἅγιον τοῦ Ἰακὼβ καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. 24Καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην. Ἰα κὼ β τοὺς ἐξ Ἰακὼβ καλεῖ. Τούτων δὲ ἀναίδειαν κατηγορεῖ καὶ διδάσκει ὡς πολλὴν δεξάμενοι διδα σκαλ ίαν οὐκ ἐνετράπησαν, μετὰ δὲ τὰς συμφορὰς τὴν ὠφέλειαν ἐδέξαντο· καὶ γὰρ μετὰ τὴν ἀπὸ τῆς Βα βυλῶνος ἐπάνοδον ἀπέστησαν τῆς περὶ τὰ εἴδωλα πλάνης. Ἁρμόττει δὲ κυρίως ἡ προφητεία τοῖς ἐξ αὐ τῶν εἰς τὸν σωτῆρα πεπιστευκόσι Χριστόν· οὗτοι γὰρ ἀληθῶς πρῶτον μὲν ἐγόγγυσαν, ὕστερον δὲ ἐπίστευσα ν. Ἐγόγγυσαν γάρ φησιν «Ἰουδαῖοι λέγοντες· Πῶς δύναται ἡμῖν οὗτος δοῦναι τὴν σάρκα φαγεῖν;» Οἱ δὲ ἐξ αὐτῶν ὕστερον πιστεύσαντες τῆς σωτηρίας ἀπέλαυσαν. Καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην· ἀντὶ γὰρ τῆς βλασφημίας ὑμνῳδίαν προσφέρουσιν. [Εντεῦ θεν μετα φέρει τὸν λόγ ον εἰς Αἴγυπτον. Τῆς γὰρ Ἱερουσαλὴμ ἐμπρησθείσης καὶ τῶν πλείστων ἀπαχθέντων δορυα λώτων, οἱ λοιποὶ διέφυγον τῶν πολεμίων τὰς χεῖρας <καὶ> κατ' αὐτῶν ἠθροίσθησαν. Ναβουζαρδὰν δὲ τού τοις ὁ ἀρχιμ άγειρος ἄρχοντα ἐδεδώκει τὸν Γοδολίαν. Τοῦτον ὁ Ἰσμαὴλ ἀνεῖ λε τῆς ἡγεμονίας ἐπιθυμή σας. Δείσαντες οὖν οἱ λοιποὶ φυγεῖν εἰς Αἴγυπτον ἠβουλήθησαν. Τούτους ὁ προ φήτης Ἱερε μίας πολλοῖς χρώμενος λόγοις ἐπισχεῖν ἐπειράθη, ἀλλὰ τῆς ἀπειθοῦς αὐτῶν καὶ ἀτε ράμονος οὐ περιεγένετο γνώμης· κατέλαβον γὰρ τὴν Αἴγυπτον. Τούτοις ὁ θεὸς διὰ τοῦ προ φήτου λέγει · 301Οὐαὶ τέκνα ἀποστάται. Καὶ καλεῖ τέκνα τοὺς πατέρα καλεῖν αὐτὸν οὐκ ἐθέλοντας καὶ τούτους θρηνεῖ φιλόστοργον μητέρα μιμούμενος· θρῆνος γάρ ἐστι τὸ οὐαί. Ἐποιήσατε βουλὴν καὶ |137 a| οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου τοῦ προσθεῖναι ἁμαρτίας ἐπὶ ἁμαρτίαις. Οὐ κ ἐλάλησε γὰρ αὐτοῖς διὰ τοῦ προφήτου τὸ πανάγιον πνεῦμα, αὐτοὶ δὲ βλασφήμοις κατὰ τοῦ θεοῦ τῶν ὅλων ἐχρήσαντο λόγοις καὶ τετολμήκασιν εἰπεῖν ὡς, ἐξ οὗ τῆς τῶν εἰδώλων ἀπέστη σαν θεραπείας, ταῖς παντοδαπαῖς περιέπεσον συμφοραῖς. 2Οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν τοῦ βοη<θη>θῆναι ὑπὸ τοῦ Φαραὼ καὶ σκεπα σθῆναι ὑπὸ Αἰγυπτίων. Εἶτα δείκνυσι τὸ ἀνόητον τῆς φυγῆς· 3Ἔσται γὰρ ὑμῖν ἡ σκέπη Φαραὼ εἰς αἰσχύνην καὶ τοῖς πεποιθόσιν ἐπ' Αἰγυπτίους ὄνειδος. 4Ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ αὐτοῦ καὶ ἄγγελοι αὐτοῦ πονηροί· μάτην κοπιάσουσι 5πρὸς λαόν, ὃς οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν οὐδ' εἰς ὠφέλειαν ἀλλ' εἰς αἰσχύνην καὶ ὄνειδος. Διαβάλλει τῶν Αἰγυπτίων τοὺς ἄρχοντας ὡς βλάψαι μὲν ἱκανούς, εἰς ὠφέλειαν δὲ ἀδρανεῖς. Προεῖπε δὲ καὶ τῆς καταφυγῆς τὸ ἀκερδές, μᾶλλον δὲ τὸ ἐπονείδιστον. Ἐπιστρατεύσας γὰρ καὶ κατ' ἐκείνων ὁ Βαβυλώνιος καὶ αὐτοὺς καὶ τοὺς ἐκεῖ καταφυγόντας Ἑβραίους ἐνίκησε καὶ ἀνδραποδίσας ἀπήγαγεν. Παιδευόμεθα τοίνυν ἡμεῖς τὴν Δαυιτικὴν μελῳδίαν λέγειν· «Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν.» Ταύτῃ γὰρ τῇ ἐλπίδι φραττόμενοι, κἂν ὑπὸ μυρίων κυκλωθῶμεν κακῶν, κρείττους ἐσόμεθα τῶν δεινῶν· «Πάντα» γάρ φησι «τὰ ἔθνη ἐκύκλωσάν με, ἐγὼ δὲ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς.» Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

9 ΤΟΜΟΣ Θ΄

Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ. Τῆς αὐτῆς ἔχεται διανοίας καὶ ταῦτα· κατηγορεῖ γὰρ τῶν εἰς Αἴγυπτον καταπεφευγότων καὶ τῆς θείας βοηθείας κατα πεφρονηκότων. Ἔρημον δὲ καλεῖ τὴν Ἱερουσαλήμ· ἔρημος γὰρ ἦν τηνικαῦτα, ἀνάστατος ὑπὸ τοῦ Ναβουχοδονόσορ γεγενημένη. Τετράποδα δὲ προσαγορεύει τοὺς τὴν ἀλογίαν νενοσηκότας καὶ τὸν εὐεργέτην καὶ ποιητὴν οὐκ ἐπεγνωκό τας. «Ἄνθρωπος» γὰρ «ἐν τιμῇ ὢν οὐ συνῆκε, παρα συνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.» Ἐν τῇ θλίψει καὶ ἐν τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων θησαυροὺς αὐτῶν καὶ ἐπὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτούς. Καὶ διδάσκων ποῖον τὸ ἔθνος, ἐπήγαγεν· 7Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς. Τὴν πολλὴν αὐτῶν πονηρίαν ὁ προφητικὸς αἰνιττόμενος λόγος οὐ κτήνεσιν ἀλλ' ἰοβόλοις ἀπεικάζει θηρίοις· διὰ γὰρ τοῦ λέοντος καὶ τοῦ σκύμνου δεδήλωκε τὸ θρασύ, διὰ δὲ τῶν ἀσπίδων τὸ πονηρὸν καὶ τὸ πικρόν. Διδάσκει δὲ ὡς διὰ τῶν ἀχθοφόρων ζῴων μετεκόμιζον εἰς τὴν Αἴγυπτον ὅσα τῶν Βαβυλωνίων τὰς χεῖρας διέφυγεν. Καὶ προλέγει μηδεμίαν αὐτοῖς ὠφέλειαν ἐκεῖθεν γενήσεσθαι. Ἀπάγγειλον αὐτοῖς ὅτι ματαία ἡ παράκλησις αὐτῷ αὕτη. Κελεύεται ὁ προφήτης διαμαρτύ ρασθαι ὡς ἀνόνητον τὸ γινόμενον καὶ οὐδεμίαν αὐτοῖς ἢ παραψυχὴν ἢ ὠφέλειαν παρέχον. 8Νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίων ταῦτα καὶ εἰς βιβλίον ἐγχάραξον αὐτά, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα εἰς μαρτύριον ἐν καιρῷ καὶ ἐμφανῆ εἰς τὸν αἰῶνα. Τινὲς ᾠήθησαν ἐπὶ τοὺς Ἀσσυρίους καταπεφευγέναι τοὺς νῦν κατηγορουμένους εἰς Αἴγυπτον, ἀλλ' οὔτε ἡ ἱστορία τοῦτο διδάσκει οὔτε ἡ προκειμένη προφητεία. Ἡ μὲν γὰρ ἱστορία τὰ ἐπὶ Ἱερεμίου τοῦ προφήτου σαφῶς λέγει, ἡ δὲ προφητεία διδάσκει ὡς ὁ τῶν ὅλων θεὸς ἐκέλευσεν ἀνάγραπτον γενέσθαι τὴν πρόρρησιν· ὅτι ἔσται φησὶν εἰς ἡμέρας ταῦτα εἰς μαρτύριον, τουτέστι μετὰ χρόνον ταῦτα πραχθήσεται· γενέσθω τοίνυν ἔγγραφος ἡ μαρτυρία. Ἐδέξατο δὲ τέλος ἡ πρόρρησις μετὰ τεσσαράκοντα καὶ ἑκατὸν ἔτη· τοσαῦτα γὰρ εὑρεθή σεται ἐκ τοῦ πρώτου ἔτους τῆς βασιλείας Ἐζεκίου μέχρι τῆς εἰς Αἴγυπτον φυγῆς ἣ μετὰ τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ ἐγεγόνει. 9Ὅτι λαός ἐστιν ἀπειθής, υἱοὶ ψευδεῖς οἳ οὐκ ἐβούλοντο ἀκούειν τὸν νόμον τοῦ θεοῦ. Σαφῶς αὐτοῖς διαρρήδην ὁ θεῖος Ἱερεμίας ἀπηγόρευσε τὴν φυγήν, καὶ ὁ θεὸς διὰ τοῦ προφήτου παρηγγύησε μεῖναι, ὑπισχνούμ ενος πειθομένοις μὲν σωτηρίαν, ἀπειθοῦσι δὲ τιμωρίαν· καὶ διέμειναν ἀντιλέγοντες. 10Οἱ λέγοντες τοῖς προφήταις· Μὴ |137 b| ἀν αγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσιν· Μὴ λαλεῖτε ἡμῖν ὀρθῶς ἀλλὰ λαλεῖτε ἡμῖν λαλίαν καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν 11καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης καὶ ἀφέλετε ἡμᾶς τὴν τρίβον ταύτην καὶ ἀφέλετε ἡμῶν τὸ λόγιον τοῦ ἁγίου Ἰσραήλ. Ὁ Σύμμαχος ἀντὶ τοῦ· λαλεῖτε ἡμῖν λαλίαν, «λαλεῖτε ἡμῖν λεῖα» τέθεικεν, ὁ δὲ Ἀκύλας «ὀλισθηρά», ὁ δὲ Θεοδοτίων «ὀλισθήματα». Αἰνίττεται δὲ ὁ λόγος, ὡς τὴν πλατεῖαν ὁδεύειν ἐβούλοντο τὴν ἀπάγουσαν εἰς τὴν <ἀπώλειαν καὶ οὐ τὴν τεθλιμμένην τὴν ἀπάγουσαν εἰς τὴν> ζωήν. Ταὐτὸ δὲ τοῦτο σημαίνει καὶ τῶν Ἑβδομήκοντα ἡ ἑρμηνεία· λαλία γὰρ ἡ φιλαργυρία καλεῖται, ὅταν ἡ παρατέλευτος ἔχῃ τὸν τόνον. Τοιοῦτος ἦν Ἀχαὰβ περὶ τοῦ Μιχαίου λέγων· «Μεμίσηκα αὐτόν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ ἀγαθὰ ἀλλ' ἢ κακά.» Τοιαῦτα δὲ καὶ οὗτοι περὶ ὧν ὁ λόγος πρὸς Ἱερεμίαν ἔλεγον τὸν προφήτην· «Τὸν λόγον, ὃν ἀπεκρίθης καὶ ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι κυρίου, οὐκ ἀκούσομέν σου, ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄρχοντες ἐν πόλεσιν Ἰούδα καὶ ἐν διόδοις Ἱερουσαλήμ, καὶ ἐπλήσθημεν ἄρτων καὶ ἐγενήθημεν χρηστοὶ καὶ κακὰ οὐκ εἴδομεν.» Καὶ Ἀζαρίας δὲ καὶ Ἰωανὰν καὶ οἱ τούτοις παραπλήσιοι ἄντικρυς πρὸς τὸν αὐτὸν ἐβόων προφήτην· «Ψευδῆ λαλεῖς σύ, οὐκ ἀπέστειλέ σε κύριος ὁ θεὸς ἡμῶν πρὸς ἡμᾶς λέγων· Μὴ εἰσέλθητε εἰς Αἴγυπτον οἰκεῖν ἐκεῖ. Ἀλλὰ Βαροὺχ υἱὸς Νηρίου συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας Χαλδαίων τοῦ θανατῶσαι ἡμᾶς καὶ ἀποικίσαι ἡμᾶς εἰς Βαβυλῶνα.» Ταύτην αὐτῶν τὴν ἀπείθειαν καὶ τὴν δυσσεβῆ γνώμην ὁ μετὰ χεῖρας λέγει προφήτης· Ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης καὶ ἀφέλετε ἡμῶν τὸ λόγιον τοῦ ἁγίου Ἰσραήλ. Οὕτως ἐναργῶς ἔοικε τῇ  ἐκ βάσει ἡ πρόρρησις. 12Διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ ὁ ἅγιος· Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις καὶ ἠλπίσατε ἐπὶ ψεύδει καὶ ὅτι ἐγογγύσατε καὶ πεποιθότες ἐγένεσθε ἐν τῷ λόγῳ τούτῳ, 13διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη ὡς τεῖχος πῖπτον παραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας ἧς παραχρῆμα πάρεστι τὸ πτῶμα· 14καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου ὀστρακίνου ἐκ κεραμίου λεπτά, ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον ἐν ᾧ πῦρ ἀρεῖς ἀπὸ καύστρας καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. Τὴν ἐπ' Αἰγυπ τίους ἐλπίδα περιβόλῳ καταλυομένῳ καὶ πόλει ἁλισκομένῃ ἀπείκασε καὶ τῇ παραβολῇ παραβολὴν ἑτέραν παρέθηκεν· ἐοικέναι γὰρ ἔφη τὴν ταῦτα πάσχουσαν πόλιν ἀγγείῳ ὀστρακίνῳ συντριβομένῳ καὶ τοσαύτην ὑπομένοντι συντρι βήν, ὡς παντελῶς ἄχρηστα διαμεῖναι διὰ σμικρότητα καὶ αὐτὰ τοῦ ἀγγείου τὰ ὄστρακα. Φιλάνθρωπος δὲ  ὢν ὁ δε σπότης μετὰ τὴν ἀπειλὴν μετανοίας προφέρει παραίνεσιν· 15Ὅτι οὕτως λέγει κύριος ὁ θεὸς ὁ ἅγιος τοῦ Ἰσραήλ· ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ ποῦ ἦσθα, ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις. Μετανοίας ὅρος οὐ τὸ στένειν μόνον ἐπὶ ταῖς ἁμαρτίαις ἀλλὰ καὶ τὸ φεύγειν ταύτας καὶ τὴν τούτων ὁδὸν ἀποστρέφεσθαι καὶ τὴν ἐναντίαν ὁδεύειν. Τοῦτο γὰρ καὶ ὁ θεῖος δεδήλωκε λόγος· Ὅταν ἀποστραφεὶς στενάξῃς. Οὐχ ὅταν ἁπλῶς στενάξῃς  ἀλλ'  ὅταν καταλιπὼν τὴν παρανομίας ὁδὸν τὰ γεγενημένα θρηνήσῃς, τότε τεύξῃ τῆς σωτηρίας καὶ  τῆς προτέρας δυσσεβείας ἐν αἰσθήσει γενήσῃ. Ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη. Καὶ οὐκ ἐβούλεσθε ἀκούειν 16ἀλλ' εἴπατε· Ἐφ' ἵππων φευξόμεθα· διὰ τοῦτο φεύξεσθε. Καὶ εἴπατε· Ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα· διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. Ὧν ἐλπίζετε τἀναντία γενήσεται. Εἶτα προλέγει ὡς μύριο ι  κα ὶ τὴν ὀλίγων πολεμίων οὐ δέξονται προσβολήν, καὶ τὸν πολὺν αὐτῶν σημαίνων ὄλεθρον ἐπήγαγεν· 17ἕως ἂν καταλειφθῆτε ὡς ἱστὸς ἐπ' ὄρους καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ. Τὴν σημαίαν ὁ μὲν Σύμμαχος «ἱστίον» ἡρμήνευσεν, ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων «σύσσημον». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Τὰ πολλὰ δένδρα ἐν τοῖς ὄρεσιν οὐχ οὕτως ἐστὶν ἐπίσημα· εἰ δέ που ἐν ὄρους κορυφῇ μία πίτυς ἢ κυπάριττος κατα λειφθείη, λίαν ἐστὶ τοῖς παριοῦσιν ἐπίσημος. Οὕτω φησὶ καὶ ὑμεῖς ὀλίγοι μὲν ἐκ τῶν πολλῶν καταλειφθήσεσθε μυριάδων, ἐπίσημα δὲ ὑμῶν γενήσεται τὰ κακά. 18Καὶ πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς. Ἀλλ' ὅμως καὶ μετὰ ταῦτα φειδοῦς ὑμᾶς ἀξιώσει καὶ διδάξει τοὺς ἀγνοοῦντας τὴν οἰκείαν ἰσχύν. Διότι κριτὴς ὑμῶν κύριος ὁ θεὸς ἡμῶν. |138 a| Μακάριοι πάντες οἱ ὑπομένοντες αὐτόν, 19διότι λαὸς ἅγιος ἐν Σιὼν κατοικήσει. Καὶ ταῦτα προτρέ πων αὐτοὺς μένειν καὶ μὴ καταφεύγειν εἰς Αἴγυπτον εἴρηκεν ὁ προφήτης. Προεδήλωσε δὲ καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον· λαὸν γὰρ ἅγιον ἐκείνους ἐκάλεσεν. Τοιοῦτος ἦν Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, τοιοῦτος ἦν ὁ Ζοροβάβελ, τοιοῦτος ὁ Ἔζρας, τοιοῦτος ὁ Νεεμίας καὶ <οἱ> μετὰ τούτων πᾶσαν εἰς τὴν οἰκοδομίαν καὶ τοῦ ναοῦ καὶ τῆς πόλεως εἰσενεγκόντες σπουδήν. Ἀνάγεται δὲ ὁ λόγος καὶ εἰς τοὺς μετὰ τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος ἡμῶν πιστούς, οἳ τῶν ἀπίστων ἐκ τῆς Ἱερουσαλὴμ ἐξελαθέντων ᾤκησαν τὴν πόλιν βίῳ λαμπρῷ καὶ ὕμνοις διηνεκέσι τὸν θεὸν ἐξιλεούμενοι. Καὶ Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν· Ἐλέησόν με. Προσωποποιΐα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν ὁ προφήτης ἐχρήσατο, αὐτὸς ἀντ' ἐκείνης προσφέρων τὴν δέησιν. Ἐκόμισε δὲ καὶ τὴν ἀπόκρισιν· Ἐλεῶν ἐλεήσει σε πρὸς τὴν φωνὴν τῆς κραυγῆς σου· ἡνίκα εἶδεν ἐπήκουσέ σου. Ἔοικε ταῦτα τῷ εὐαγγελικῷ λόγῳ ὃν ὁ κύριος ἔφη· «Ὧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.» Καὶ ἐνταῦθα γὰρ τὸν ἔλεον τῇ προθυμίᾳ τῆς μετανοίας ἐμέτρησεν· φωνὴν γὰρ τὴν προθυμίαν ἐκάλεσεν. Ἀντὶ τοῦ· πρὸς τὴν σπουδήν σου, πρὸς τὴν ἐπιστροφήν σου δέξῃ τὸν ἔλεον. 20Καὶ δώσει ὑμῖν κύριος ἄρτον θλίψεως καὶ ὕδωρ στενόν. Ἐπειδὴ γὰρ τὸν κόρον οὐκ ἤνεγκας ἀλλὰ βλάβην ἐκεῖθεν εἰσεδέξω καὶ νόσον, τοῖς ἐναντίοις χρήσεται φαρμάκοις ὁ ἰατρός. Καὶ οὐκέτι οὐ μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε, ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλα νῶντάς σε 21<καὶ τὰ ὦτά σου ἀκούσεται τοὺς λόγους τῶν ὀπίσω πλανησάντων σε> τῶν λεγόντων· Αὕτη ἡ ὁδός, πορευθῶμεν ἐν αὐτῇ εἴτε εἰς δεξιὰ εἴτε εἰς ἀριστερά. Τοὺς ψευδοπροφήτας καὶ τοὺς δυσσεβεῖς ἄρχοντας διὰ τούτων δεδήλωκεν. 22Καὶ μιανεῖ τὰ εἴδωλα τὰ περιηργυρωμένα καὶ τὰ περι κεχρυσωμένα καὶ λεπτὰ ποιήσεις καὶ λικμήσεις καὶ ποιήσεις ὡς ὕδωρ ἀποκαθημένης καὶ ὡς κόπρον ὤσεις αὐτά. Ταῦτα ἀκριβέστερον μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησιν γέγονεν οὐ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων μόνων ἀλλὰ καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν τὰ πάλαι θεοποιούμενα εἴδωλα συντριψάντων καὶ βδελυξαμένων πλέον ἢ τὴν δυσωδεστάτην κόπρον. Ἐγένετο δὲ ὡς ἐν τύ πῳ τινὶ καὶ ὑπὸ Ἐζεκίου καὶ ὑπὸ Ἰωσίου τῶν εὐσεβῶν βασιλέων καὶ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῖς εἰρημένοις παρα πλήσια. 23Τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου ἔσται εἰς πλησμονὴν καὶ λιπαρός· καὶ βοσκηθήσεταί σου τὰ κτήνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύχωρον, 24οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν φάγονται ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ. Εὐετηρίαν αὐτοῖς καὶ καρπῶν εὐθηνίαν κ αὶ σωματικῶν ἀγαθῶν ἀπόλαυσιν ἐπαγγέλλεται· περὶ ταῦτα γὰρ κεχήνασι μᾶλλον. Ἐν δὲ τῇ Καινῇ Διαθήκῃ ἐπὶ τὰ τέλεια παιδεύων ἀπαγορεύει τῶν τοιούτων τὴν αἴτησιν· «Μὴ μεριμνήσητε» γάρ φησι «τί φάγητε ἢ τί πίητε ἢ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. Αἰτεῖτε δὲ τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ τὰ λοιπὰ πάντα ἐκ περιττοῦ προστεθήσεται ὑμῖν.» Τούτοις δὲ περίγειον ἔχουσι φρόνημα τῆς γῆς ἐπαγγέλλεται τοὺς καρπούς. 25Καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψηλοῦ καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοὶ καὶ ὅταν πέσωσι πύργοι. 26Καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ὡς τὸ φῶς τῶν ἑπτὰ ἡμερῶν ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς αὐτοῦ ἰάσεται. Οἱ ἐξαπίνης ἀντὶ τῶν λυπηρῶν τὰ θυμήρη δεχόμενοι καὶ τὴν ἡμέραν λαμπροτέραν ὁρῶσι καὶ τὸν ἥλιον πολλῷ τοῦ συνήθους φανότερον· ὥσπερ αὖ οἱ πενθοῦντες σκότος ὑπολαμβάνουσι καὶ τὸ φῶς. Τὴν ἐσομένην τοίνυν αὐτοῖς εὐφροσύνην διὰ τὴν ἐπάνοδον προδεδήλωκεν· οὐ γὰρ τὰ στοιχεῖα πολλαπλάσιον ἔσχε τὸ φῶς, ἀλλ' οἱ ἐν ἀθυμίᾳ ὄντες ταῦτα ἑώρων λαμπρότερα. Ταῦτα δέ φησιν ἔσται μετὰ τὴν τῶν Βαβυλωνίων κατάλυσιν. Αὐτοὺς γὰρ καὶ πολλοὺς διὰ τὸ πλῆθος καὶ πύργους διὰ τὴν δυναστείαν ὠνόμ ασεν . Τὸ δὲ ἐπὶ παντὸς ὄρους καὶ βουνοῦ ὕδατα ἀναβλύζειν οὐχ εὑρίσκομεν πληρωθὲν κατὰ τὸ ῥητόν, ἴσμεν δὲ ὅμως ἡμεῖς ἀψευδῆ τοῦ θεοῦ τὴν ὑπόσχεσιν. Οὗ δὴ χάριν ἀνάγκη, κἂν μὴ θέλωσιν οἱ Ἰουδαῖοι, τροπικῶς νο ῆσαι τὴν πρόρρησιν καὶ τὴν ἔκβασιν εὑρεῖν μετὰ τὴν ἐνανθρώπησιν τοῦ δεσπότου Χριστοῦ· τότε γὰρ ἡ διψῶσα τῶν ἀνθρώπων φύσις οἷόν τινα ὕδατα τοὺς θείους ἀποστόλους ἐδέξατο. Ταῦτα οὕτω προαγορεύσας εἰς τὸν Ἀσσύριον μεταφέρει τὸν λόγον · 27Ἰδοὺ τὸ ὄνομα κυρίου ἔρχεται διὰ χρόνου πολλοῦ. Ἐπειδὴ μέγιστον ἦν θαῦμα τὸ δίχα χειρῶν ἀνθρω πίνων τοσαύτας μυριάδας |138 b| πεσεῖν, ταὐτὸ δὲ τοῦτο πεπόνθασι καὶ Αἰγύπτιοι ὑποβρύχιοι πάντες ἐν τῇ θαλάττῃ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενόμενοι, πολὺς δὲ ἦν ὁ ἐν μέσῳ χρόνος τῶν τε ἐπὶ τοῦ μεγάλου Μωυσέως καὶ τῶν ἐπὶ τοῦ βασιλέως Ἐζεκίου γεγενημένων, εἰκότως ἔφη· Ἰδοὺ τὸ ὄνομά μου ἔρχεται διὰ χρόνου πολλοῦ. Ὄνομα δὲ ἐκάλεσε τὴν δόξαν καὶ τὴν ἀπὸ τοῦ θαύματος περιφάνειαν. Τοῦτο δὲ καὶ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν· Καιόμενος ὁ θυμὸς αὐτοῦ μετὰ δόξης. Τὸν μὲν γὰρ Ἀσσύριον κολάσει, αὐτὸν δὲ πάντες ὑμνήσουσιν ἐπὶ τούτῳ. Τὸ λόγιον τῶν χειλέων αὐτοῦ λόγιον ὀργῆς πλήρης, τὸ λόγιον τῆς γλώσσης αὐτοῦ. Εἶτα δείκνυσι τοῦ θείου προστάγματος τὴν ἰσχύν· Ὡς πῦρ ἔδεται· 28καὶ τὸ πνεῦμα αὐτοῦ ὡς ὕδωρ ἐν φάραγγι σῦρον ἥξει ἕως τοῦ τραχήλου. Ἐνταῦθα σημαίνει τὸν τῆς πόλεως κίνδυνον· ἐῴκει γὰρ ἀνθρώπῳ μέχρι τοῦ τραχήλου δεξαμένῳ τὴν τοῦ ὕδατος προσβολὴν καὶ προσδοκήσαντι συγκαλύπτεσθαι, εἶτα παρ' ἐλπίδα πᾶσαν ἀπαλλαγέντι. Οὕτω γὰρ καὶ ἡ Ἱερουσαλὴμ μετὰ τὴν ἀπόγνωσιν τῆς σωτηρίας τετύχηκε τῆς σωτηρίας. Καὶ διαιρεθήσεται τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ καὶ διώξεται αὐτοὺς πλάνησις καὶ λήψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν. Τοῦτό φησι τὸ ὕδωρ τὸ κατὰ σοῦ ὁρμῆσαν διαιρεθήσεται καὶ καθ' ἑαυτοῦ ταραχθήσεται. Ὕδωρ δὲ καλεῖ τῶν Ἀσσυρίων τὴν στρατιάν· τούτους γὰρ καὶ πεπλανῆσθαι λέγει προσδοκήσαντας περιέ σεσθαι τοῦ τῶν ὅλων θεοῦ. 29Μὴ διὰ παντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διὰ παντὸς ὡσεὶ ἑορτάζοντας καὶ ὡσεὶ εὐφραινομένους εἰσελθεῖν μετὰ αὐλῶν εἰς τὸ ὄρος κυρίου πρὸς τὸν θεὸν τοῦ Ἰσραήλ; Ἐπειδὴ τῶν δέκα περιεγένεσθε φυλῶν ἐμοῦ διὰ τὴν ἐκείνων ἀσέβειαν συγχωρήσαντος, καὶ τὴν ἀφιερωμένην μοι πόλιν πορθήσειν προσεδοκήσατε καὶ τοσαύτην ἐμοὶ μὲν ἀσθένειαν, ὑμῖν δὲ αὐτοῖς προσμε μαρτυρήκατε δύναμιν ὡς μετὰ αὐλῶν καὶ χορῶν τὴν πολιορκίαν ποιήσασθαι. Ἀλλ' ἐλέγχεται τῆς ἐλπίδος ὑμῶν τὸ μάταιον· 30Ἀκουστὴν γὰρ κύριος ποιήσει τὴν δόξαν τῆς φωνῆς αὐτοῦ καὶ τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ δείξει, μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης κεραυνώσει βιαίῳ καὶ ὡς λίθοι καὶ ὡς χάλαζα συγκαταφερομένη βίᾳ. Ἔδειξε τῆς τιμωρίας τὸ εὔκολον. Ῥᾴδιον γάρ μοί φησι καὶ φλογὶ παραδοῦναι καὶ κεραυνοὺς καὶ πρηστῆρας ἐπαγαγεῖν καὶ λίθους ἀφεῖναι χαλάζης, ἀλλὰ τῆς δυνάμεως δεικνὺς τὴν ὑπερβολὴν λόγῳ μόνῳ ποιοῦμαι τὸν ὄλεθρον· 31Διὰ γὰρ τῆς φωνῆς κυρίου ἡττηθήσονται οἱ Ἀσσύριοι τῇ πληγῇ ᾗ ἂν πατάξῃ αὐτούς. Ἀρκεῖ μοι καὶ ὁ λόγος εἰς τιμωρίαν καὶ μαρτυρήσει τῷ λόγῳ τὸ ἔργον. 32Καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῷ ἡ ἐλπὶς τῆς βοηθείας, ἐφ' ᾗ αὐτὸς ἐπεποίθει· οὗτοι μετὰ τυμπάνων καὶ κιθάρας καὶ ἐν πολέμοις ἀφορισμοῦ καὶ πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς. Τὴν γὰρ τῶν Ἀσσυ ρίων πανωλεθρίαν αἱ ὑπήκοοι πόλεις μεμαθηκυῖαι δημοτελεῖς ἐπετέλουν πανηγύρεις καὶ τοῖς φεύγουσιν ἀπαντῶσαι τοὺς πλείστους διέφθειραν. 33Σὺ γὰρ πρὸ ἡμερῶν ἀπατηθήσῃ· μὴ καὶ σοὶ ἡτοιμάσθη βασιλεύειν φάραγγος βαθείας; Ὅτι ἡτοιμάσθη πρὸ ἡμερῶν ὁ θαφὲθ αὐτῆς καί γε αὐτὴ τῷ βασιλεῖ ἡτοιμάσθη. Ταῦτα ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Προητοίμασται γὰρ ἀπ' ἐχθὲς ὁ θαφὲθ αὐτῆς καί γε αὐτὴ τῷ βασιλεῖ ἡτοιμά σθη»· οὕτω δὲ καὶ ὁ Θεοδοτίων, Τὸ δὲ θαφὲθ ἢ θόφθη εὗρον παρὰ τῷ Σύρῳ ἡρμηνευμένον οὕ τως· «ὅτι ἀπ' ἐχθὲς ἡτοιμάσθη ἡ βρῶσις αὐτῆς», τουτέστι τῆς τοῦ Ἀσσυρίου στρατιᾶς· ἐν δέ γε τῇ Ἑρμηνείᾳ τῶν Ἑβρ αϊκῶν Ὀνομάτωνεὗρον τοῦτο «συγκλεισμὸν» ἡρμηνευμένον. Ἡ αὐτὴ δέ ἐστι διάνοια· λέγει γὰρ ὁ προφητικὸς λόγος τῷ Ἀσσυρίῳ· Ἐπειδὴ ὡς φάραγγος κατεφρόνησας τῆς Ἱερουσαλὴμ καὶ ταύτης κρατήσειν ἤλπισας, ἴσθι ὅτι ἐκεῖ ὁ κατὰ σοῦ ὄλεθρος προευτρέπισται· ἐνταῦθα γὰρ συγκλεισθήσῃ καὶ καταβρωθήσῃ. Ὅθεν ἐπήγαγεν· Ἐβάθυνεν ἐπλάτυνε τὴν πυρὰν αὐτῆς. Τουτέστιν ἡ ἑτοιμασθεῖσά σοι τιμωρία· τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς· Ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλά, ὁ θυμὸς κυρίου ὡς φάρα<γ>ξ ὑπὸ θείου καιομένη. Οὗ δὴ χάριν ὁ Σύρος τὸ θαφὲθ ἑρμηνεύων «βρῶσιν» τὴν τιμωρ ίαν ἐκάλεσε· τροφὴ γὰρ πυρὸς τὰ ξύλα. Οὕτω καὶ ταῦτα συμπεράνας τοὺς εἰς Αἴγυπτον κατα πεφευγότας πάλι ν θρηνεῖ· 31Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἅρμα σιν· ἔσται γὰρ πολλὰ ἅρματα καὶ ἔφιπποι εἰς πλῆθος σφόδρα· καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν. Ἰσχυροτέραν φησὶ τῆς τοῦ βοηθείας τὴν ἵππον ὑπέλαβον, ἐπειδὴ πολλοὺς ἔμαθον παρ' Αἰγυπτίοις ἵπποις καὶ ἅρμασι κεχρημένους. 2Καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ λόγος |139 a| αὐτοῦ οὐ μὴ ἀθετηθῇ. Ἠπείλησεν αὐτοῖς φησι τιμωρίαν, καὶ ἔσται πάντως ἡ πρόρρησις· ἀψευδὴς γὰρ τῆς ἀληθείας ἡ ψῆφος. Καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν. Κολάσει γὰρ οὐ μόνον αὐτοὺς ἀλλὰ καὶ τοὺς Αἰγυπτίους εἰς οὓς ἐπεποίθεσαν. Τοῦτο γὰρ ἐπήγαγεν· 3Αἰγύπτιον ἄνθρωπον καὶ οὐ θεόν, ἵππων σάρκες καὶ οὐκ ἔστι βοήθεια. Δέον πιστεύειν θεῷ τοῖς Αἰγυπτίοις ἐθάρρησαν καὶ τῇ ῥώμῃ τῶν ἵππων. Ὁ δὲ κύριος ἐπάξει τὴν μάχαιραν αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ πεσοῦνται οἱ βοηθούμενοι, καὶ ἅμα πάντες ἀπολοῦνται. Μάχαιραν τοὺς Βαβυλωνίους καλεῖ· οὗτοι γὰρ τοῖς Αἰγυπτίοις ἐπιστρατεύσαντες καὶ αὐτοὺς καὶ τοὺς πρὸς αὐτοὺς κατα πεφευγότας διέφθειραν Ἰουδαίους. Διὰ τοῦτο καὶ ὁ προφη τικὸς ἔφη λόγος κοπιάσειν μὲν τοὺς βοηθοῦντας– τουτέστι τοὺς Αἰγυπτίους–, πεσεῖσθαι δὲ τοὺς βοηθουμένους– τουτέστι τοὺς Ἰουδαίους. Εἶτα διά τινος παραβολῆς τὴν οἰκείαν αὐτοῖς ἐπιδείκνυσι δύναμιν· καθάπερ γὰρ λέοντος ἐν τοῖς ὄρεσι βρυχωμένου πτήσσει φησὶ τὰ ὑποκείμενα ζῷα, οὕτως τῆς ἐμῆς ἐπιφαι νομένης δυνάμεως καταλυθήσεται τὸ πλῆθος τῶν πολεμίων. 4Οὕτως γάρ φησι καταβήσεται κύριος Σαβαὼθ ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος Σιὼν καὶ ἐπὶ τὰ ὄρη αὐτῆς. Εἶτα καὶ ἑτέραν ἐπάγει παραβολήν· 5Ὡς ὄρνεα πετόμενα. Καθάπερ γὰρ τὰ ὄρνεα τῶν οἰκείων ὑπερμαχεῖ νεοττῶν, οὕτως ἐγὼ τῆσδε τῆς πόλεως φροντιῶ. Ταύτην μέντοι τὴν εἰκόνα οὐκ ἐπὶ τῆς δυνάμεως ἀλλ' ἐπὶ τῆς φιλοστοργίας ἔλαβεν· τὰ γὰρ πτηνὰ βούλεται μὲν ἐπαμῦναι τοῖς νεοττοῖς, οὐ δύναται δέ, ὁ δὲ θεὸς καὶ βούλεται καὶ δύναται. Τοῦτο γὰρ διδάσκει καὶ τὰ ἑξῆς· Οὕτως ὑπερασπιεῖ κύριος Σαβαὼθ καὶ ὑπὲρ Ἱερουσαλὴμ ὑπερασπιεῖ καὶ ἐξιλάσεται καὶ περιποιήσεται καὶ ὑπερβήσεται καὶ σώσει αὐτήν. Ἔδειξε διὰ μὲν τοῦ ὑπερασπιεῖ τὴν πατρικὴν φιλοστοργίαν, διὰ δὲ τοῦ ἐξιλάσεται τὴν πολλὴν φιλανθρωπίαν, διὰ δὲ τοῦ περιποιήσεται τὴν κηδεμονίαν, διὰ δὲ τοῦ ὑπερβήσεται τὴν κατὰ τῶν πολεμίων νίκην, διὰ δὲ τοῦ σώσει τὴν ἄρρητον δύναμιν. 6Ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον υἱοὶ Ἰσραήλ. Ταῦτα τοίνυν εἰδότες τῶν παρα νόμων ὑμῶν ἀπόστητε λογισμῶν. 7Ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαι ροῦνται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν ἁμαρτίαν. Προλέ γει τὴν ἐσομένην εὐσέβειαν, εἰς τὴν τ ῶν ἐκγόνων μίμησιν καὶ αὐτοὺς διεγείρων. 8Καὶ πεσεῖται Ἀσ<σ>οὺρ οὐ μαχαίρᾳ ἀνδρός, οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτόν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας· καὶ οἱ νεανίσκοι αὐτοῦ ἔσονται εἰς ἥττημα. Οὔτε γὰρ ἀνθρώποις οὔτε ὅπλοις ὑπουργοῖς χρήσομαι κατ' αὐτοῦ, ἀλλ' ἀόρατον αὐτῷ ἐπάξω τὴν πληγήν. 9Πέτρᾳ γὰρ περιληφθήσεται ὡς χάρακι, ὁ δὲ φεύγων ἁλώσεται. Πέτραν καλεῖ τοῦ Ἐζεκίου τὴν πίστιν· ἐκεῖνος γὰρ αὐτὸν ἀφύκτοις κακοῖς περιέλαβεν. Καὶ ἡττη θήσονται φυγῇ οἱ ἄρχοντες αὐτοῦ, λέγει κύριος ὁ ἔχων πῦρ ἐν Σιὼν καὶ κλίβανος αὐτῷ ἐν Ἱερουσαλήμ, ὁ δὲ φεύγων ἁλώσεται. Ταύτην δὲ αὐτῷ τὴν ἀπόφασιν ἐξήνεγκεν ὁ τῶν ὅλων θεός, ὃς καὶ ἐν τῇ Σιὼν ·χο..ότι καὶ ἐκεῖθεν ἐξάπτει κατ' αὐτοῦ οἷόν τινα κλίβανον τὴν τιμωρίαν, ἐπειδήπερ ταύτης ἤλπισε περιέσεσθαι. Ἐντεῦθεν εἰς ἑτέραν πρα γματικὴν προφητείαν μεταφέρει τὸν λόγον καὶ προθεσπίζει τὴν κατὰ σάρκα τοῦ σωτῆρος ἡμῶν ἐπιφάνειαν· Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα καὶ οἰκείους ἐν Ἱερουσαλήμ. 321Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν· μακα ρίζει τοὺς τὴν Σιὼν οἰκοῦντας καὶ αὐτόθι παιδοποιοῦν τας, ποιεῖται δὲ κατη γορίαν τῶν εἰς Αἴγυπτον πεφευγότων. Προλέγει δὲ καὶ τοῦ βασιλέως καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀρχόντων τὸ δίκαιον κρίμα . Εἰ δέ τις ταῦτα περὶ τοῦ Ἐζεκίου ἢ περὶ τοῦ Ἰωσίου ἢ περὶ τοῦ Ζοροβάβελ εἰρῆσθαι λέγει, δια μαρτάνει τῆς ἀληθείας. Ὁ μὲν γὰρ Ἐζεκίας ἤδη βεβασιλεύκει, ὁ δὲ Ζοροβάβελ οὐδὲ βασιλεὺς ἦν ἀλλὰ δη μαγωγὸς καὶ στρατη γός, ὁ δὲ Ἰωσίας βασιλεὺς μὲν ἦν καὶ εὐσεβὴς βασιλεύς, ὑπερβαίνει δὲ τοῦ προφητευομένου τὰ κατορθώματα. Νοητέον <οὖν> βασιλέα μὲν τὸν δεσπότην Χριστόν, ἄρχοντας δὲ τοὺς ἱεροὺς ἀπο στόλους καὶ τοὺς μετ' ἐκείνους τὴν τῶν ἐκκλησιῶν ἡγεμονίαν παρειληφότας. Περὶ τούτων καὶ ὁ μακάρι ος ἔφη Δαυίδ · «Ἀντὶ τῶν πατέρων σου ἐγεννή θησάν σοι υἱοί· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν». 2Καὶ ἔσται ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου πολλοῦ. Μαρτυρεῖ τούτοις τῶν ἱερῶν εὐαγγελίων ἡ συγγραφή· ἐν παραβολαῖς γὰρ ἐλάλει τοῖς ὄχλοις, οἴκοι δὲ τὰς παραβολὰς τοῖς |139 b| ἀποστόλοις ἡρμήνευεν. Καὶ φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ. Καὶ τούτων εὑρίσκω ἐν τοῖς θείοις εὐαγγελίοις τὴν μαρτυρίαν, αὐτὸς γὰρ ἔλεγεν ὁ σωτήρ· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον.» Τοῦτο τὸ ὕδωρ διψῶσαν ἅπασαν ἄρδει τὴν οἰκουμένην, διαφερόντως δὲ τὴν Σιών, «ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἐκκλησίας». 3Καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις ἀλλὰ τὰ ὦτα δώσουσιν ἀκούειν, 4καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τοῦ νοεῖν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην. Τὴν μεταβολὴν τῶν πραγμάτων ὁ λόγος δεδήλωκεν. Ὁ γὰρ Ἄχαζ ὑπὸ τῶν Σύρων πολιορκούμενος τοὺς Ἀσσυρίους εἰς συμμαχίαν ἐκάλεσεν· οἱ δὲ μετ' ἐκεῖνον τοὺς Ἀσσυρίους φεύγοντες πρὸς Αἰγυπτίους κατέφυγον. Οἱ δὲ τῷ σωτῆρι πεπιστευκότες τὴν αὐτοῦ ῥοπὴν ἀναμένουσι καὶ ταῖς αὐτοῦ διδασκαλίαις τὰ ὦτα προσφέρουσιν· καὶ αἱ πάλαι ψελλίζουσαι γλῶσσαι τρανὰ λαλοῦσι καὶ τὰ τῆς θείας εἰρήνης ποιητικά, οὐκέτι γὰρ θεοὺς ἀλλὰ θεὸν ὑμνοῦσιν. 5Καὶ οὐκέτι οὐ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι οὐ μὴ εἴπωσιν οἱ ὑπηρέται σου· Σίγα. Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως τέθεικεν· «Οὐ κληθήσεται ἔτι ὁ ἄφρων ἄρχων οὐδὲ δολίῳ ῥηθήσεται σωτήρ.» Κατὰ μέντοι τοὺς Ἑβδομήκοντα δηλοῖ ἡ πρόρρησις τῆς ἀνοήτου τῶν Φαρισαίων καὶ γραμμα τέων διδασκαλίας τὴν παῦλαν καὶ τῶν ἐκείνοις διακονούντων τὸν τῦφον· εἷς γὰρ ἐκείνων τὸν κύριον ἐπὶ κόρρης ἐπάταξε, καὶ τῷ θειοτάτῳ ἄλλοι ἔλεγον Παύλῳ· «Τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς.» 6Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν τοῦ διασπεῖραι ψυχὰς πεινώσας καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιῆσαι. Ἴδιον τῶν ἀνοήτων διδασκάλων τοὺς μαθητευομένους πλανᾶν καὶ λιμῷ κατα τήκειν τοὺς τῆς θείας δεομένους τροφῆς. 7Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται, κατα φθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις καὶ διασκεδάσαι λόγους πενήτων ἐν κρίσει. Ἐνταῦθα τῶν κρινόντων ἐ λέ γχ ει τὸ ἄδικον. 8Οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μένει. Μόνιμοι γὰρ οἱ τῆς εὐσεβείας καρποί, οἱ δὲ τῆς ἀσεβείας «ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς». 9Γυναῖκες πλούσιαι ἀνάστητε καὶ ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες ἐν ἐλπίδι εἰσακούσατέ μου τοὺς λόγους. Γυναῖκας τὰς πόλεις καλεῖ· ταύτας καὶ θυγατέρας ὠνόμασεν οὐχ ὡς τοῦτο οὔσας ἀλλ' ὡς ἐσομένας διὰ τῆς πίστεως· διὰ γάρ τοι τοῦτο προσέθηκεν· ἐν ἐλπίδι. 10Ἡμερῶν ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος. Διὰ τοῦ ἐνιαυτοῦ τὰς παντ οδαπὰς εὐεργεσίας δεδήλωκε· τὰς τῶν ὡρῶν τροπάς, τὰς τῶν ἀέρων μεταβολάς, τῶν ὑετῶν τὴν φοράν , τοὺς διαφόρους ἀνέμους, τοὺς διὰ τούτων ἀπὸ γῆς φυομένους καρπούς. Καὶ παρεγγυᾷ ὀδυνᾶσθαι κατὰ ταὐτὸν καὶ ἐλπίζειν· ὀδυνᾶσθαι μὲν ἐπὶ ταῖς ἁμαρτίαις, ἐλπίζειν δὲ καὶ προσμένειν τῷ θεῷ τῶν ὅλων. Ἀνήλωται ὁ τρυγητός, πέπαυται καὶ οὐκέτι οὐ μὴ ἔλθῃ. Τρυγητὸν καλεῖ τὴν τῶν ἀγαθῶν ἀφθονίαν· οὐ κέτι φησὶν ἐν τῇ προτέρᾳ ἔσεσθε εὐπραξίᾳ. Τοῦτο δηλοῖ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ τῶν ἑξῆς· 11Εὐθηνοῦσαι ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι ἐπὶ πλούτῳ, ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφύας σάκκους 12καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε ἐπὶ ἀγρῷ ἐπιθυμήματος καὶ ἐπὶ ἀμπέλῳ γενήματος. Ἐπειδὴ τὴν παρανομίαν οὐκ ὀλοφύρεσθε, τὰς διὰ ταύτην ὑμῖν ἐπαγομένας τιμωρίας θρηνεῖτε. 13Ἐν τῇ γῇ τοῦ λαοῦ μου ἄκανθα καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας ἀρθήσεται εὐφροσύνη. Καὶ ταῦτα τῆς ἐρημίας δηλωτικά. Πόλις πλουσία. Ἀντὶ τοῦ· πάλαι. 14Οἶκοι ἐγκαταλελειμμένοι, τουτέστιν· ἔσονται. Πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπιθυμήματος. Τοὺς γὰρ πολε μίους ὁρῶντες πάντων προτιμήσουσι τὴν φυγήν. Καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως αἰῶνος, εὐφροσύνη ὄνων ἀγρίων, βοσκήματα ποιμένων. Αὗται αἱ κῶμαι μέχρι καὶ τήμερον μεμενήκασιν ἔρημοι. Ἐνίων τὰ μὲν ὀνόματα εὑρίσκομεν ἐν τῇ γρ αφῇ, αὐτῶν δὲ τὰ ἴχνη μόνα παρ' ἐνίων ὁρᾶται. 15Ἕως ἂν ἔλθῃ ἐφ' ὑμᾶς πνεῦμα ἀφ' ὑψηλοῦ, καὶ ἔσται ἡ ἔρημος ὡς ὁ Χερμέλ, καὶ ὁ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται. Τὴν οὐρανόθεν ἐπιφοιτήσασαν χάριν μετὰ τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀνάληψιν ὁ λόγος δεδήλωκεν· μετὰ γὰρ ἐκείνην τὴν δωρεὰν |140 a| ἡ μὲν πάλαι ἔρημος–τουτέστι τὰ ἔθνη–ἡ προφητικὸν ἄροτρον οὐ δεξαμένη τοῦ Καρμήλου τὴν εὐκαρπίαν ἐδέξατο. Κάρμηλον δὲ τροπικῶς τὴν πάλαι Ἰουδαίοις ἐπανθήσασαν ὠνόμασε χάριν. Ἰουδαῖοι δὲ πάλαι ἤνθουν ἐν προφήταις καὶ δικαίοις καὶ ἱερεῦσι, νῦν δὲ τῶν δρυμῶν τὴν ἀκαρπίαν μεμίμηνται. Ταύτην δὲ τὴν μεταβολὴν κἀν τοῖς προηρμηνευμένοις δεδήλωκεν. 16Καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα, τουτέστιν· ἐν τοῖς ἔθνεσιν. Καὶ δικαι οσύνη ἐν τῷ Καρμήλῳ κατοικήσει. Ἐν τοῖς αὐτοῖς· τὴν γὰρ ἔρημον ὠνόμασε Κάρμηλον. 17Καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης εἰρήνη. Εἰρη νεύει γὰρ πρὸς θεὸν ὁ ταῖς θείαις ἑπόμενος ἐντολαῖς. Καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν. Τῆς γὰρ δικαιο σύνης καὶ τῆς πρὸς θεὸν εἰρήνης καρπὸς ἡ τῶν κακῶν τῶν παρόντων ἀπαλλαγὴ καὶ ὁ ἄλυπος βίος καὶ φροντίδων ἀπηλλαγμένος. Καὶ πεποιθότες ὦσιν ἕως τοῦ αἰῶνος. Βέβαιον γὰρ τῶν εἰς τὸν θεὸν πεπιστευκότων τὸ φρόνημα. 18Καὶ κατοικήσει ὁ λαός μου ἐν πόλει εἰρήνης καὶ ἐν πόλεσιν ἀμεριμνίας καὶ ἐν οἴκοις πεποιθήσεως, καὶ ἀναπαύ σονται μετὰ πλούτου. Πόλιν εἰρήνης τὴν ἐν τοῖς οὐρανοῖς λέγει· «Ἡ γὰρ ἄνω» φησὶν «Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν.» Πόλεις δὲ ἀμεριμνίας καὶ τὰς διαφόρους λέγει μονάς· «Πολλαὶ» γάρ φησι «μοναὶ παρὰ τῷ πατρί μου.» Ἔχουσι δὲ καὶ τὸν πλοῦτον τὸν ἄσυλον· «Θησαυρίζετε» γάρ φησιν «ὅπου σὴς καὶ βρῶσις οὐκ ἀφανίζει οὔτε κλέπται διορύττουσι καὶ κλέπτου σιν.» 19Ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. Καὶ κατὰ τὸν παρόντα δὲ βίον κρείττους διὰ τῆς ἐμῆς ἐπικουρίας τῶν πολεμούντων γενήσεσθε. Καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες ὡς ἐν τῇ πεδινῇ. Δρυμὸν τὰ ἔθνη προσηγόρευσε τὰ ἄκαρπα πάλαι καὶ πεδινὴν τὴν Ἰουδαίαν ὡς πάλαι καρποφοροῦσαν. Προλέγει τοίνυν ὡς ἀδεῶς τῆς ἀληθ είας οἱ κήρυκες καὶ μεταξὺ τῶν ἐθνῶν πολιτεύσονται. Εἰ δὲ καὶ κατὰ τὸ ῥητὸν βούλεταί τις τὸ χωρίον νοῆσαι, ὁράτω τοὺς ἐν ταῖς κορυφαῖς τῶν ὀρῶν ἀσκητάς, μόνους μὲν ἐνδιαιτωμένους ταῖς ἀκρωρεί αις , μᾶλλον δὲ θαρροῦντας ἢ τοὺς τὰς μεγίστας πόλεις οἰκοῦντας τῷ πλήθει τῶν οἰκητόρων. 20Μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ. Τὴν μίαν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν καὶ Ἰουδαίων συνειλεγμένην ὁ λόγος ᾐνίξατο. Ἀκάθαρτος γὰρ κατὰ νόμον ὁ ὄνος, τοιαῦτα δὲ ἦν καὶ τὰ ἔθνη πρὸ τῆς τοῦ σωτῆρος ἐπιφανείας· καὶ καθαρὸς δὲ κατὰ νόμον ὁ βοῦς, διὸ καὶ ὑπὲρ τοῦ ἀρχιερέως καὶ ὑπὲρ τοῦ λαοῦ προσεφέρετο. Καλεῖ τοίνυν ὄνον μὲν τοὺς ἐξ ἐθνῶν, βοῦν δὲ τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας, ὕδωρ δὲ τὸ λυτήριον τῶν ἁμαρτημάτων καὶ καθαρτήριον τῶν ψυχῶν, τὸ πανάγιον βάπτισμα, σπόρον δὲ τὸν διδασκαλικὸν λόγον. Ἐπειδὴ δὲ τὰ εἰρημένα ὑπέσχετο, πολλὰς δὲ τῆς ἀληθείας οἱ κήρυκες ὀδύνας ὑπέμενον ἐξελαυνόμενοι καὶ διωκόμενοι καὶ μαστιγούμενοι καὶ μυ ρία θανάτων ὑπομέ νοντες εἴδη, διὰ τῆς προφητικῆς αὐτοῦ γλώττης ὁ δεσπότης


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψυχαγωγεῖ· 331Οὐαὶ ὁ ταλαιπωρῶν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους. Οἱ διώκοντες ὑμᾶς φησιν ἄθλιοί εἰσι καὶ τρισάθλιοι, ὑμεῖς δὲ μακάριοι· οἱ μὲν γὰρ ἀδικοῦσιν, ὑμεῖς δὲ οὐκ ἀδικεῖσθε. Τοῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος· «Ἐν παντὶ θλιβόμενοι ἀλλ' οὐ στενοχωρού μενοι, ἀπορούμενοι οὐκ ἐξαπορούμενοι, διωκόμενοι ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι ἀλλ' οὐκ ἀπολλύμενοι.» Καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ. Τοῦτο καὶ ἐν τοῖς θείοις εὐαγγελίοις ἔφη πρὸς αὐτοὺς ὁ δεσπότης· «Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται καὶ ὁ ἀθετῶν ὑμᾶς οὐχ ὑμᾶς ἀθετεῖ ἀλλὰ τὸν ἀποστείλαντα ὑμᾶς.» Ἁλώσονται γὰρ οἱ ἀθετοῦντες καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίῳ οὕτως ἡττηθήσονται. Ταῦτα δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ὅταν συντελέσῃς ταλαιπωρίζων, ταλαιπωρηθήσῃ· ὅταν κοπιάσῃς ἀθετῶν, ἀθε τ<ηθ>ήσῃ.» Ἀντὶ τοῦ· Καθ' ἑαυτὸν τὸ ξίφος ὠθεῖς καί, τῷ πλησίον εἰ ὁ ρύττεις βόθρον, σαυτὸν ἐμβαλεῖς. Καὶ ὥσπερ τὸ ἱμάτιον τίκτει τὸν σῆτα καὶ ὑπὸ τοῦ σητὸς κατεσθίεται, οὕτω καὶ ὑμεῖς ὑπὸ τῆς πονηρίας ἣν ἐτέκετε καταναλωθήσ εσθε. Ἡμεῖς δὲ ταῦτα |140 b| με μαθηκότες τὴν μὲν τούτων ὁδὸν καταλίπωμεν, τῶν δὲ προφητῶν καὶ ἀποστόλων τὸν βίον ζηλώσωμεν, ἵνα σὺν αὐτοῖς τῶν ἐπηγγελμένων ἀπο λαύσωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ τὰς ἐπ αγγε λίας δεδωκότος Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ παναγίῳ πνεύματι δόξα πρέπει καὶ τιμὴ καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 10 ΤΟΜΟΣ Ι΄

2Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Προθεσπίσας ὁ προφήτης καὶ τῶν Ἀσσυρίων τὴν ἔφοδον καὶ τὸν ὄλεθρον καὶ τὴν μετὰ ταῦτα τῶν Ἰουδαίων αἰχμαλωσίαν καὶ τὴν τῆς Ἱερουσαλὴμ ἐρημίαν, εἶτα τὴν ἐπάνοδον καὶ τὰ μετὰ τὴν ἐπάνοδον γεγενημένα καὶ τὴν τῶν ἐθνῶν ἐκλογὴν καὶ τὴν τῶν Ἰουδαίων ἀποβολὴν καὶ τὰ τῶν ἀποστόλων κηρύγματα, τὴν ὑπὲρ τῶν Ἰουδαίων ἱκετείαν προσφέρει ὀλοφυρόμενος αὐτῶν τὴν ἀπιστίαν καὶ τὴν ἐντεῦθεν προσγε νομένην αὐτοῖς ἀπώλειαν· τοῦτο γὰρ καὶ διὰ τῶν ἑξῆς δεδήλωκεν. Ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώ λειαν, ἡ δὲ σωτηρία ἡμῶν παρὰ σοῦ ἐν καιρῷ θλίψεως. Κέκληκε δὲ αὐτοὺς οὐ μόνον ἀπειθοῦντας ἀλλὰ καὶ σπέρμα ἀπειθούντων, ἐπειδὴ καὶ αὐτοὶ καὶ οἱ πατέρες τὴν αὐτὴν ἐσχήκασι γνώμην. 3Διὰ τὴν φωνὴν τοῦ φόβου σου ἐξέστησαν λαοί, καὶ ἀπὸ τῆς ὑψώσεώς σου διεσπάρη τὰ ἔθνη. Τότε μὲν ἐν τῷ κατὰ τοὺς Ἀσσυρίους θαύματι τοῦτο ἐγένετο, χρόνῳ δὲ ὕστερον τὰ ἀποστολικὰ θαύματα καὶ εἰς θαῦμα το ύτους διήγειρε καὶ τὴν κακὴν διεῖλεν ὁμόνοιαν· δίκην γὰρ μαχαίρας ὁ θεῖος λόγος διεῖλεν υἱὸν ἀπὸ πατρὸς καὶ θυγατέρα ἀπὸ μητρός. 4Νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν ἀπὸ μικροῦ ἕως μεγάλου, ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδα· ὡς ἀπὸ βοθύνων οὕτως ἐμπαίξουσιν ὑμῖν. Τὴν πολλὴν εὐκολίαν τοῦ ἀποστολικοῦ κηρύγματος ἔδειξεν. Καθάπερ γάρ φησιν εὐπετές ἐστιν ἀκρίδας συναγαγεῖν, οὕτως ἐκεῖνοι τοὺς γενομένους σκῦλα τοῦ διαβόλου καὶ συλλέξουσι καὶ τῷ σωτῆρι προσοίσουσιν. Τὸ δὲ ἐμπαίξουσι παρ' οὐδενὶ τῶν Ἄλλων εὕρομεν Ἑρμηνευτῶν. Αἰνίττεται δὲ ὁ λόγος ὡς οἶμαι τὴν ἀποστολικὴν μεγαλοφ ροσύν ην, δι' ἣν παντὸς τοῦ δήμου τῶν Ἰουδαίων κατ<ὰ τ>αὐτὸν κατεφρόνουν. Οὕτως ὁ μακάριος Στέφανος ἐβόα · «Σκληροτράχηλοι καὶ ἀπε ρίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς», οὕτω τὸ ἱερὸν ζεῦγος τῶν ἀποστόλων Πέτρος καὶ Ἰωάννης ἔλεγον· «Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.» 5Ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν ὑψηλοῖς. Ὑψηλοὺς τοὺς μεταρσίους λέγει τὴν διάνοιαν· τούτους γὰρ οἰκητήριον ἀπειργάσατο θεῖον. Διὸ καὶ ὁ θεῖος ἔλεγε Παῦλος· «Οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν ὑμῖν;» Ἔχεται τοίνυν τῆς ἀκολουθίας ὁ προφητικὸς λόγος· ὑποδείξας γὰρ τοὺς ἱεροὺς ἀποστόλους, οἰκητήριον αὐτοὺς καλεῖ τοῦ τῶν ὅλων θεοῦ. Ἐνεπλήσθη Σιὼν κρίσεως καὶ δικαιοσύνης. Τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας Σιὼν καλεῖ, ὡς πολλάκις προαπε δείξαμεν. Εἰ δὲ καὶ τὴν Ἱερουσαλὴμ τις ἐνταῦθα σημαίνεσθαι βούλεται, ἔχει καὶ οὕτως ἡ προφητεία τὸ ἀληθές· πολλαὶ γὰρ ἐν αὐτῇ μυ ριά δες ἐπίστευσαν· καὶ μάρτυς ὁ μέγας Ἰάκωβος ταύτας ὑποδεικνὺς καὶ λέγων· «Θεωρεῖς ἀδελφέ, πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσιν.» Οὗ δὴ χάριν καὶ ὁ προφητικὸς ἐπήγαγε λόγος· 6Ἐν νόμῳ παραδοθήσονται. Τουτέστι τῇ καινῇ διαθήκῃ· τοῦτο γὰρ οἱ Τρεῖς Ἑρμηνευταὶ δεδηλώκασιν. Ὁ μὲν γὰρ Θεοδοτίων ἔφη<· «Καὶ ἔσται πίστις ὁ καιρός σου», ὁ δὲ Σύμμαχος>· «Καὶ ἔσται πίστις τοῦ καιροῦ σου», ὁ δὲ Ἀκύλας. «Καὶ ἔσται πίστις οἱ καιροί σου.» Τὰς δὲ τρεῖς ἑρμηνείας παρέθηκα, ἵνα τῆς διανοίας δείξω τὴν συμφωνίαν· καὶ οἱ Ἑβδομήκοντα τοιγαροῦν νόμον τὴν καινὴν ἐκάλεσαν διαθήκην, ἣν οἱ Λοιποὶ «πίστιν» ὠνόμασαν. Ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν. Ἐν ἐλπίσι γὰρ τοῖς ἁγίοις ἀπόκειται τὰ ἀγαθά. Διά τοι τοῦτο καὶ ὁ θεῖος ἀπόστολος βοᾷ· «Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; Εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχό μεθα», καὶ πάλιν· «Ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ». Ἐκεῖ σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς κύριον· οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης. Οἱ γὰρ ταῦτα μεμαθηκό τες τῶν μελλόντων ἀπολαύσουσιν ἀγαθῶν. Σοφίαν δὲ καὶ ἐπιστήμην καὶ εὐσέβειαν καλεῖ τὴν τοῦ δεσπότου διδ ασκαλίαν· καὶ γὰρ ὁ θεῖος ἀπόστολός φησιν· «Ἐδόθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ |141 a| ἁγιασμὸς καὶ ἀπολύτρωσις.» 7Ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν αὐτοὶ φοβηθήσονται· οὓς ἐφοβεῖσθε, φοβηθήσονται ἀφ' ὑμῶν. Καὶ τῆσδε τῆς προφη τείας θεωροῦμεν τὸ τέλος· καὶ γὰρ Ἰουδαίων καὶ Ἑλλήνων οἱ πάλαι τὰς ἐκκλησίας διώκοντες ταύτας δεδίασι καὶ πεφρίκασιν· καὶ οἱ πάλαι δὲ τοῖς ἀνθρώποις φοβεροὶ δαίμονες νῦν τῆς εὐσεβείας τοὺς τροφίμους δειμαίνουσιν. Ἄγγελοι ἀποσταλήσονται ἀξιοῦντες εἰρήνην, πικρῶς κλαίον τες· 8ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί. Διέφθειρεν ὁ δεσπότης Χριστὸς διὰ τῶν τῆς εὐσεβείας κηρύκων καὶ αὐτὰς τῆς τῶν εἰδώλων πλάνης τὰς ἀτραπούς· ἐκ βάθρων γὰρ ἀνέσπασε τὰ τῶν δαιμόνων τεμένη. Καὶ αὐτοὶ δὲ οἱ πάλαι θεοποιούμενοι δαίμονες παρὰ τὰς τῶν ἁγίων μαρτύρων μαστιγούμενοι θήκας πικρῶς ὀλοφύρονται. Οὕτω καὶ αὐτὸν ἐνανθρωπήσ αντα τὸν θεὸν λόγον ἱκέτευον λέγοντες· «Τί ἡμῖν καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ; Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; Ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων.» Πέπαυται ὁ φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογίσησθε αὐτοὺς ἀνθρώπους. Τοῦτο πάλιν οἱ Τρεῖς οὕτως ἡρμήνευσαν· «Ἐπαύσατο διοδεύων τρίβον, διεσκέδασε διαθήκην, ἀπώσατο πόλεις, οὐκ ἐλογίσατο ἀνθρώπους.» Ἐπειδὴ γὰρ εἶπεν ἀνατετράφθαι τὰς ἐπιβλαβεῖς ἀτραπούς, ἐπέμεινε διδάσκων ὡς ἀπέστησαν τῶν τρίβων ἐκείνων οἱ πάλαι διοδεύοντες καὶ τὴν πρὸς τὰ εἴδωλα διαθήκην ἐσκέδασαν. Καὶ οἱ Ἑβδομήκοντα δὲ ταὐτὸ τοῦτο σημαίνουσιν, ὅτι ἐπαύσατο ὁ μάταιος τῶν ἐθνῶν φόβος, τοὺς δὲ τῇ πλάνῃ προστετηκότας οὐδὲ τοῖς ἀνθρώποις συναριθμοῦσιν. 9Ἐπένθησεν ἡ γῆ, οἱ τὰ γήινα φρονοῦντες. Ἠσχύνθη ὁ Λίβανος, τῶν εἰδώλων ἡ τυραννίς. Ἕλη ἐγένετο ὁ Ἀσηρών. Τ ῶν ὑπὸ νόμον τὴν ἀκαρπίαν διὰ τούτων ᾐνίξατο· τῆς γὰρ αὐτῶν χώρας ὁ Ἀσηρών. Φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος. Κάρμηλον πολλάκις τὴν ἔρημον προσηγό ρευσε, τοῦτο αὐτῇ τὸ ὄνομα τεθεικὼς μετὰ τὴν <τῶν> πραγμάτων μεταβολήν. Τῇ δὲ Γαλιλαίᾳ καὶ ἤδη προείρηκε τὰ ἀγαθά· «Γαλιλαία» γὰρ «τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθή μενος ἐν σκότει, εἶδε φῶς μέγα.» Τί δὲ οὕτω περιφανὲς ἐγένετο καὶ περίβλεπτον; οἱ ἐκ τῆς Γαλιλαίας ἀπόστολοι. 10Νῦν ἀναστήσομαι, λέγει κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι, 11νῦν ὄψεσθε, νῦν αἰσθήσεσθε. Πάλαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ὑπὸ τῶν πλείστων ἀγνοούμενος διὰ τῶν εὐαγγελικῶν θαυμάτων γνωσθήσομαι, καὶ τῆς πλάνης ἀπαλλαγέντες οἱ ἄνθρωποι ἐπιγνώσονταί με τῶν ὅλων τὸν ποιητήν. Ματαία ἔσται ἡ ὕβρις τοῦ πνεύματος ὑμῶν. Πρὸς Ἰουδαίους λέγει τοὺς καὶ σταυρώσαντας καὶ τῇ ἀπιστίᾳ προσμείναντας. Πῦρ ὑμᾶς κατέδεται, τὸ αἰώνιόν τε καὶ ἄσβεστον. 12Καὶ ἔσται ἔθνη κατακεκαυμένα ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυμένη, οἱ τὸ σωτήριον μὴ δεξάμενοι κήρυγμα. 13Ἀκούσονται οἱ πόρρωθεν ἃ ἐποίησα, γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. Ἀκριβεστέραν γὰρ ἔχουσι τὴν γνῶσιν οἱ «ἐν νόμῳ κυρίου μελετῶντες ἡμέρας καὶ νυκτός», καὶ οἱ πόρρωθεν δὲ θαυμάσουσιν ἀκούοντες τὸ τῆς οἰκο νομίας μυστήριον. 14Ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, τρόμος λήψεται τοὺς ἀσεβεῖς. Οὐ πάντας ἔφη ἀποστήσεσθαι τοὺς ἐν Σιὼν ἀλλὰ τοὺς ἀνόμους· οὐδὲ πάντας ἔφη δέξεσθαι τὴν τοῦ δέους ὑπερ βολὴν ἀλλὰ τοὺς ἀσεβείᾳ συζῶντας. Εἶτα προαγορεύει τῆς γεέννης τὴν φλόγα· Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; Τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; Διδάσκει καὶ τῶν ταῦτα κηρυττόντων τὴν ἀρετήν· 15Πορευόμενος ἐν δικαιοσύνῃ, τουτέστι τὴν θείαν ὁδεύων ὁδόν. Λαλῶν εὐθέα ἐν ὁδῷ, ἐκεῖνα κηρύττων ἃ παρὰ τῆς ἀληθείας μεμάθηκεν. Οὕτως αὐτῶν δείξας τὴν περὶ τὰ κρείττω τῆς διανοίας σπουδήν, δεί κνυσι καὶ τὸ περὶ τἀναντία μῖσος· Μισῶν ἀνομίαν καὶ ἀδικίαν καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα τοῦ μὴ ἀκούειν κρίσιν αἵματος ἀδίκου καὶ καμμύων τοὺς ὀφθαλμοὺς αὐτοῦ ἵνα μὴ ἴδῃ ἀδικίαν. Πάντων τῶν αἰσθητηρίων τοῦ σώματος τὸν κόσμον ὑπέδειξεν· τὸ στόμα λαλοῦν τὴν τῶν δογμάτων εὐθύτητα, τὰς χεῖρας δωροδοκίας ἀπεχομένας, τὰ ὦτα τοῖς ἀδίκοις λόγ οις τὰς εἰσό δους ἀποτειχίζοντα, τοὺς ὀφθαλμοὺς τοῖς ἐκ φύσεως κεχρημένους καλύμμασι καὶ περιορᾶν οὐ κ ἀνεχομένους τὰ παρανόμως γινόμενα. Εἶτα τούτων ........................· |141 b| 16Οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. Ἔχει γὰρ τὸ ἀσάλευτον ἐπὶ τῆς πέτρας ἐρηρεισμένος. Περιττὸς δὲ αὐτῷ καὶ ὁ πλοῦτος· μόνων γὰρ τῶν ἀναγκαίων μεταλαγχάνει· «Ἀρχὴ» γὰρ «ζωῆς ἀνθρώποις» κατὰ τὸν σοφὸν «ἄρτος καὶ ὕδωρ.» Τὸ δὲ τούτων ὕδωρ καὶ πιστὸν ὀνομάζει, καὶ οἶμαι τὸ μυστικὸν διὰ τούτου σημαίνεσθαι. Εἶτα δείκνυσι τῆς ἀρετῆς τοὺς καρπούς· 17Βασιλέα μετὰ δόξης ὄψεσθε. Τὸν ἐπουράνιον λέγει ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ ἐπὶ τοῦ θρόνου τῆς δόξης καθήμενον κατὰ τὴν αὐτὴν τοῦ κυρίου φωνήν. Καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται γῆν πόρρωθεν. Οὐ σκοποῦσι γὰρ κατὰ τὸν θεῖον ἀπόστολον «τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια». 18Καὶ ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον. Ὁ γὰρ τοῦ θεοῦ φόβος τῆς ἀρετῆς συνεργὸς καὶ τῶν ἀγαθῶν χορηγός. Ποῦ εἰσιν οἱ γραμματικοί; Ποῦ εἰσιν οἱ σύμβουλοι; Ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς ἀναστρεφομένους, 19μικρὸν καὶ μέγαν λαόν; Οὕτω καὶ ὁ θεῖος ἀπόστολος δείξας τὴν σωματικὴν τῶν κηρύκων ἀσθένειαν ἐπήγαγεν· «Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;» Διελή λε<γ>κται γὰρ καὶ τῆς Ἑλληνικῆς φιλοσοφίας τὸ ψεῦδος καὶ τῆς Φαρισαϊκῆς διδασκαλίας ὁ φθόνος. Τούτοις ἐπήγαγεν ὁ προφήτης· Ὡς οὐ συνεβουλεύσαντο οὐδὲ ᾔδει βαθύφωνον ὥστε μὴ ἀκοῦσαι. Τοῦτο δὲ οἱ Τρεῖς οὕτως ἡρμήνευσαν· «Οὐκ ὄψει λαὸν βαθὺν χείλεσιν ὥστε μὴ ἀκοῦσαι διάλεκτον γλώσσης.» Ἀντὶ τοῦ· ὁμόγλωττοί σού εἰσιν οἱ κήρυκες τῆς ἀληθείας, Ἑβραῖοι τὸ γένος, ἐν τῇ Γαλιλαίᾳ τραφέντες, τὴν αὐτήν σοι γλῶτταν ἔχοντες, ἀλλ' ἑκὼν οὐκ ἐπαΐεις τῶν λεγομένων. Τοῦτο γὰρ δεδήλωκε διὰ τῶν ἑξῆς· Λαὸς ὁ πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. Τῆς θείας γὰρ γνώσεως ἑκόντες σφᾶς αὐτοὺς ἀπεστέρησαν, οὗ δὴ χάριν καὶ ἀπερρίφησαν καὶ εὐκαταφρόνητοι πᾶσιν ἀνθρώποις ἐγένοντο. Οὕτω δείξας ὁ προφητικὸς λόγος καὶ τῆς ἀ ληθ είας τοὺς κήρυκας διαλάμποντας καὶ τοὺς ἀντιτείνοντας ἐν αἰσχύνῃ, τῶν εὐσεβῶν πάλιν ὀνο μάζει τὸ σύστημα καὶ τὴν Σιὼν αὐτοῖς καὶ τὴν Ἱερουσαλὴμ ἀπεικάζει· 20Ἰδοὺ Σιὼν ἡ πόλις τὸ σωτήριον ἡμῶν· οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀφθαλμοί σου ὄψονται, Ἱερουσαλὴμ πόλις πλουσία. Ὥσπερ τοὺς Ἰουδαίους ἐξ Ἀβραὰμ τὸ γένος κατάγοντας, τὴν ἐ κείνου δὲ ζηλῶσαι πίστιν οὐκ ἐθελήσαντας ἄρχοντας Σοδόμων καὶ λαὸν Γομόρρας ὠνόμασεν, οὕτω τὴν ἐξ ἐθνῶν ἐκκλησίαν τὰ πνευματικὰ δεξαμένην χαρίσματα Ἱερουσαλὴμ καὶ Σιὼν προσαγορεύει. Καὶ γὰρ ἐν τοῖς πρόσθεν ἡρμηνευμένοις καὶ τὴν ἔρημον καὶ τὸν Λίβανον ὠνόμασε Κάρμηλον, αὐτὸν δὲ τὸν Κάρ μηλ ον δρυμὸν προσηγόρευσεν. Πλουσίαν δὲ ὀνομάζει τοῦ θεοῦ τὴν ἐκκλησίαν τὸν πνευματικὸν αὐτῆς πλοῦτον ἐπιδεικνύς. Μαρτυρεῖ δὲ τῇ προφητείᾳ ὁ ἀπόστολος οὕτω λέγων· «Ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει.» Σκηναὶ αἳ οὐ μὴ σαλευθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάτταλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαρραγῇ. Καὶ ἐντεῦθεν δῆλον ὡς οὐδαμῶς ἁρμόττει τῇ παλαιᾷ Ἱερουσαλὴμ τὰ τῆσδε τῆς προφητείας ῥητά· ἐκείνη γὰρ ἐσαλεύθη καὶ κατελύθη καὶ ἐρημίαν ἐδέξατο παντελῆ, ἡ δὲ νέα– τουτέστιν αἱ κα τὰ τὴν οἰκουμένην τοῦ θεοῦ σκηναὶ–τὸ ἀσάλευτον ἔχουσι κατὰ τὴν τοῦ κυρίου φωνήν· «Ἐπὶ ταύτῃ γὰρ τῇ πέτρᾳ» φησὶν «οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.» Πασσάλους δὲ τῆς σκηνῆς ἡγοῦμαι καλεῖσθαι τοὺς θείους ἀποστόλους, τοὺς νικηφόρους μάρτυρας. Καθάπερ γὰρ τῶν σκηνῶν οἱ πάσσαλοι ἐν τῇ γῇ κεκρυμμένοι τὴν στάσιν ταῖς σκηναῖς πραγματεύονται, οὕτως ἐκεῖνοι δεξάμενοι τοῦ βίου τὸ πέρας καὶ ἐν τῇ γῇ κεκρυμμένα τὰ σώματα ἔχοντες τὰς θείας ὑπερείδουσιν ἐκκλησίας· σχοινίοις δὲ ἔοικεν ἐκ τῶν πασσάλων μέχρι τῶν σκηνῶν διήκουσι τὰ σωτήρια ἐκείνων παιδεύματα, δι' ὧν ἀκίνητος μένει τῶν εὐσεβεῖν προαιρουμένων ἡ πίστις. 21Διότι τὸ ὄνομα κυρίου μέγα ὑμῖν, τόπος ὑμῖν ἔσται. Ἐν τῷ ὀνόματι κυρίου καὶ τὰ θαύματα ἐγένετο καὶ τὸ σωτήριον ἐπιτελεῖται βάπτισμα καὶ ἡ μυστικὴ τροφὴ μετα βάλλεται· διὰ τούτου τοῦ ὀνόματος τοὺς οἰκοδομουμένους τῷ θεῷ ναοὺς ἁγιάζομεν. Ἐν ᾧ ποταμοὶ καὶ διώρυγες πλατεῖς καὶ εὐρύχωροι. Ποταμοὶ μὲν οἱ πρῶτοι τῆς ἀληθείας κήρυκες, διώρυγες δὲ οἱ ἐκείνων μαθηταὶ καὶ διάδοχοι ἐξ αὐτῶν μὲν ἕλκοντες τὰ σωτήρια δογμάτων ῥεῖθρα, ἄρδοντες δὲ τὸν θεῖον παράδεισον. Οὐ πορεύσῃ ταύτην τὴν ὁδόν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. Ὁ γὰρ θεός μου μέγας ἐστίν· οὐ παρελεύσεταί με. Τοῦτο <ὁ> Ἀκύλας οὕτως ἡρμήνευ σεν· «Οὐ μὴ πορευθῇ ἐν αὐτῷ ναῦς κώπης, καὶ τριήρης ὑπερμεγέθης οὐ διαβήσεται αὐτό.» |142 a| Ἀντὶ τοῦ· κρείττων ἐστὶ τῶν πολεμίων, οὐδεμίαν ἔχει πάροδον διὰ τόνδε τὸν ποταμὸν τριήρης πολεμική· μέγας γάρ ἐστι τῶν ἐκκλησιῶν ὁ θεὸς καὶ παρορᾶν αὐτὰς οὐκ ἀνέχεται. Τοῦτο γὰρ καὶ διὰ τῶν ἐπιφερομένων δεδήλωκεν· 22Κύριος κριτὴς ἡμῶν, κύριος ἄρχων ἡμῶν, κύριος βασιλεὺς ἡμῶν, κύριος σωτὴρ ἡμῶν αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Πάντα πόρον ἀγαθὸν δι' αὐτοῦ κεκομίσμεθα. Τούτου δὴ χάριν καὶ τὴν ἡγεμονίαν αὐτοῦ καὶ τὴν βασιλείαν μεθ' ἡδονῆς ἀσπαζόμεθα. Αὐτὸς γὰρ ἡμῖν χορηγὸς σωτηρίας. Οὕτω τῆς ἐκκλησίας τὸ βέβαιον δείξας τῆς Ἰουδαίων πληθύος τὴν ἀπιστίαν ἐλέγχει· 23Ἐρράγη τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν. Περὶ τῆς ἐκκλησίας ἔφη ὅτι «εἰς τὸν αἰῶνα οὐ μὴ κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαρραγῇ»· ἐνταῦθα δὲ λέγει ταῦτα διαρραγῆναι. Καὶ τὴν αἰτίαν διδάσκει· ὅτι οὐκ ἐνίσχυσεν· οὐ γὰρ ἔσχε τῆς πίστεως τὴν ἰσχύν. Ἐναντία τοίνυν ταῦτα ἐκείνοις, καὶ δῆλον ὡς περὶ ἄλλων μὲν ἐκεῖνα προείρηται, περὶ ἑτέρων δὲ ταῦτα προλέγει οὕτως. Ὁ ἱστός σου ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία σου, οὐκ ἀρεῖ σημεῖον, ἕως ἂν παραδοθῇς εἰς προνομήν. Διὰ τὴν αὐτήν φησιν ἀπιστίαν καὶ ὁ ἱστός σου ἔκλινεν. Πλὴν τέως ἀνέχομαι καὶ παρ' αὐτὴν τοῦ σταυροῦ τὴν μανίαν οὐκ ἐπάγω τὴν τιμωρίαν· ἀλλ' ὅμως οὐδὲ αὕτη σε ἡ μακροθυμία πείσει δέξασθαι τὸ σημεῖον τῆς σωτηρίας, ἕως ἂν τῇ Ῥωμαίων δουλείᾳ παραδοθῇς. Τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσι 24καὶ οὐ μὴ εἴπωσιν· Κοπιᾷ ὁ λαὸς ὁ ἐνοικῶν ἐν αὐτῇ. Ἀφέθη γὰρ αὐτοῖς ἡ ἁμαρτία. Χωλοὺς τοὺς Ῥωμαίους


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκάλεσε διὰ τὴν ἀσέβειαν ἣν εἶχον, ἡνίκα ταύτην ἐπολιόρκουν· τούτοις δὲ λέγει καὶ τὴν ἁμαρτίαν ἀφεθῆναι τὸν θεῖον ἐμπρήσασι νεών, ἐπειδὴ τῆς θείας οὗτος ἐγυμνοῦτο χάριτος. Ἐντεῦθεν εἰς ἑτέραν ὑπόθεσιν ὁ προφητικὸς με ταβέβηκε λόγος καὶ προλέγει τά τε τῇ Ἰουδαίᾳ ἐσόμενα λυπηρά, ἁρμόττει δὲ ἡ προφητεία καὶ τοῖς κατὰ τὸν τῆς συντελείας ἐσομένοις καιρόν. 341Προσαγάγετε ἔθνη καὶ ἀκούσατε, ἄρ χοντες προσέχετε· ἀκουσάτω ἡ γῆ καὶ οἱ ἐν αὐτῇ, ἡ οἰκουμένη καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. 2Διότι ὁ θυμὸς κυρίου ἐπὶ πάντα τὰ ἔθνη καὶ ἡ ὀργὴ αὐτοῦ ἐπὶ πάντα τὸν ἀριθμὸν αὐτῶν τοῦ ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι αὐτοὺς εἰς σφαγήν. Ταῦτα καὶ περὶ τῆς συντελείας ἐν τοῖς ἱεροῖς εὐα γγελίοις ὁ δεσπότης προείρηκεν· «Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν καὶ ἔσονται σεισμοὶ καὶ λοιμοί.» Ταῦτα καὶ ὁ προφητικὸς ἐδίδαξε λόγος. Καὶ προστέθεικεν ὅτι καὶ τραυματιῶν ἡ γῆ καὶ νεκρῶν πληρωθή σεται καὶ ἡ δυσοσμία αὐτῶν τὸν ἀέρα κεράσει καὶ τὸ αἷμα τὴν γῆν καταβρέξει. Ἐπήγαγε δὲ ὅτι 4καὶ τακήσονται αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ εἱλιχθήσεται ὡς βιβλίον ὁ οὐρανός, καὶ πάντα τὰ ἄστρα τοῦ οὐρανοῦ πεσεῖται ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου καὶ ὡς ἐκρεῖ φύλλα ἀπὸ συκῆς. Καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις φησὶν ὅτι «αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθή σονται», καὶ ὁ μακάριος Δαυὶδ περὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς· «Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.» Καὶ περὶ τοῦ ἡλίου καὶ τῆς σελήνης ἔφη· «Τότε σκοτισθήσεται ὁ ἥλιος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς.» 5Ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ· ἰδοὺ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρίσεως. Οὐρανὸν οἶμαι τροπικῶς ἐνταῦθα τὴν Ἱερουσαλὴμ ὀνομάζεσθαι. Ὥσπερ γὰρ ὁ οὐρανὸς οἰκητήριον ὑπείληπται τοῦ θεοῦ, οὕτω καὶ ὁ ἐν Ἱεροσολύμοις νεώς. Ἐπειδὴ τοίνυν Ἰδουμαῖοι ἐφήσθησαν τῇ τῶν Ἰουδαίωνπληγῇ καὶ τῇ τῶν Βαβυλωνίων νίκῃ, προλέγει τὰ ἐσόμενα αὐτοῖς ἀλγεινά. Ὅτι δὲ ταῖς Ἰουδαίων ἐνετρύφων συμφοραῖς, καὶ ὁ μακάριος ἡμᾶς δι δάσκει Δαυίδ · «Μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ τῶν λεγόντων· Ἐκκενοῦτε ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς»· ἀντὶ τοῦ· καταλύσατε καὶ κατασπάσατε καὶ πρόρριζον ἀνασπά σατε. Διὰ τοῦτό φησιν ὁ θεὸς ὅτι σείων μετὰ κρίσεως τὴν μάχαιραν αὐτοῦ ἐπὶ τῆς Ἰδουμαίας χωρήσει ὡς δικαίαν αὐτοὺς κα........ ποινήν. 6Ἡ μάχαιρα κυρίου ἐνεπλήσθη αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵματος ταύρων καὶ ἀμνῶν καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν. Ταύρους καὶ τράγους καὶ κριοὺς τοὺς ἄρχοντας καλεῖ, ἀμνοὺς δὲ τοὺς ὑπηκόους· μάχαιραν δὲ θεοῦ τοὺς πολεμίους. Τὸ δέ· ἐνεπλήσθη ἀπὸ αἵματος καὶ ἐπαχύνθη ἀπὸ στέατος, τῶν ἀνῃρημένων τὸ πλῆθος δηλοῖ. Εἶτα θυσίαν κυρίου καλεῖ τὴν ἐκείνων σφαγὴν ὡς δικαίαν οὖσαν καὶ κατὰ θείαν ψῆφον γεγενημένην. Ἁδροὺς δὲ πάλιν τοὺς εὐπόρους προσαγορεύει, καὶ ἐκ τοῦ αἵματος καὶ ἐκ τοῦ |142 b| στέα τος τούτων λέγει τὴν γῆν ἐμπλησθή σεσθαι· οὐδενὸς γὰρ τὰ σώματα κατακρύπτοντος τοῦ δυσώδους ἰχῶρος ἐνεπίπλατο πᾶσα τῆς γῆς ἐκείνη<ς> ἡ ἐπιφάνεια. 8Ἡμέρα γὰρ κρίσεως κυρίου καὶ ἐνιαυτὸς ἀντα ποδόσεως τῇ κρίσει Σιών. Διὰ γὰρ τὴν εἰς τὴν Σιὼν ἀδικίαν ταῦτα ὑπέμειναν Ἰδουμαῖοι. 9Καὶ στραφήσονται αἱ φάραγγες αὐτῆς εἰς πίσσαν καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον, καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσσα καιομένη 10νυκτὸς καὶ ἡμέρας καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον. Θεῖον πάλιν καὶ πῦρ τὴν τιμωρίαν ἐκάλεσε καὶ τὴν ἐκ ταύτης ἐσομένην ἐρημίαν· καὶ γὰρ «ἐπὶ τὰ Σόδομα ἔβρεξέ» φησι «κύριος πῦρ καὶ θεῖον.» Τὸ δέ· οὐ σβεσθή σεται εἰς τὸν αἰῶνα χρόνον, τὴν ἐρημίαν δηλοῖ· καὶ γὰρ μέχρι καὶ τήμερον τὰ πλεῖστα τῆς Ἰδουμαίας μεμένηκεν ἔρημα. Ἰδουμαία δέ ἐστιν ἡ τοῦ <Ἠ>σαῦ χώρα· φασὶ δὲ τὴν Πέτραν ταύτης εἶναι μητρόπολιν. Καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄνω, καὶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἐρημωθήσεται καὶ εἰς χρόνον πολύν, καὶ οὐκ ἔσται ὁ παραπορευόμενος δι' αὐτῆς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἔδειξε τὰ μὲν αὐτοῖς παντε λῶς καὶ εἰς τὸν αἰῶνα ἠρημωμένα, τὰ δὲ ἐπὶ πλεῖστον ἀοίκητα μένοντα. Καὶ μαρτυρεῖ τὰ ὁρώμενα τῇ προφητείᾳ· ἐνίων μὲν γὰρ κωμῶν καὶ πόλεων οὐδὲ τὰ ἴχνη ὁρᾶται, τὰ δέ γε οἰκούμενα ὀλιγοστοὺς οἰκήτορας ἔχει. 11Καὶ κατοικήσει ἐν αὐτῇ ὄρνεα καὶ ἐχῖνοι, καὶ ἴβεις καὶ κόρακες κατοικήσουσιν ἐν αὐτῇ. Τοῖς ἐρημοτέροις ἐμφιλοχωρεῖ ταῦτα χωρίοις. Καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου. Οἱ δὲ Ἄλλοι Ἑρμηνευταὶ οὕτω τοῦτο τεθείκασιν· «Καὶ ἐκταθήσεται ἐπ' αὐτὴν μέτρον γεωμέτρου καὶ λίθοι συγχύσεως.» Τὸ μέτρον σημαίνει τῆς τιμωρίας τὸ δίκαιον· «Ὧ μέτρῳ» γάρ φησι «μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.» Ἡ δὲ σύγχυσις τῶν λίθων δηλοῖ τῶν οἰκοδομῶν τὴν κατάλυσιν. Καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ. Καὶ ἤδη προειρήκαμεν ὡς τῇ συνηθείᾳ τῶν ἀνθρώπων ὁ προφητικὸς λόγος κέχρηται καὶ ἀπὸ τῶν παρὰ ἀνθρώποις πολιτευομένων ὀνομάτων προσαγορεύει τοὺς δαίμονας· καλεῖ τοίνυν ὀνοκενταύρους τὰς παρά τινων ὀνοσκελίδας καλουμένας. Τοῦτο εὑρίσκομεν καὶ ἐπὶ τῶν ἀστέρων ποιοῦσαν τὴν θείαν γραφήν· καὶ κα λεῖ τὸν μὲν Ὠρίωνα, τὴν δὲ Πλειάδα καὶ τὸν μὲν Ἀρκτοῦρον, τὸν δὲ Ἕσπερον, οὐκαὐτὴ τὰς προσηγορίας ἐπ ιθεῖσα ἀλλὰ ταῖς τῶν ἀνθρώπων ὀνομασίαις ἀκολουθοῦσα εἰς δήλωσιν τῶν λεγομένων. Εἶτα διδάσκει καὶ τῶν β ασιλέων καὶ τῶν ἀρχόντων τὸν ὄλεθρον καὶ ὅτι ἀκάνθινα ξύλα αἱ πόλεις βλαστήσουσι διὰ τὴν πολλὴν τῶν οἰκητόρων. 13Καὶ ἔσται ἔπαυλις σειρήνων καὶ αὐλὴ στρουθῶν, 14καὶ συναντήσεται δαιμόνια <ὀνοκενταύροις, καὶ βοήσουσιν ἕτερος πρὸς τὸν ἕτερον· ἐκεῖ ἀναπαύσονται> ὀνοκένταυροι, εὗρον γὰρ ἑαυτοῖς ἀνά παυσιν· 15ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας. Διὰ πάντων τῶν εἰρημένων τὴν πολλὴν ἐρημίαν δεδήλωκεν. Οὕτω γάρ φησι στερηθήσεται τῶν ἐνοικούντων, ὡς ἀδεῶς τοὺς ἐχίνους τεκεῖν καὶ τὰ γεννώμενα ἀσφαλείας τυχεῖν καὶ τοὺς εἰς πολλὰς ἰδέας μετασχηματιζομένους δαίμονας σχολῆς ἀπολαύοντας ἀλλή λοις προσδιαλέγεσθαι. Ἐκεῖ συνήντησαν ἔλαφοι καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων· 16ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησεν, ὅτι κύριος ἐνετείλατο αὐτοῖς καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς. 17Καὶ αὐτὸς ἐπιβαλεῖ αὐταῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισεν αὐτοὺς βόσκεσθαι εἰς τὸν αἰῶνα χρόνον κληρονομῆσαι αὐτὴν γενεαῖς γενεῶν, καὶ ἀναπαύσονται ἐπ' αὐτῆς. Καὶ ταῦτα ὁμοίως τὴν ἐρημίαν τῶν οἰκτόρων δηλοῖ· ἀδεῶς γὰρ τὰ ἄγρια νέμεται ζῷα τῶν θηρευόντων οὐκ ὄντων. Τοῦτο δὲ καὶ ὁ προφητικὸς δεδήλωκε λόγος· καὶ μία αὐτῶν οὐκ ἀπώλετο καὶ ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησεν· δέδωκε γὰρ αὐταῖς φησιν ὁ κύριος τὴν ἄδειαν τῆς νο μῆς καταψηφισάμενος τῆς χώρας ἐκείνης ἐρημίαν ἀνθρώπων. Ταῦτα ἐκείνοις προαγορεύσας με ταφέρει τὸν λόγον εἰς τὴν πάλαι ἔρημον, εἶτα Κάρμηλον καὶ Σιὼν καὶ Ἱερουσαλὴμ ὀνομασθεῖσαν, καί φησιν· 351Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἡ ἔρημος καὶ ἀνθείτω ὡς κρίνον. Διψῶσαν αὐτὴν καλεῖ ὡς μὴ δεξαμένην ἀρδείαν προφητικήν, ἔρημον δὲ ὡς γεωργίαν θείαν μὴ δεξαμένην. Ταύτῃ εὐφραίνεσθαι παρεγγυᾷ καὶ τοῦ κρίνου μιμεῖσθαι τὸ ἄνθος. Αἰνίττεται δὲ τοῦ κρίνου τὸ ἄνθος τὴν ὑπὸ τοῦ παναγίου πνεύματος προσγινομένην διὰ τοῦ βαπτίσματος καθαρότητα. Εἶτα προαγορευτικῶς· 2Καὶ ἐξανθήσει καὶ ὑλοχαρήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου. Ἀνθοῦσαν δείκνυσι τὴν ἔρημον καὶ τοῖς Ἰορδανείοις ἀρδομένην ῥείθροις· ἐκεῖνα |143 a| γὰρ τὰ ῥεῖθρα πρῶτα ἐδέξαντο τὴν τοῦ ἁγίου πνεύματος χάριν, καὶ δι' ἐκείνων τὸ πανάγιον μηνύεται βάπτισμα. Λέγει δὲ μεταβεβηκέναι εἰς τὴν ἔρημον τὴν τοῦ Λιβάνου τιμὴν καὶ τοῦ Καρμήλου τὴν δόξαν . Κάρμηλον δὲ ὡς πολλάκις εἰρήκαμεν τὴν Ἰουδαίαν καλεῖ· αὕτη γὰρ ἐπεπλήρωτο τῶν προφητικῶν πάλαι καρπ ῶν . Λίβανον δὲ τὴν Ἱερουσαλὴμ πολλάκις ἡ θεία προσαγορεύει γραφή· «Ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος ὁ πολὺς τοῖς ὄνυξιν, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς τὸν Λίβανον καὶ ἔλαβε τὰ ἁπαλὰ τῆς κέδρου καὶ τῆς κυπαρίσσου.» Εἶτα ἑρμηνεύων διδάσκει Λίβανον μὲν εἶναι τὴν Ἱερουσαλήμ, ἀετὸν δὲ τὸν Βαβυλώνιον, ἁπαλὰ δὲ τῆς κέδρου τὸ σπέρμα τῆς βασιλείας. Καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ. Καὶ κατὰ τὸν παρόντα βίον ὁρῶσιν οἱ πεπιστευκότες τοῦ κυρίου τὴν δόξαν καὶ φανερωτέραν ταύτην ἐν τῇ δευτέρᾳ θεάσονται παρουσίᾳ. 3Ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε, 4εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· Ἰσχύσατε μὴ φοβεῖσθε. Τοὺς ἡττηθέντας πάλαι καὶ τῷ διαβόλῳ δεδουλευκότας ὁ θεῖος ἀναρρώννυσι λόγος καὶ παρεγγυᾷ τὴν ἐκείνου τυραννίδα μὴ δεδιέναι. Ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει. Καὶ ἐπειδὴ φοβερὰ ἦν ἡ τῆς κρίσεως ἀπειλή, ὑποδείκνυσι τὸν ταύτης καρπόν. Αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Ἡ γὰρ προτέρα τοῦ σωτῆρος ἡμῶν ἐπιφάνεια τὴν σωτηρίαν τοῖς ἀνθρώποις προσήνεγκεν. Οὕτω γὰρ καὶ αὐτὸς ἔφη· «Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.» Τῇ κρίσει τοίνυν κατὰ τῶν πολεμούντων ἡμῖν δαιμόνων ἐχρήσατο, ἡμᾶς δὲ οἴκτου καὶ φιλανθρωπίας ἠξίωσεν. Εἶτα ἐπιδείκνυσι τὰ τῆς θείας παρουσίας σημεῖα· 5Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσεται· 6Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων. Ταύτην καὶ τοῖς σώμασιν ὁ σωτὴρ τὴν θεραπείαν προσήνεγκε καὶ ταῖς ψυχαῖς προσφέρει διηνεκῶς καὶ τὴν οἰκουμένην τυφλώττουσαν ἀναβλέψαι πεποίηκε καὶ χωλεύ ουσαν δραμεῖν πρὸς αὐτὸν παρεσκεύασε καὶ τῶν θείων λογίων ἀκούειν οὐκ ἀνεχομένην τοῖς θείοις λογίοις προστρέ χειν ἀνέπεισε καὶ ψελλιζομέ νην καὶ εἰς πολλὰ τὴν θείαν προσηγορίαν μερίζουσαν ἀρτιλαλεῖν ἐξεπαίδευσε καὶ τρανὰ καὶ ἀντίθ ροα θεὸν ὑμνεῖν παρεσκεύασεν. Ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ. Τῆς γὰρ διδασκα λίας τὸ κήρυγμα τὴν οἰκουμένην ἐπλήρωσεν. 7Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται. Τὸ πλῆθος τῆς ἀρδείας ὁ λόγος δεδή λωκεν. Καὶ ὁ κύριος δὲ ἐν τοῖς θείοις εὐαγγελίοις ἔφη· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.» Ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, οὐ κοράκων καὶ τῶν ἄλλων σαρκοβόρων ἀλλὰ τῶν ὑπόπτερον ἐχόντων διάνοιαν καὶ μετάρσιον φρόνημα κεκτημένων. Ἐπαύλεις σειρήνων. Τοὺς διδασκάλους διὰ τούτων δεδήλωκε τὰς τῶν μαθητευομένων καταθέλγοντας ἀκοάς. Καὶ κάλαμοι καὶ ἕλη. Ξένον τοῦτο καὶ παρά δοξον ἐν ἀνύδρῳ γῇ φαινόμενον· ταῦτα δὲ εἰς ἀπόδειξιν τοῦ πλήθους τῶν ὑδάτων τέθεικεν. Καλάμ ους δὲ καὶ ἕλη καλεῖ τοὺς τὴν πίστιν μὲν ἔχοντας καὶ ταύτην τεθηλότας, τοῖς δὲ τῆς ἀρετῆς οὐ κομῶντας καρποῖς. Ἔχει δὲ καὶ τούτους τῆς ἐκκλησίας ὁ σύλλογος. 8Καὶ ἐκεῖ ἔσται ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται· καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος. Ἀκαθάρτους καλεῖ τοὺς τῶν εἰδώλων θερα πευτάς· τούτων φησὶν ὁ θεῖος ἀπήλλακται σύλλογος. Οἱ δὲ διεσπαρμένοι πορεύσονται δι' αὐτῆς, οὐ μὴ πλανη θῶσιν. Ἡγοῦμαι διεσπαρμένους τοὺς ἱεροὺς ἀποστόλους ἐπὶ τοῦ παρόντος κληθῆναι· τούτους γὰρ κατὰ πᾶσαν τὴν οἰκουμένην διέσπειρεν ὥστε τὰ σωτήρια διαπορθμεῦσαι κηρύγματα, ἀλλ' ὅμως καὶ διασπ αρέντες ἁπλα νῶς ὥδευ σαν· εἶχον γὰρ ποδηγὸν τὴν χάριν τοῦ πνεύματος. 9Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐ μὴ ἀναβῇ εἰς αὐτὴν οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ. Λέοντα γὰρ τὸν διάβολον ὡς οἶμαι καλεῖ· «Ὁ» γὰρ «ἀντίδικος ὑμῶν» φησι «διάβολος ὡς λέων ἕστηκε προσδεχόμενος τίνα ὑμῶν καταπίῃ.» Θηρία δὲ τοὺς ὑπ' ἐκείνῳ τελοῦντας δαίμονας, ὧν ἀπηλλάχθαι τῆς ἐκκλησίας τὸν σύλλογον ἡ θεία πρόρρησις ἔφη. Ἀλλὰ πορεύσονται ἐν αὐτῇ |143 b| λελυτρωμένοι 10καὶ συνηγμένοι ὑπὸ κυρίου· καὶ ἀποστρα φήσονται καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλ λιάματος. Σιὼν τὴν ἐπουράνιον λέγει· «Προσεληλύθατε» γάρ φησι «Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.» Εἰς ταύτην ἥξειν τοὺς λελυτρωμένους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔφη εὐφραινομένους καὶ χαίροντας. Καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Τέλος γὰρ οὐκ ἔχει τὰ προσδοκώμενα ἀγαθά. Ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίασις, ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Ἄλυπος γὰρ ὁ βίος ἐκεῖνος, φροντίδων ἀπηλ λαγμένος, ζάλην οὐδεμίαν δεχόμενος, ἀλλ' ἑορτὴν ἔχων διηνεκῆ καὶ πανήγυριν. Ἐγὼ δὲ εἰς δύο βίβλους τῆσδε τῆς προφητείας τὴν ἑρμηνείαν διελεῖν δοκιμάσας τοῦτο τῇ προτέρᾳ δίδωμι πέρας καὶ παρακαλῶ τοὺς ἐντευξομένους καὶ συντόνως καὶ ἐννόμως δραμεῖν καὶ τὴν νύσσαν καταλαβεῖν καὶ τὸ βραβεῖον λαβεῖν καὶ τῶν στεφάνων τυχεῖν καὶ τῆς μακαρίας ἐκείνης ἀπολαῦσαι ζωῆς ὡς καὶ ἡμᾶς μεγαλαυχεῖν γένοιτο χάριτι καὶ φιλαν θρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ πρέπει δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 11 ΤΟΜΟΣ ΙΑ΄

361Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασι λεύοντος Ἐζεκίου ἀνέβη Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς καὶ ἔλαβεν αὐτάς. Μέμνηται μὲν τῆς ἱστορίας καὶ ἡ τετάρτη τῶν Βασιλειῶν. Ὁ δὲ προφήτης οὐ παρέλκον τι δρῶν ταύτην συνῆψε τῇ προφητείᾳ ἀλλὰ δεικνὺς τῶν προηγορευμένων τὸ ἀληθές. Ἐπειδὴ γὰρ πλεῖστα ἐν τοῖς ἔμπροσθεν ἐθέ σπισε περί τε Βαβυλωνίων καὶ Τυρίων καὶ Αἰγυπτίων καὶ πολλῶν ἄλλων ἐθνῶν, διαφερόντως δὲ περὶ <τῆς> τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως καὶ τῆς Ἰουδαίων ἀπιστίας καὶ τιμωρίας καὶ τῆς τῶν ἐθνῶν κλήσεώς τε καὶ σωτηρίας, προηγόρευσε δὲ καὶ τῶν Ἀσσυρίων τὴν ἔφοδον καὶ τὸν ἐπενεχθέντα αὐτοῖς θεήλατον ὄλεθρον, ἐνταῦθ α εἰκότως μέμνηται τῆς ἱστορίας, ἵνα δείξῃ τῆς προφητείας τὸ ἀψευδὲς καὶ ὅτι, καθάπερ τὰ κατὰ τὸν Σενναχηρὶμ τετύ χηκε πέρατος, οὕτω δὴ καὶ τὰ ἄλλα πάντα ὅσα προείρηκεν εἰς ἔργον ἀχθήσεται. Ὁ δὲ Σενναχηρὶμ οὗτος, ἐπει δὴ τῶν δέκα φυλῶν ἐνίας πόλεις ἐξηνδραπόδισε καί τινας τῆς Ἰουδαίας ἐπολιόρκησεν, ἤλπισε νῦν καὶ τῆς Ἱερουσαλὴμ περιέσεσθαι. Ἀπέστειλε δὲ μετὰ στρατιᾶς ὅτι πλείστης καὶ Ῥαψάκην τινὰ στρατηγὸν ὥστε τ αύτην πολιορκῆσαι. Οὗτος ἐπιτήδειόν τινα ἐκλεξά μενος τόπον καὶ ἐν τούτῳ στρατοπεδευσάμενος–λέγει δὲ καὶ τὸν τόπον ὁ προφήτης– διεπόρθμευσε τὰ ὑπὸ τοῦ βασιλέως δεδηλωμένα· καὶ γὰρ ἐξεληλύθεισαν πρ ὸς αὐτὸν Ἐλιακὶμ ὁ τοῦ Χελκίου καὶ Σομνᾶς καὶ Ἰωάχαζ. Τούτου δὲ τοῦ Ἐλιακὶμ καὶ ἐν τοῖς πρό σθεν ἐμνήσθη καὶ πολλαῖς αὐτὸν ἐταινίωσεν εὐφημίαις. Καὶ τὸν Σομνᾶν δέ τινες αὐτὸν ἔφασαν εἶναι τὸν ἄνω κατηγορούμενον, ἐγὼ δὲ οὐκ οἶμαι· ὁ μὲν γὰρ πολλὰς εἰς βλακείαν καὶ τρυφὴν λοιδορίας ἐδέξ ατο, οὗτος δὲ οὐδὲ τὴν παρ' ἄλλων τολμη θεῖσαν ἀπαθῶς ἤνεγκε βλασφημίαν ἀλλὰ τὴν ἐσθῆτα διέ ρρηξεν. Τούτοις ὁ Ῥαψάκης παρεγγυᾷ τῷ Ἐζεκίᾳ εἰπεῖν ὅτιό βασιλεὺς Ἀσσυρίων τάδε φησίν· 4Τίνι πεποιθὼς εἶ; 5Μὴ ἐν βουλῇ <καὶ> λόγοις χειλέων παράταξις γίνεται; Δήλην ἡμῖν ποίησον τὴν αἰτίαν τοῦ θράσους. Οὐ χρεία νῦν βουλῆς ἀλλὰ συμπλοκῆς· οὐκ ἔστιν ὁ καιρὸς λόγων ἀλλ' ἔργων, οὐ πρεσβείας ἀλλὰ παρατάξεως. Ἀλλ' ἴσως τῇ Αἰγυπτίων ἐπικουρίᾳ θαρρεῖς· καίτοι καλάμῳ ἐοίκασι καὶ τούτῳ τεθλασμένῳ καὶ τοὺς σκηριπτομένους οὐ μόνον οὐκ ἐρείδοντι ἀλλὰ καὶ τὴν τούτων χεῖρα τιτρώσκοντι. Ταύτην δὲ προσήνεγκε τὴν παραβολήν, καὶ τῆς ἀσθενείας καὶ τῆς πο νηρίας τ ῶν Αἰγυπτίων κατηγορῶν. Ἐπαρκέσαι μὲν γάρ φησιν οὐ δύνανται δι' ἀσθένειαν, λυμαίνονται δὲ καὶ τοῖς φεύγουσι διὰ πολλὴν πονηρίαν. Καὶ ταῦτα μὲν οὖν τὰ ῥήματα πολλῆς ἀλαζονείας καὶ κακίας μεστ ά· οὐδεμίαν δὲ κακοηθείας ὑπερβολὴν κατα λείπει τὰ μετὰ ταῦτα, ἐστὶ δὲ ταῦτα· 7Εἰ δὲ λέγετε πρός με· Ἐπὶ κύριον τὸν θεὸν ἡμῶν πεποίθαμεν, καὶ μὴν οὗτός ἐστιν οὗ περιεῖλεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλήμ· Κατὰ πρόσωπον |144 a| τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυσιαστηρίου τούτου προσκυ νεῖτε. Κακοτεχνίᾳ καὶ πανουργίᾳ χρώμενος οὐκ εὐθὺς ἐπὶ τὴν βλασφημίαν ἐχώρησεν, ἀλλὰ κατὰ τοῦ εὐσεβοῦς βασιλέως τέως ὑφαίνει κατηγορίαν τοῖς πολλοῖς τῶν ὑπηκόων οὐκ ἀπαρέσκουσαν. Καὶ γὰρ οἱ πλείους ἀδεῶς θύειν ἐβούλοντο καὶ τὴν γνώμην ἐγύμνωσαν ἐπί τε τοῦ Ἄχαζ καὶ τοῦ Μανασσῆ καὶ τῶν ἄλλων τῶν κατ' ἐκείνους προελομένων τὴν πλάνην. Δεῖ μέντοι ἐπισημήνασθαι ὡς οὐ τῆς τῶν εἰδώλων κατα λύσεως ὁ Ῥαψάκης μέμνηται ἀλλὰ τῶν ἐν τοῖς ὑψηλοῖς τόποις ἀνακειμένων τῷ θεῷ θυσιαστηρίων. Ἡγοῦμαι γὰρ ταῦτα τὰ καλούμενα ὑψηλὰ τῷ θεῷ μὲν ἀνατεθῆναι, παρὰ δὲ τὸν νόμον ἀνατεθῆναι· πρὸ γὰρ τῆς οἰκοδομίας τοῦ ναοῦ καὶ ἐν τῇ Χεβρὼν καὶ ἐν τῇ Γαβαὼν καὶ ἐν τῇ Μασσηφὰ καὶ ἐν πολλοῖς ἑτέροις τόποις θυσίας προσέφερον τῷ θεῷ, μετὰ δέ γε τὴν οἰκοδομίαν οἱ κατὰ νόμον πολιτευόμενοι οὐκ ἠνείχοντο θύειν ἔξω τοῦ θείου νεώ, οἱ δὲ κτηνώδεις καὶ τῆς ὁδοῦ τῆς θείας ἔξω βαίνοντες ἐν τοῖς ὑψηλοῖς τόποις προσέφερον τὰς θυσίας οὐκ εἰδώλοις ὡς οἶμαι ἀλλὰ τῷ θεῷ. Καὶ τοῦτο δῆλον ἡμῖν ἡ τῶν Βασιλειῶν καὶ ἡ τῶν Παραλειπομένων ἱστορία ποιεῖ· καὶ τὸν Ἀσὰ γὰρ καὶ τὸν Ἰωσαφὰτ ἐπαινέσαντες οἱ ἐκεῖνα συγγράψαντες καὶ ταῦτα ἔφασαν· «Καὶ ἐποίησεν Ἀσὰ τὸ εὐθὲς ἐνώπιον κυρίου τοῦ θεοῦ αὐτοῦ καὶ ἀπέστησε τὰ θυσιαστήρια τὰ ἀλλότρια καὶ τὰ ὑψηλὰ καὶ συνέτριψε τὰς στήλας καὶ ἐξέκοψε τὰ ἄλση.» «Πλὴν ἔτι ἐθυμία ὁ λαὸς ἐν τοῖς ὑψηλοῖς.» Τοὺς μὲν γὰρ τῶν εἰδώλων κατέλυον τόπους, τοὺς δὲ τῷ θεῷ ἀνακειμένους κατελίμπανον ἐπὶ σχήματος. Μόνοι δέ γε Ἐζεκίας καὶ Ἰωσίας καὶ ταύτην τὴν παρανομίανἐκώλυσαν. Ταύτην τὴν ἀξιάγαστον τοῦ Ἐζεκίου σπουδὴν κατηγορίας ἀξίαν ὁ Ῥαψάκης ἐνόμισε καὶ παρεγγυᾷ μὴ θαρρεῖν τῷ θεῷ, ἀγανακτεῖν αὐτὸν λέγων ὡς τῶν ἀνακει μένων αὐτῷ θυσιαστηρίων ἐκ βάθρων ἀνεσπασμένων καὶ περιορισθείσης αὐτῷ τῆς θεραπείας μόνῳ τῷ ἀφιερωμένῳ ναῷ. Εἶτά φησιν· Ἐπὶ τῇ ῥώμῃ θαρρήσαντες δότε τῆς δυνάμεως πεῖραν· ἐγὼ τοὺς ἵππους παρέξω, καὶ ὑ μεῖς δισχιλίους ἐπιβάτας παράσχετε. Εἰ δὲ καὶ τοῦτο ὑμῖν ἀδύνατον, 9πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν τοπαρχῶν ἑνὸς τῶν δούλων τοῦ κυρίου τῶν μικρῶν; Οὐ δύνασθέ φησιν ἑνὸς αὐτοῦ εὐτελοῦς τοπάρχου δέξασθαι προσβολήν. Οἰκέται εἰσὶν οἱ πεποιθότες ἐπ' Αἴγυπτον, ἐφ' ἵππον καὶ ἀναβάτην. Οἱ δὲ Τρεῖς Ἑρμηνευταὶ οὕτως τοῦτο τεθείκασιν· «Καὶ ἐθάρρησεν ἑαυτῷ εἰς Αἴγυπτον καὶ εἰς ἅρματα καὶ ἵππους.» Κατὰ δὲ τοὺς Ἑβδομήκοντα οὕτω νοητέον, ὅτι δοῦλοι καὶ φυγάδες εἰσὶν οἱ πεποιθότες ἐπ' Αἰγυπτίοις· ἐπειδὴ γὰρ ὁ Ἄχαζ δασμόν τινα παρεῖχε τοῖς Ἀσσυρίοις διὰ τὸ δέος τῶν Σύρων, ὁ δὲ Ἐζεκίας τῇ εὐσεβείᾳ θ αρρήσας κατεφρόνησε καὶ τὸν φόρον οὐκ ἔδωκεν, οἰκέτας αὐτοὺς ἐκάλεσεν Αἰγυπτίοις προσπεφευγότας. Εἶτα προσ τίθησι τοῖς εἰρημένοις καὶ ἕτερον ψεῦδος τοὺς ἐπὶ τοῦ τείχους ἑστῶτας ἀποβουκολῆσαι βουλόμενος· 10Καὶ νῦν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πολεμῆσαι αὐτήν; Κύριος εἶπε πρός με· Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην καὶ διάφθειρον αὐτήν. Δῆλός ἐστιν ὁ τρισάθλιος οὗτος ὡς Ἑβραῖος ὢν καὶ εἰδὼς ὅτι πολλάκις αὐτοὺς ὁ θεὸς δίκας τῆς ἀσεβείας πραττόμενος ἀλλοφύλοις παρέδωκεν ἔθνεσι τούτοις τοῖς λόγοις ἐχρήσατο. Καὶ δυοῖν θάτερον· ἢ αὐτομολήσας προσεχώρησεν ἐκείνοις ἢ αἰχμάλωτος ἀπαχθείς, ἡνίκα τὰς δέκα φυλὰς ἠνδραπόδισαν, ἠσπάσατο τὴν ἐκείνων ἀσέβειαν. Πρὸς ταῦτα μέντοι ἀπεκρίναντο οἱ περὶ τὸν Ἐλιακ ὶμ παρακαλοῦντες μὴ τῇ Ἑβραίων ἀλλὰ τῇ Σύρων κεχρῆσθαι φωνῇ· Ἐπαΐομεν γὰρ καὶ τῆς τούτων γλώττης· οὐ γὰρ προσήκει πᾶσι τὰ λαλούμενα δῆλα γενέσθαι. Ὁ δέ φησιν· Οὐ πρὸς ὑμᾶς οὐδὲ πρὸς τὸν ὑμέτερον ἀπεστάλην δεσπότην ἀλλὰ πρὸς τὸν λαὸν τοῦτον τὸν πάσης ἄξιον ἀτιμίας. Εἶτα τούτους κατα λιπὼν καὶ βοῇ μεγίστῃ χρησάμενος ἐξαπατᾶν πειρᾶται τὸ πλῆθος τὸν μέγιστον βασι λέα λέγων δεδηλωκέναι· 14Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λόγοις οἷς οὐ μὴ δύνηται ῥύσασθαι ὑμᾶς· 15καὶ μὴ λεγέτω ὑμῖν Ἐζεκίας ὅτι ῥύσεται ὑμᾶς ὁ θεὸς καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως Ἀσσυρίων· 16μὴ ἀκούετε Ἐζεκίου. Οὔτε οὗτος λύττης οὔτε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ δεσπότης θεὸς μακροθυμίας ὑπερβολὴν κατέλιπεν· |144 b| οὗτος μὲν γὰρ πλήττειν οὐ δυνάμενος ἔβαλλεν, ὁ δὲ παντοδύναμος ἔφερεν. Προστίθησι δὲ πάλιν τοῖς εἰρημένοις ὅτι, εἰ τοῦ εὐπαθεῖν ἐφίεσθε, τὰς πύλας ἀναπετάσατε, ἀδεῶς πρὸς ἡμᾶς ἐξέλθετε καὶ τ εύ ξεσθε εἰρήνης, ἀπολαύσεσθε καὶ τῶν τῆς χώρας καρπῶν, 17ἕως ἂν ἔλθω φησὶ καὶ λάβω ὑμᾶς εἰς γῆν ὡς τὴν γῆν ὑμῶν, ὁμοίως γόνιμόν τε καὶ πίονα καὶ παντοδαποὺς φέρουσαν τοῖς γεωργοῦσι καρπούς. Δῆλος δὲ ἦν οὗτος ἄλλοις ἐπι στρατεῦσαι βουλόμενος, διὸ δὴ ἔφη· ἕως ἂν ἔλθω. Πρὸς τούτοις ἀπ αριθμεῖται τὰ ἔθνη καὶ τὰς πόλεις, ἃς ὑπακούειν ἠνάγκασεν· πρὸς ταῖς ἄλλαις καὶ τῆς Σαμαρείας φέρει τὴν μνήμην βρενθυόμενος καὶ λέγων ὡς οὐδεὶς αὐτῶν ἀμείνων ἐφάνη, οὐ βασιλεύς, οὐ στρατηγός, οὐχ ὁ τούτων προστατεύων θεός· πάντων γάρ φησιν ὁμοῦ καὶ τῶν ἀνθρώπων καὶ τῶν θεῶν ἐκρατήσαμεν, οὐ τοίνυν οὐδὲ ὁ ὑμέτερος περιέσται μου θεός. Ταύτην ἀκούσαντες τὴν ἄρρητον βλασφημίαν οἱ περὶ τὸν Ἐλιακὶμ λόγου μὲν οὐδενὸς μετέδοσαν τῷ δυσσεβεῖ, τὴν ἐσθῆτα δὲ διαρρήξαντες ἔδραμον πρὸς τὸν εὐσεβῆ βασιλέα καὶ ἐδίδαξαν τοῖς τε λόγοις τῷ τε σχήματι τὴν τῆς βλασφη μίας ὑπερβολήν. Ταὐτὸ δὲ τοῦτο καὶ ὁ πάντα ἄριστος δέδρακε βασιλεύς· τὴν γὰρ βασιλικὴν διαρρήξας στολὴν καὶ σάκκον ἀντὶ ταύ της περιβαλόμενος ἔδραμε πρὸς τὸν σὺν αὐτῷ πολεμούμενον, τὸν τῶν ἁπάντων δημιουργόν. Μέτρα δὲ τῆς ἀρετῆς διακρίνειν εἰδὼς οὐ μόνος ἱκετεύει τὸν τῶν ὅλων θεόν, ἀλλὰ τὸν προφήτην Ἡσαΐαν εἰς ἐπι κουρίαν καλεῖ καὶ πρεσβευτὴν γενέσθαι παρακαλεῖ, τούς τε προειρημένους καὶ τῶν ἱερέων τοὺς αἰδοῦς ἀ ξιωτέρους τὸ πένθιμον σχῆμα περικειμένους πρὸς αὐτὸν ἀποστείλας. Οἱ δὲ παραγενόμενοι ἔφασαν ταῦτα· 373 Τάδε λέγει Ἐζεκίας. Καὶ ἐντεῦθεν ἔστι καταμαθεῖν τὴν διαφορὰν τοῦ φρονήματος. Ὁ μὲν γὰρ Ῥαψάκης ἔλεγεν· «Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας Ἀσσυρίων», οὗτοι δὲ τὸ μέτριον τοῦ πεπομφότος δεικνύντες οὐδὲ βασιλέα αὐτὸν ὀνομάζουσιν ἀλλὰ μόνου τοῦ ὀνόματος μέμνηνται. Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν. Ὀνειδισμὸν καλεῖ τὴν ἐκείνου βλασφημίαν, ἐλεγμὸν δὲ τὴν τοῦ λαοῦ παρανομίαν. Ἡμεῖς γὰρ αἴτιοι τῆς βλασφημίας παρανόμως βιοῦντες καὶ ἀξίους ἡμᾶς αὐτοὺς ἀποφαίνοντες τῆς τιμωρίας· ἀλλ' ὅμως ὀργιζόμεθα μὲν διὰ τὴν τῆς βλασφημίας ὑπερβολὴν καὶ κολάσαι τὸν ἀλιτήριον ἐφιέμεθα, ἐπιθεῖναι δὲ τῇ προθυμίᾳ τὸ πέρας οὐκέτι δυνάμεθα καὶ ἐοίκαμεν γυναικὶ κυούσῃ μὲν καὶ δεδεγμένῃ τῶν ὠδίνων τὴν προσβολήν, τεκεῖν δὲ δι' ἀτονίαν οὐ δυναμένῃ. 4Εἴ πως εἰσακούσεται κύριος ὁ θεός σου τοὺς λόγους Ῥαψάκου ὃν ἀπέστειλε βασιλεὺς Ἀσσυρίων ὁ κύριος αὐτοῦ ὀνειδίζειν θεὸν ζῶντα καὶ ὀνειδίζειν λόγους οὓς ἤκουσε κύριος ὁ θεός σου; Δηλοῖ καὶ ταῦτα τοῦ βασιλέως τὴν ἀρετήν· ἐπαμῦναι γὰρ αὐτῷ τὸν θεὸν ἱκετεύει οὐ διὰ τὴν εὐσέβειαν, ἧς πολλὴν ἐποιεῖτο φροντίδα, ἀλλὰ διὰ τὴν τοῦ ἀλάστορος ἐκείνου μανικὴν βλασφημίαν. Τοῖς γὰρ οὐκ οὖσί φησι θεοῖς παραπλησίως ὠνείδισε τὸν ὄντα. Καὶ δεηθήσῃ πρὸς κύριον τὸν θεόν σου περὶ τῶν καταλελειμ μένων τούτων. Ἐπειδὴ γὰρ τὰς δέκα φυλὰς ἠνδραπόδισαν καὶ πλείστας τῆς Ἰουδαίας ἐπολιόρκησαν πόλεις, εἰκότως τοὺς εἰς τὴν Ἱερουσαλὴμ καταπεφευγότας λείψανον ὀνομάζει. Ταῦτα ὁ μὲν Ἐζεκίας ἐδήλωσεν, οἱ δέ γε ἀποσταλέντες τὸν προφήτην ἐδίδαξαν. Ὁ δὲ τοῦ προφήτου θεὸς προλαμβάνει τοῦ προφήτου τὴν ἱκετείαν καὶ διὰ τοῦ προφήτου φησίν· 6Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας δι' ὧν ὠνείδισάν με οἱ πρέσ βεις βασιλέως Ἀσσυρίων. Ἐγώ σοι ἐκοινώνησα τῆς λοιδορίας, ἐγώ σοι κοινωνήσω τῆς μάχης· ἐγὼ τὴν βλασφημίαν ἐδεξάμην, ἐγὼ τὴν τιμωρίαν ἐποίσω. 7Ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγγελίαν ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ. Πνεῦμα τὴν δειλίαν ἐκάλεσεν· οὕτω γὰρ καὶ ὁ θεῖος ἀπόστολος λέγει· «Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας.» Δηλοῖ δὲ καὶ τὰ ἐπαγόμενα· φήμην γάρ τινα δεξάμενος πονηρὰν ἀναστρέψει μὲν εἰς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πατρίδα, δέξεται δὲ τὴν τιμωρίαν ἐκεῖ. Οὕτω τούτων συμπληρωθέντων ἀπέστρεψεν ἐκεῖνο ς ὁ Ῥαψάκης καὶ τὴν πολιορκίαν καταλιπὼν τὸν πεπομφότα κατέλαβε |145 a| βασιλέα τὴν Λόβναν πολιορκοῦντα–πόλις δὲ αὕτη τῆς Ἰουδαίας–, καταλιπὼν γάρ φησι τὴν Λαχὶς κατ' ἐκείνης ἐχώρησεν. Εἶτα ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος, ὡς μαθὼν ὁ μεμηνὼς βασιλεὺς τῶν Αἰθιόπων τὸν βασιλέα κατ' αὐτοῦ κεχωρηκέναι κατὰ τὴν θείαν ἀνεχώρησε πρόρρησιν, οὐ μὴν τῆς λύττης ἐπαύσατο ἀλλὰ ταῦτα διά τινων τῷ Ἐζεκίᾳ δεδήλωκεν· 10Μή σε ἀπατάτω ὁ θεός σου, ἐφ' ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ λέγων· Οὐ μὴ παραδοθῇ ἡ Ἱερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. Εἶτα πάλιν ἀπαριθμεῖται τὰ ἔθνη καὶ τὰς πόλεις καὶ τοὺς τούτων θεοὺς καὶ λέγει ταύτας ἁπάσας ὑπ' αὐτοῦ καὶ τῶν πατέρων καταλυθῆναι. Ταύτην αὐτοῦ τὴν μανίαν προδιαγράφων ὁ προφήτης, μᾶλλον δὲ ὁ τοῦ προφήτου θεός, ἔφη· «Ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπε γάρ· Τῇ ἰσχύι τῆς χειρός μου ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεώς μου, ἀφελῶ ὅρια ἐθνῶν καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω καὶ σείσω πόλεις κατοι κουμένας καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι ὡς νοσσιάν» καὶ τὰ ἄλλα, ἵνα μὴ πάντα διεξέρχωμαι. Ὁ μέντοι θαυμάσιος βασιλεὺς τὰ δυσσεβῆ ταῦτα δεξάμενος γράμματα καὶ τὴν ἐγκειμένην αὐτοῖς βλασφημίαν ἰδὼν πάλιν ἔδραμεν εἰς τὸν θεῖον νεὼν καὶ ἀναπτύξας ὑπέδειξε τῷ ὀνειδισθέντι θεῷ καὶ τήνδε τὴν ἱκετείαν προσφέρει· 16Κύριε Σαβαὼθ ὁ θεὸς τοῦ Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, σὺ εἶ ὁ θεὸς μόνος πάσης τῆς <βασιλείας τῆς> οἰκουμένης. Ὁ Ἀσσύριός φησιν ἕνα σε τῶν ψευδωνύμων νομίζει θεῶν, ἐγὼ δέ σε οἶδα τῶν δυνάμεων κύριον καὶ τοῦ Ἰσραὴλ δεσπότην, θρόνον ἔχοντα οὐ κάτω που καὶ ἐπὶ γῆς κείμενον ἀλλὰ τοῖς χερουβὶμ ἐπικείμενον. Πάσης τῆς οἰκουμένης καὶ τῶν ἐν αὐτῇ βασιλέων οἶδά σε καὶ θεὸν καὶ δεσπότην καὶ πρὸς τούτοις τῶν ὅλων δημιουργόν. Τοῦτο γὰρ ἐπήγαγεν· Σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. 17Κλῖνον κύριε τὸ οὖς σου καὶ εἰσάκουσον κύριε, ἄνοιξον κύριε τοὺς ὀφθαλμοὺς καὶ ἴδε κύριε καὶ ἄκουσον τοὺς λόγους Σενναχηρίμ, οὓς ἀπέστειλεν ὀνειδίζειν θεὸν ζῶντα. Ἐπειδὴ τοίνυν τὴν τοῦ θεοῦ μακροθυμίαν ὕπνον ἡ θεία προσαγορεύει γραφή, εἰκότως ὁ θαυμάσιος βασιλεὺς ἀντιβολεῖ λέγων. Ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ κλῖνον τὸ οὖς σου καὶ τῆς βλασφημίας ἐπάκουσον καὶ τὰ ὀνείδη βλέπε τε καὶ δίδαξον αὐτόν, ὡς οὐχ εἷς εἶ τῶν καλουμένων θεῶν. Εἰς ταύτην γὰρ αὐτὸν τὴν μανίαν ἤγαγεν ἡ ἐκείνων ἀσθένεια· ἐπειδὴ γὰρ ἐκείνων κεκράτηκε, καὶ τῆς σῆς δυνάμεως κρατήσειν νεανιεύεται. Τοῦτο δὲ δηλοῖ καὶ τὰ ἑξῆς· 18Ἐπ' ἀληθείας γὰρ κύριε ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὴν οἰκουμένην ὅλην καὶ τὴν χώραν αὐτῶν 19καὶ ἐνέβαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ. Καὶ ταῦτα τοῦ βασιλέως τὴν σοφίαν δηλοῖ· εἴδωλα γὰρ ἐκάλεσε τὰ γενόμενα τροφὴν τοῦ πυρός. Καὶ δεικνὺς τὴν αἰτίαν τῆς ἥττης ἐπήγαγεν· Οὐ γὰρ ἦσαν θεοὶ ἀλλ' ἔργα χειρῶν ἀνθρώπων, καὶ ἀπώλεσαν αὐτούς. Εἰκότως φησὶν ἐκεῖνα φροῦδα γεγένηται καὶ ὑπὸ τοῦ πυρὸς δεδα πάνηται· τέχνῃ γὰρ αὐτοῖς ἀνθρωπίνῃ τὸ εἶναι δεδώρηται. 20Νῦν δὲ κύριε ὁ θεὸς ἡμῶν σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, ἵνα γνῷ πᾶσα ἡ βασιλεία τῆς οἰκουμένης ὅτι σὺ εἶ θεὸς μόνος. Πρόφασίς φησι θεογνωσίας ἡ ἡμετέρα σωτηρία γενήσεται· ὅταν γὰρ τοὺς μὲν ἄλλους ἴδωσιν ἡττηθέντας, ἡμᾶς δὲ μόνους κεκρατηκότας, εἴσονται τὸ διάφορον καὶ μαθήσονται ὅτι σὺ μόνος ὑπάρχεις θεός. Ταύτην τοῦ Ἐζεκίου προσενηνοχότος τὴν ἱκετείαν διὰ τῆς πρ οφητικῆς γλώττ ης πρὸς αὐτὸν ὁ θεὸς διαλέγεται καί φησιν· 21Ἤκουσα ἃ προσηύξω πρός με περὶ Σενναχηρὶμ βασιλέως Ἀσσυρίων, Ἐδεξάμην τὴν ἱκετείαν, θάρρησον ὡς τῆς αἰτήσεως τεύξῃ. 22Οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ θεός· Ἐφαύλισέ σε καὶ ἐμυκτήρισέ σε, παρθένος θύγατερ Σιών, κεφαλὴν ἐπὶ σοὶ ἐκίνησε, θύγατερ Ἱερουσαλήμ. Θυγατέρα δὲ αὐτὴν ὀνομάζει τὴν οἰκειότητα δεικνύς. Τὴν αὐτὴν δὲ καλεῖ καὶ Σιὼν καὶ Ἱερουσαλήμ. Εὐτελῆ σέ φησιν ἐνόμισε καὶ εὐχείρωτον ὡς οὐδὲ δισχιλίων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐποροῦσαν ἱππέων ἀλλὰ τῆς Αἰγυπτίων δεομένην ἐπικουρίας, καὶ ἀπειλῶν σοι τὸν ὄλεθρον ἐκίνει τὴν κεφαλήν. Εἶτα μεταφέρει πρὸς ἐκεῖνον τὸν λόγον· 23Τίνα ὠνείδισας καὶ παρώξυνας ἢ πρὸς τὸν τίνα ὕψωσας τὴν φωνήν σου; Καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου εἰς τὸν ἅγιον τοῦ Ἰσραήλ. 24Ὅτι δι' ἀγγέλων σου ὠνείδισας τὸν κύριον. Ἐνόμισάς μέ φησιν ἕνα τῶν ἄλλων εἶναι ψευδωνύμων θεῶν, δέον εἰς οὐρανὸν ἀναβλέψαι καὶ τὴν ἐμὴν δεσποτείαν μαθεῖν· ἱκανὰ δὲ ἦν καὶ τὰ περὶ τὸν Ἰσραὴλ γεγενημένα τὴν ἐμὴν δύναμιν διδάξαι, ἀλλὰ τῇ ῥώμῃ καὶ τῇ δυναστείᾳ θαρρῶν συνιδεῖν οὐκ ἠθέλησας τὸ διάφορον. Εἶτα αὐτοῦ εἰς μέσον ἤγαγε τοὺς ἀλαζονικοὺς |145 b| λογισμούς· Σὺ γὰρ εἶπας· Τῷ πλήθει τῶν ἁρμάτων μου ἀνέβην εἰς ὕψος ὀρέων καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ καὶ τὸ κάλλος τῆς κυπαρίσσου αὐτοῦ καὶ εἰσῆλθον εἰς τὸ ὕψος μέρους τοῦ δρυμοῦ τοῦ Καρμήλου 25καὶ ἔθηκα γέφυραν καὶ ἠρήμωσα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος. Τροπικῶς ἅπαντα εἴρηκε, κέδρους καὶ κυπαρίσσους τοὺς βασιλέας καὶ τοὺς τοπάρχας καλῶν, Λίβανον δὲ τὰ ἔθνη, Κάρμηλον δὲ τὸν Ἰσραήλ· ὅθεν ἐπὶ μὲν τοῦ Λιβάνου καὶ τὰ ἔσχατα τούτου τέθεικεν, ἐπὶ δὲ τοῦ Καρμήλου μέρος ἔφη δεικνὺς ὅτι τῶν μὲν ἐθνῶν ἐκείνων ἁπάντων ἐκράτησαν τοῦ δὲ Ἰσραὴλ οὐ παντός· ἀχείρωτος γὰρ ἔμεινεν ἡ μητρόπολις. Ὕδατα δὲ τὰ πλήθη καλεῖ, γέφυραν δὲ τήν τε ῥώμην καὶ τὰς ἐπινοίας καὶ τὰς τῆς νίκης μεθόδους καὶ ὅτι οἷόν τινι γεφύρᾳ τοῖς προκατειλημμένοις κατὰ τῶν ὑπολοίπων ἐκέχρ η το. Οὕτω τοὺς ἐκείνου λογισμοὺς γυμνώσας τὴν οἰκείαν δείκνυσι δύναμιν· 26Οὐ ταῦτα ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; Ἐξ ἡμερῶν ἀρχαίων συνέταξα, νῦν δὲ ἀπέδειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς καὶ ἐνοικοῦντας ἐν πόλεσιν ὀχυραῖς. Ὁ δὲ Σύμμαχος οὕτω τοῦτο τέθεικεν· «Μὴ ἤκουσας; Πάλαι αὐτὸ ἐποίησα ἀφ' ἡμερῶν ἀρχαίων καὶ ἔπλασα αὐτό, νῦν ἤγαγον αὐτό, καὶ ἐγένετο εἰς ἐκρίζωσιν.» Ἔδει σέ φησι συνιδεῖν ὡς τῶν ἁπάντων ὁ ποιητὴς οὐκ εἴασεν ἀκυβέρνητα ἃ ἐποίησε, προμηθεῖται γὰρ ὧν ἐποίησεν, καὶ ὅτι οὐ δὲν ἂν ἔδρασας παρὰ γνώμην ἐμήν, ἐγὼ γὰρ ταῦτα, ἃ σὺ νῦν ποιεῖς, ἐξ ἡμερῶν ἀρχαίων συνέταξα καὶ πόρρω θεν προορῶν οὕτως ὥρισα ταῦτα γενέσθαι καὶ τοὺς οἰκοῦντας ἐν πόλεσιν ὀχυραῖς καὶ τῶν ἀγαθῶν τὸν χορηγὸν ἀγνοοῦντας μαθεῖν τὴν τῶν εἰδώλων ἀσθένειαν. 27Ἀνῆκά μου τὰς χεῖρας, καὶ ἐξηράνθησαν καὶ ἐγένοντο ὡσεὶ χόρτος ξηρὸς ἐπὶ δωμάτων καὶ ὡς ἄγρωστις ἀφανιζομένη πρὸ τοῦ τελεσφορηθῆναι. Ἤνθησάν φησιν ὅσον ἠθέλησα χρόνον, εἶτα τῆς ἐμῆς αὐτοὺς κηδεμονίας ἐγύμνωσα καὶ τὸ πρότερον ἀπέβαλον ἄνθος. Ἄγρωστιν δὲ αὐτοὺς ὀνομάζει καὶ χόρτον διὰ τὴν ἀκαρπίαν. 28Νῦν δὲ τὴν ἀνάπαυσίν σου καὶ τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου ἐγὼ ἐπίσταμαι· 29ὁ δὲ θυμός σου ὃν ἐθυμώθης πρός με καὶ ἡ πικρία σου ἀνέβη πρός με, καὶ ἐμβαλῶ κημὸν εἰς τὴν ῥῖνά σου καὶ χαλινὸν εἰς τὰ χείλη σου καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. Ὡς ἀλόγῳ κέχρηται τῷ τὸ λογικὸν διαφθεί ραντι· «Ἐν χαλινῷ» γάρ φησι «καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις τῶν μὴ ἐγγιζόντων πρός σε.» Ἔδειξεν αὐτὸν καὶ δουλικὴν ἔχοντα φύσιν· ἐπειδὴ γὰρ αὐτοὶ τοῖς οἰκέταις περιτιθέασι τοὺς ἐκ δερμάτων κημούς, εἰκότως ὡς οἰκέτῃ πονηρῷ ἠπείλησεν αὐτῷ τὸν κημὸν περιθήσειν. Εἶτα δίδωσι τῷ Ἐζεκίᾳ τῆς σωτηρίας σημεῖο ν· 30Τοῦτο δέ σοι τὸ σημεῖον· φάγῃ τὸν ἐνιαυτὸν τοῦτον ἃ ἔσπαρκας, τῷ δὲ ἐνιαυτῷ τῷ δευτέρῳ τὸ κατάλειμμα, τῷ δὲ τρίτῳ ἔτει σπείραντες ἀμήσετε καὶ φυτεύσετε ἀμπελῶνας καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. Τοῦτο δὲ οἱ Τρεῖς οὕτως ἡρμήνευσαν· «Φάγετε ἐπ' ἔτος αὐτόματα καὶ τῷ δευτέρῳ αὐτοφυῆ, ἐν δὲ τῷ ἔτει τῷ τρίτῳ σπείρατε καὶ θερίσατε.» Ἐπειδὴ γὰρ πολιορκούμενοι γεωργεῖν οὐκ ἠδύναντο, αὐτο φυεῖς αὐτοῖς δέδωκε καρποὺς ὁ θεός, καὶ τῷ δευτέρῳ δὲ ἔτει ὡσαύτως διὰ τὴν σπάνιν ὡς ἔοικε τῶν σπερμάτων καὶ τῶν βοῶν, εἶτα τῷ τρίτῳ ἔτει παντοδαπῶν αὐτοῖς καρπῶν ἀφθονίαν ὑπέσχετο. 31Καὶ ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ Ἰουδαίᾳ εἰς διάφευξιν. Διαφεύξονται γὰρ τῶν πολεμίων τὰς χεῖρας. Καὶ φυήσουσι ῥίζαν κάτω καὶ ποιήσουσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπέρμα ἄνω. Τουτέστιν· ἐπὶ πλεῖστον αὐτῶν φυλάξω τὸ γένος. 32Ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι καὶ οἱ σῳζόμενοι ἐξ ὄρους Σιών. Ὁ δὲ Θεοδοτίων οὕτω τοῦτο ἡρμήνευσεν· «Ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται ὑπόλειμμα καὶ σωτηρία ἐξ ὄρους Σιών.» Ἐκεῖ γὰρ ἡ τῆς οἰκουμένης ἤνθησε σωτηρία καὶ τὸ ἐκείνων κατάλειμμα, τουτέστιν· οἱ θεῖοι ἀπόστολοι τὴν οἰκουμένην εἰς θεογνωσίαν ἐπέστρεψαν. Τούτων δὲ ἁπάντων αἴτιος ὁ τῶν ὅλων θεός· Ὁ ζῆλος κυρίου Σαβαὼθ ποιήσει ταῦτα. Ζηλώσας γὰρ διά τε τὸ ὄνειδος τῆς Ἱερουσαλὴμ καὶ διὰ τὴν κατ' αὐτοῦ βλασφημίαν, παρέξει τὴν σωτηρίαν. Εἶτα ὑπισχνεῖται τῷ Ἐζεκίᾳ ὅτι οὐκ εἰ σελεύσεται ὁ πολέμιος εἴσω τῶν περιβόλων ἀλλὰ οὐδὲ χαρακώματα ἐπιστήσει οὐδὲ θυρεοὺς προσείσει ἀλλ' ἀναστρέψει κατη σχυμμένος. 35Ὑπερασπιῶ γάρ φησιν ὑπὲρ τῆς πόλεως ταύτης |146 a| τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά μου. Ἔλεγχος ταῦτα τῶν τὴν πόλιν οἰκούντων· Δι' ἐμὲ γὰρ ἔφη καὶ διὰ Δαυὶδ τὸν παῖδά μου τῆς πόλεως φροντιῶ, διὰ τὴν ἐμὴν ἀγαθότητα καὶ διὰ τὴν ἐκείνου μνήμην· οἰκιστὴς γὰρ ἐκεῖνος τῆς πόλεως καὶ γνήσιος θεράπων ἐμός. Ζητητέον δὲ τί δήποτε οὐ τοῦ Ἐζεκίου ἀλλὰ τοῦ Δαυὶδ ἐμνημόνευσεν· ἐγὼ δὲ οἶμαι ὅτι τὸ φρόνημα κωλύων οὐκ αὐτῷ τὴν αἰτίαν τῆς σωτηρίας ἀλλὰ τῷ Δαυὶδ ἀνατέθεικεν. Εἰ γὰρ καὶ τούτων οὕτως εἰρημένων ἡ τῶν Παραλειπομένων ἱστορία φησὶν ὅτι μετὰ ταῦτα ὑψώθη ἡ καρδία βασιλέως Ἐζεκίου, τί οὐκ ἂν ἔπαθεν αὐτὸς αἴτιος τῆς σωτηρίας ὀνομασθείς; Τούτου χάριν οὐδὲ τὸν Ἡσαΐαν, καίτοι προφήτην ὄντα καὶ προφήτην ἐπισημότατον, ἀξιόχρεων ἐκάλεσε τῆς πόλεως σύμμαχον, ἀλλὰ τοὺς ζῶντας καταλιπὼν τοῦ τετελευτηκότος ἐμνήσθη, καὶ τὸ φρόνημα καταστέλλων καὶ προτρέπων εἰς ἀρετὴν τῇ μνήμῃ τῶν παρελθόντων καὶ διδάσκων ὡς ἀνθεῖ παρ' αὐτῷ διηνεκῶς τῶν δικαίων ἡ μνήμη. Πρὸς τούτοις ἐδίδαξεν ὁ προφητικὸς λόγος ὡς θεόθεν ἀποσταλεὶς ἄγγελος πέντε καὶ ὀγδοήκοντα καὶ ἑκα τὸν χιλιάδας τῶν Ἀσσυρίων ἀνεῖλεν· τινὲς δὲ ὅμως διέφυγον οὐ τῆς ἀγγελικῆς περιγενόμενοι δεξιᾶς, ἀλλ' ἵνα τῶν συμβεβηκότων κήρυκες ἀξιόχρεοι γένωνται καὶ τοῦ θεοῦ τῶν Ἑβραίων τὸ κράτος κηρύξωσιν. Τούτου δὴ χάριν καὶ αὐτὸς ὁ δυσσεβὴς διέφυγε βασιλεὺς καὶ τὴν Νινευὴ κατέλαβε–πόλις γὰρ ἦν αὕτη βασιλική–, ἀλλ' ἐκεῖ δέδωκεν ὧν ἐτόλμησε δίκας καί, ἐπειδὴ αὐτὸς κατὰ τοῦ ποιητοῦ τὴν γλῶτταν ἐξέτεινεν, ὑπὸ τῶν υἱέων αὐτοῦ δέχεται τὴν σφαγὴν εἰσπραχθεὶς ὧν ἐτόλμησε δικαιοτάτην ποινήν. Καὶ οὐδὲ ὁ προσκυνούμενος ὑπ' αὐτοῦ ψευδώνυμος θεὸς ἐπήρκεσεν αὐτῷ σφαττομένῳ, ἀλλὰ παρ' αὐτὴν τὴν λατρείαν ἐδέξατο τὴν σφαγήν. Εἰδέναι μέντοι δεῖ ὡς τὰ ἀκριβῆ τῶν ἀντιγράφων οὐ πάταρχον ἔχει ἀλλὰ πάτεχρον, τουτέστι τὸ εἴδωλον· οὕτω γὰρ καὶ οἱ Τρεῖς ἡρμήνευσαν· «προσκυνοῦντος ἐν οἴκῳ Νεσερὲχ θεοῦ αὐτοῦ.» Καὶ ἐκεῖνοι μὲν εἰς τὴν Ἀρμενίαν διέφυγον, διεδέξατο δὲ τὴν βασιλείαν Ναχορδὰν ὁ υἱὸς αὐτοῦ· ἀλλὰ καὶ τοῦτον οὐκ εἰς μακρὰν καταλύσας Μαρόδαχος εἰς τὴν Βαβυλῶνα μετέθηκε τὰ βασίλεια. Ὁ δὲ Ἐζεκίας κατὰ τοῦτον τὸν καιρὸν περιέπεσεν ἀρρωστίᾳ καὶ διδάσκεται διὰ τοῦ προφήτου τὰ κατὰ τὴν οἰκίαν διατεθῆναι ὡς τοῦ θανάτου πελάζοντος. Ἐπειδὴ γὰρ μέγα ἐφρόνησε παραδόξου τετυχηκὼς σωτηρίας–τοῦτο γὰρ καὶ τῶν Παραλειπομένων ἡ ἱστορία δηλοῖ· «Ὑψώθη» γάρ φησιν «ἡ καρδία αὐτοῦ, καὶ ὑπερήρθη Ἐζεκίας κατ' ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν, καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ ἐν Ἱερουσαλὴμ καὶ δόματα Ἐζεκίᾳ τῷ βασιλεῖ»–, ὁ ἄριστος τῶν ψυχῶν ἡμῶν ἰατρὸς τῇ νόσῳ τοῦ σώματος τὴν ψυχὴν θεραπεύει. Ταύτην δὲ αὐτοῦ τὴν ὑψηλο φροσύνην καὶ ὁ θεῖος Δαυὶδ προεθέσπισε τῷ κθ΄ Ψαλμῷ, σχηματίζει δὲ τὸν λόγον ὡς ἐξ αὐτοῦ· «Ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.» Δεξάμενος δὲ ὅμως τοῦ θανάτου τὴν ἀγγελίαν ἀναστῆναι μὲν ὑπὸ τῆς νόσου διεκωλύετο, πρὸς δὲ τὸν τοῖχον στραφεὶς ἱκετείαν προσήνεγκε τῷ θεῷ, ὃν ἔσχε κατὰ τῆς τῶν εἰδώλων π λάνης ζῆλον διεξιὼν καὶ μετὰ δακρύων τὸν θεὸν ἱλεούμε νος. Ἀλλ' εὐθὺς ὁ φιλάνθρωπος θεὸς ἀνεκαλέσατο τοῦ θα νάτου τὴν ψῆ φον καὶ τὸν προφήτην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξαποστείλας ὑπέσχετο τὴν ζωήν· 385Τάδε γάρ φησι λέγει κύριος ὁ θεὸς Δαυὶδ τοῦ πατρός σου. Πάλιν αὐτὸν τοῦ προπάτορος ἀναμιμνῄσκει δεικνὺς τὴν τῶν τρόπων συγγένειαν. Εἶτα καὶ τῆς προ σευχῆς ἀκηκοέναι φησὶ καὶ τὰ δάκρυα τεθεᾶσθαι καὶ δεδέχθαι τὴν δέησιν· καὶ πέντε καὶ δέκα ἐτῶν ζωὴν ἐπαγγέλλεται καὶ εἰρήνην ἀκραιφνῆ καὶ διηνεκῆ πρόνοιαν. Δίδωσι δὲ αὐτῷ καὶ σημεῖον τῶν ἐπαγγελιῶν , ὃ πᾶσιν ἀνθρώποις ἔμελλε κατάδηλον ἔσεσθαι· 8Ἰδοὺ γὰρ ἐγώ φησι στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν οὓς κατέβη ὁ ἥλιος, τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου Ἄχαζ τοῦ πατρός σου, ἀποστρέψω εἰς τὰ ὀπίσω τὸν ἥλιον τοὺς δέκα ἀναβαθμούς. Τοῦτο καὶ εἴρηκε καὶ πεποίηκεν ὁ θεός. Ὁ μέντοι Σύμμ αχος ταῦτα οὕτω τέθεικεν· «Ἰδοὺ ἐγὼ παλινδρομῶ τὴν σκιὰν τῶν ἀναβαθμῶν ὧν κατέβη ἐν τῷ ὡρολογίῳ Ἄχαζ τὸν ἥλιον ὀπισθίως δέκα ἀναβάσεις.» Δηλοῖ τοίνυν ὁ λόγος μηχάνημά τι ὡροσκο ποῦν περὶ τοὺς βαθμοὺς ὑπὸ τοῦ Ἄχαζ κατεσκευάσθαι καὶ ἐν ἐκείνοις δοθῆναι τοῦ ἡλίου τὸ θαῦ μα. Εἶτα σωτηρίας ἀπολαύσας ὁ μακάριος Ἐζεκίας ὕμνοις ἀμείβεται τὸν τῶν ὅλων θεὸν καί φησιν· 10Ἐγὼ εἶπα· Ἐν τῷ ὕψει τῶν ἡμερῶν μου πορεύσομαι. Ὅτε ὑψώθην καὶ περίβλεπτος ἐγενόμην, τότε δέχομαι τοῦ βίου τὸ πέρας. Τούτοις ἔοικε τὸ ὑπὸ τοῦ μακαρίου Δαυὶδ εἰρημένον· «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ |146 b| σαλευθῶ εἰς τὸν αἰῶνα.» Ἐν πύλαις ᾅδου καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα. Τὴν τοῦ θανάτου φησὶ παρὰ τοῦ θεοῦ δεξάμενος ψῆφον ἀπέγνων τῆς σωτηρίας. 11Εἶπον· Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ γῆς ζώντων. Οὐκέτι φησὶν ὄψομαι κατὰ τόνδε τὸν βίον τὰς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ὑπὸ τοῦ θεοῦ γιγνομένας θαυματουργίας. Οὐ μὴ ἴδω ἄνθρωπον ἔτι μετὰ κατοικούντων. Ἐξέλιπον ἐκ τῆς συγγενείας μου, κατέλιπον τὸ λοιπὸν 12τῆς ζωῆς μου. Ἀλλότριος ἐγενόμην τῶν ζώντων, ξένος τῶν συγγενῶν μου. Ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν πήξας τὸ πνεῦμά μου παρ' ἐμοί. Σκηνὴν καλεῖ τὸ σῶμα, ἔνοικον δὲ τὴν ψυχήν, ἧς ἀναχωρούσης ἔοικε τὸ σῶμα καταλυομένῃ σκηνῇ. Εἶτα καὶ ἑτέραν εἰσάγει παραβολήν· Ἐγένετο ὡς ἱστὸς ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν. Ἐῴκειν φησὶν οὐ μόνον σκηνῇ καταλυομένῃ ἀλλὰ καὶ ὑφάσματι ἐν ἱστῷ μὲν ὄντι, οὐκ εἰς μακρὰν δὲ θεριζομένῳ. Πρὸς τούτοις διδάσκει τῆς νόσου τὴν χαλεπότητα· Παρεδόθην γάρ φησιν 13ἕως πρωὶ ὡς λέοντι· οὕτω συνέτριψε πάντα τὰ ὀστᾶ μου. Ἀπὸ γὰρ τῆς ἡμέρας ἕως τῆς νυκτὸς παρεδόθη<ν>. Ἐπειδὴ δὲ παρ' ἐλπίδα τῆς σωτηρίας ἀπήλαυσα, χελιδόνος καὶ περιστερᾶς τὴν ἀδολεσχίαν μιμήσομαι ὕμνους ὑφαίνων σοὶ τῷ χορηγῷ τῆς ζωῆς. 14Ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ μὴ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν κύριον, ὃς ἐξείλετό με καὶ ἀφείλετό μου 15τὴν ὀδύνην τῆς ψυχῆς. Πᾶσαν γὰρ ἀνθρωπίνην καταλιπὼν μηχανὴν πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ· σὺ δέ με οἰκτείρας τῆς ἐπικειμένης ὀδύνης ἀπήλλαξας. 16Κύριε περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοί. Περὶ τούτου γάρ φησι καὶ τὴν ἱκετείαν προσήνεγκά σοι. Καὶ ἐξήγειράς μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα. Ἐπανήγαγες γὰρ ταύτην μέλλουσαν κατασβέννυσθαι. 17Ἰδοὺ εἰς εἰρήνην ἡ πικρία μου. Μετε βλήθη φησὶν εἰς θυμηδίαν ἡ λύπη. Εἵλου γάρ μου τὴν ψυχήν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέρριψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας μου. 18Οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐγκαταβαίνοντες εἰς λάκκον τὴν ἀλήθειάν σου· 19οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. Ἡνίκα ἠσθένει, τὴν οἰκείαν εὐσέβειαν ὑπέδειξε τῷ θεῷ, καὶ τῆς σωτηρίας τυχὼν τὴν τοῦ θεοῦ φιλανθρωπίαν ὑμνεῖ ὡς τοῦ θανάτου διὰ ταύτην ἀπαλλαγείς. Ἀπέρριψας γάρ μού φησι τὰς ἀνομίας καὶ ἔδωκάς μοι πάλιν πρόφασιν εἰς κτῆσιν δικαιοσύνης· τοῖς γὰρ ἔτι ζῶσι τοῦτο ποιεῖν ῥᾴδιον· οἱ γὰρ τεθνεῶτες ἔξω τῆς ἐμπορίας γεγένηνται. Τοῦτο καὶ ὁ μακάριος ἔφη Δαυίδ· «Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;» Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω ἃ ἀναγγελεῖ τὴν δικαιοσύνην σου, 20κύριε τῆς σωτηρίας μου· καὶ οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ θεοῦ. Διηνεκῆ ὑμνῳδίαν καὶ τὴν ἐν τῷ θείῳ ναῷ προσεδρείαν ὁ πάντα ἄριστος ἐπα γγέλλεται βασιλεύς· προλέγει δὲ ὅτι καὶ παιδίων ἔσται πατὴρ τῆς θείας αὐτῷ δηλονότι χάριτος συνεργούσης. Τινὲς δὲ ἐντεῦθεν πρόφασιν εἰληφότες ἔφασαν τὸν μακάριον Ἐζεκίαν τὰς πρὸς τὸν Δαυὶδ ὑπὸ τοῦ θεοῦ γεγενη μένας ἐπιστάμενον ὑποσχέσεις καὶ ὅτι «οὐκ ἐκλείψει» τῆς βασιλείας τὸ γένος, «ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται», ἀμελῆσαι τῆ ς παιδοποιίας διὰ τὴν τῆς ζωῆς ἐπιθυμίαν, ὑπελάμβανε γὰρ μὴ πρότερον αὐτὸν τελευτήσειν πρὶν ἢ π αί δων γενέσθαι πατέρα· καὶ τούτου χάριν ὁ θεὸς τήν τε νόσον ἐπήγαγε καὶ τῆς τελευτῆς τὴν ψῆφον δέδωκεν, μετὰ δὲ τ οῦτό φησι τῆς θείας φιλανθρωπίας ἐπέτυχε καὶ τῆς ζωῆς τὸ δῶρον δεξάμενος εἶπεν· Ἀπὸ τοῦ νῦν παιδία ποιήσω ἃ ἀναγγελεῖ τὴν δικαιοσύνην σου, κύριε τῆς σωτηρίας μου. Καὶ ὁ μὲν λόγος ἔχει τὸ εἰκός, ἐμοὶ δὲ δοκεῖ τολ μήματι ἀ πονοίας ἀκολουθεῖν, μάλιστα τῆς θείας γραφῆς ἄκρον δικαιοσύνης τῷ βασιλεῖ μαρτυρού σης· ἐγῷμ αι τοίνυν ὅτι, μαθὼν ὅτι πέντε καὶ δέκα ἔτη μετὰ τὴν ἀρρωστίαν βιώσεται, τῆς παιδο ποιί ας ὑπέσχετο φρόντισιν, ἵνα καὶ ἐκθρέψας αὐτοὺς διαδόχους καταλίπῃ τῆς βασιλείας. Ὁ μέντοι προφήτης παρακελεύεται αὐτῷ παλάθην σύκων λεπτύνεσθαι καὶ χρᾶναι καὶ ἐπιθεῖναι τῷ ἕλκει καὶ τὴν ὑγε ίαν πορίσασθαι. Διδάσκει δὲ ἡμᾶς ὁ λόγος τὴν ἰατρικὴν μὴ ἀποσείεσθαι τέχνην· καὶ γὰρ καὶ αὐτὴ δῶρον θεοῦ. Προσήκει δὲ μὴ τῇ τέχνῃ θαρρεῖν ἀλλὰ τῷ ταύτης δοτῆρι· τοσαῦτα γὰρ αὕτη δύναται |147 a| ὅσα ἂν ἐκεῖνος βούληται. Καὶ πολλάκις μὲν διὰ σμικρῶν φαρμάκων μεγάλα τραύματα θεραπεύει, πολλάκις δὲ διὰ μεγάλων ἐλέγχεται, ἵνα μὴ ταύτῃ τῷ δὲ ταύτην δεδωκότι θαρρῶμεν. 22Καὶ εἶπεν Ἐζεκίας· Τοῦτο τὸ σημεῖον ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ. Θαρρῶ φησιν ὅτι καὶ τῆς ὑγείας τεύ ξομαι καὶ ἐν τῷ θείῳ ναῷ προσκυνήσω τὸν τῶν ὅλων θεόν. Κατ' αὐτὸν δὲ τὸν καιρὸν τῶν Βαβυλωνίων ὁ βασιλεὺς Μαροδὲχ ὁ τοῦ Βαλαδὰν υἱὸς πρεσβευτὰς καὶ δῶρα καὶ γράμματα ἐξέπεμψε τῷ βασιλεῖ Ἐζεκίᾳ, καὶ τὴν ἀρρωστίαν καὶ τὴν ὑγείαν μαθών. Ζητητέον δὲ πόθεν οὗτος τὰ κατὰ τοῦτον μεμάθηκεν. Δῆλον δὲ τοῖς συνιδεῖν δυναμένοις, ὡς οἱ μὲν ἐκπεφευγότες τὸν ἐπενεχθέντα τοῖς Ἀσσυρίοις ὄλεθρον τὸ ξένον καὶ παράδοξον ἐκήρυξαν θαῦμα· ἀκολου θῆσαν δὲ τὸ πολλῷ μεῖζον ἐκείνου καὶ παραδοξότερον, τὸ κατὰ τὸν ἥλιόν φημι, μειζόνως τοὺς Βαβυλωνίους ἐξέπληξεν. Συ νῆ καν γὰρ <ὅτι> ὁ τοσαύτας μυριάδας δίχα χειρὸς ἀνθρωπίνης διὰ τὸν εὐσεβῆ βασιλέα παραπέμψας θανάτῳ διὰ τοῦτον πάντως καὶ τοῦτο τὸ θαῦμα πεποίηκεν. Καὶ πολλοῦ ἀξίαν τὴν τοῦ θεοῦ φιλανθρωπίαν καὶ συμμαχίαν ἐνόμισαν, ὃς οὐ δεῖται ὅπλων παραττόμενος ἀλλ' ἀοράτως καταλύει τοὺς ἐπιόντας. Ἔπειτα ἡμ ᾶς ὁ προφήτης διδάσκει ὡς ἥσθη μὲν 392 ἐπ' αὐτοῖς Ἐζεκίας, ἔδειξε δὲ αὐτοῖς τὸν οἶκον τοῦ νεχωθὰ καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ· καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν αὐτοῖς Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. Τὸν δὲ οἶκον τοῦ νεχωθὰ «τὸν οἶκον τῶν ἀρωμάτων» ὁ Σύμμαχος εἴρηκε, τὴν δὲ στακτὴν «ἡδύσματα» προσηγόρευσεν· ἡγοῦμαι δὲ τὴν στακτὴν τὸ βάλσαμον εἶναι. Γάζαν δὲ καλεῖ τὸν θησαυρόν. Ὁ δὲ τῶν ὅλων θεὸς τούτων γεγενημένων ἠχ<θ>έσθη· οὐ γὰρ ἐπὶ τούτοις ἔδει μέγα φρονῆσαι τὸν εὐσεβῆ βασιλέα οὐδὲ ταῦτα τοῖς ἀφιγμένοις ἐπιδεῖξαι ἀλλὰ τοῦ θεοῦ διδάξαι τὴν δύναμιν καὶ κηρύξαι τὰ μέγιστα θαύματα καὶ πρὸς τὴν ἀλήθειαν ποδηγῆσαι καὶ πρόφασιν διδασ καλίας τὴν πρεσβείαν ποιήσασθαι. Διὰ τοῦτο πέμπει μὲν πρὸς αὐτὸν τὸν προφήτην, πυνθάνεται δὲ καὶ πόθεν οἱ ἀφιγμένοι καὶ τίς αὐτοὺς ἤγαγε πρόφασις μονονουχὶ λέγων ὡς· Ἐγὼ τούτων αἴτιος, ὁ γὰρ πρὸ βραχέος ὑπ' αὐτῶν πολεμούμενος καὶ φόρον αὐτοῖς ὑπισχνούμενος νῦν παρ' αὐτῶν δέχῃ δῶρα καὶ φόρον καὶ φίλος γενέσθαι παρακαλεῖ. Εἶτα τοῦ Ἐζεκίου εἰρηκότος ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

3ἐκ γῆς πόρρωθεν ἥκασι πρός με, ἐκ Βαβυλῶνος, πάλιν ὁ προφήτης ἤρετο· 4Τί εἶδον ἐν τῷ οἴκῳ σου; Ἐκείνου δὲ εἰρηκότος πάντα αὐτοὺς καὶ τὰ δῆλα καὶ τὰ κεκρυμμένα ἰδεῖν, εἶπεν ὁ προφήτης· 5Ἄκουσον τὸν λόγον κυρίου Σαβαώθ· 6Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλειφθῇ· εἶπε δὲ ὁ θεὸς 7ὅτι καὶ ἀπὸ τῶν τέκνων σου τῶν ἐξερχομένων ἀπό σου ὧν γεννήσεις λήψονται καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων. Δηλοῖ δὲ διὰ τούτων ὡς εὐσέβειαν μὲν καὶ δικαιοσύνην καὶ παιδείαν οὐδεὶς ἀφελέσθαι δυνήσεται, ὁ δὲ πλοῦτος οὐκ ἔστι μόνιμον ἀγαθόν· μεταβατικὴν γὰρ ἔχει τὴν φύσιν καὶ νῦν μὲν τοῦτον νῦν δὲ ἐκεῖνον λαμπρύνει. Ἐπειδὴ τοίνυν ταῦτα ὑπέδειξας καὶ οὐ τὴν ἐμὴν προμήθειάν τε καὶ κηδεμονίαν, εὖ ἴσθι ὡς ταῦτα ὑπὸ τὴν ἐκείνων γενήσεται δεσποτείαν· πρὸς δὲ τούτοις καὶ ἐκ τῶν σῶν ἀπογόνων ἀπαχθήσονται δορυάλωτοι καὶ τῷ Βαβυλωνίων δουλεύσουσι βασιλεῖ. Σπάδοντας δὲ τοὺς εὐνούχους λέγει. 8Καὶ εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν· Ἀγαθὸς ὁ λόγοςκυρίου ὃν ἐλάλησεν· γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου. Πάντα φησὶ τὰ ὑπὸ τοῦ θεοῦ τῶν ὅλων εἰρη μένα ἀγαθά τε καὶ ὀνησιφόρα· ἔχω γὰρ θυμηδίαν ἀρκοῦσαν ὡς τα.............. |147 b| ...ροὺ ς μὴ θεῶμ αι · διὸ αἰτῶ εἰρήνης τυχεῖν παρὰ πᾶσάν μου τὴν ζωήν, οὐ μόνον δὲ εἰρήνης ἀλ λὰ καὶ δικαιοσύνης· ἀνωφελὴς γὰρ εἰρήνη δικαιοσύνης κεχωρισμένη. Ἐπαινετὸς μὲν οὖν ὁ βασιλεὺς τὴν δικαιοσύνην μετὰ τῆς εἰρήνης αἰτήσας, οὐ βασιλικὴ δὲ ὅμως ἡ αἴτησις· τὸν γὰρ τῶν ὑπηκόων κηδεμόνα πᾶσαν ἐκείνων προσήκει ποιεῖσθαι κηδεμονίαν· ἔδει τοίνυν αὐτὸν καὶ ὑπὲρ τῶν ἐγγόνων, ἐ φ' ὧν ἔμελλεν ἔσεσθαι ἐκεῖνα τὰ σκυθρωπά, προσενεγκεῖν ἱκετείαν τῷ φιλανθρώπῳ δεσπότῃ. Ἡμᾶς <δὲ> προσήκει μήτε ἐπὶ πλούτῳ μήτε ἐπὶ ῥώμῃ μήτε ἐπ' ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων μέγα φρονεῖν ἀλλὰ καὶ πλοῦτον ἔχοντα καὶ σοφίαν καὶ δύναμιν τῷ θεῷ μόνῳ θαρρεῖν τῷ καὶ τούτων δοτῆρι καὶ τὴν παρ' αὐ τοῦ προσμέ νειν ῥοπήν· ᾧ πρέπει δόξα καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

12 ΤΟΜΟΣ ΙΒ´

401Παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ θεός. 2Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. Προηγόρευσεν ἐν τοῖς ἔμπροσθεν ἡρμηνευμένοις τὴν ὑπὸ τῶν Βαβυλωνίων ἐσομένην αἰχμαλωσίαν. Ὁ δὲ βασιλεὺς Ἐζεκίας οὐ προσήνεγκεν ἱκετηρίαν τῷ δεσπότῃ θεῷ οὐδὲ ἠν τι βόλ ησ ε λυθῆναι τὴν ἀπειλὴν ἀλλὰ τῆς οἰκείας σωτηρίας ἐφρόντισε μόνης εἰρηκώς· «Γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.» Τούτου δὴ χάριν ὁ τῶν ὅλων θεὸς τὸν βασιλέα καταλιπὼν τοῖς ἱ ερεῦσι παρακελεύεται παραμυθεῖσθαι τὴν Ἱερουσαλὴμ ὡς ἤδη τῆς ἀπειληθείσης τιμωρίας καταλα β ούσης. Τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς· Παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπεί νωσις αὐτῆς. Πέρας καλὸ ν ἔλαβε τὰ τῆς ἀπειλῆς. Λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Ἄξιον ἐνταῦθα θαυμάσαι τὴν τοῦ δεσπότου φιλανθρωπίαν· ἀγαθὸς γὰρ ὢν καὶ ἀγαθότητος ἄβυσσος καὶ σφόδρα ἐλάττονα τῆς ἁμαρτίας τιμωρίαν ἐπάγων τὴν σμικρὰν τιμωρίαν διὰ πολλὴν φιλανθρωπίαν διπλασίονα τῆς ἁμαρτίας καλεῖ. Ὅτι δὲ τῆς ἁμαρτίας σφόδρα ἐλάττων ἦν ἡ τιμωρία, μάρτυς ὁ αὐτὸς προφήτης βοῶν· «Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.» Ἀλλ' ὅμως ἐλέῳ πλείστῳ τὸ δίκαιον κεραννύς, ἣν οἱ τιμωρούμενοι σμικρὰν ἐκάλουν παιδείαν διπλασίονα ὠνόμασεν ὁ κριτής. Εἶτα διδάσκει τοὺς παρακαλοῦντας τῆς ψυχαγωγίας τὸν τρόπον· 3Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε διὰ τῆς ἀβάτου τὰς τρίβους τοῦ θεοῦ ἡμῶν. Ἡ ἀληθὴς παράκλησις καὶ παραψυχὴ <καὶ> τῶν ἀνθρωπίνων λύσις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακῶν <ἡ> τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησις. Ταύτης δὲ κῆρυξ ἐγένετο πρῶτος ὁ θεσπέσιος Ἰωάννης ὁ βαπτιστής. Τὰ κα τ ' αὐτὸν τοίνυν ὁ προφητικὸς προαγορεύει λόγος· τοῦτο γὰρ ἡμᾶς καὶ οἱ τρεῖς μακάριοι ἐδίδαξαν εὐα γγελισταί, ὁ δὲ θειότατος Μᾶρκος καὶ προοίμιον τοῦτο τῆς συγγραφῆς ἐποιήσατο. Καὶ αὐτὸς δέ γε ὁ θεσπέσιος Ἰωάννης ἐρωτηθεὶς ὑπὸ τῶν Φαρισαίων, εἰ αὐτὸς εἴη ὁ Χριστός, ἔφη· «Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης»· οὔκ εἰμι θεὸς λόγος ἀλλὰ φωνή, ἐγὼ γὰρ κηρύττω τὸν ἐνανθρωπήσαντα θεὸν λόγον. Ἄβατον δὲ καλεῖ τὰ ἔθνη τὸ προφητικὸν ἴχνος οὐδέπω δεξάμενα. 4Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς πεδία. Τὴν εὐκολίαν τοῦ κηρύγματος διὰ τούτων ἐδήλωσεν· διὰ ταύτην γὰρ ἐν ὀλίγῳ χρόνῳ πᾶσαν τοῦτο τὴν οἰκουμένην ἐπλήρωσεν. Φάραγγας δὲ πληρουμένας καὶ ὄρη καὶ βουνοὺς ταπεινουμένους κατὰ μὲν τὸ ῥητὸν νοητέον τὴν λείαν ὁδὸν καὶ δυσκολίας ἀπηλ λαγμένην, κατὰ δὲ διάνοιαν φάραγγες μέν εἰσιν αἱ τῶν ἀπίστων ψυχαὶ εἰς βάθος που κείμεναι καὶ μετάρσιον οὐκ ἔχουσαι φρόνημα, ὄρη δὲ καὶ βουνοὶ οἱ ἐν τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς θεραπευόμενοι δαίμονες ὧν τὴν πλάνην ἡ τοῦ σωτῆρος ἡμῶν ἔσβεσεν ἐνανθρώπησις. Οὐκ ἂν δέ τις ἁμάρτοι καὶ περὶ Ἰουδαίων τοῦτο εἰρῆσθαι φήσας· περι φανεῖς γὰρ ὄντες καὶ περίβλεπτοι πάλαι διὰ τὴν θείαν |148 a| κηδεμονίαν ἧς ἀπήλαυον, νῦν ἐταπεινώθησαν ἔρημοι ταύτης γενόμενοι. Δηλοῖ τοίνυν ὁ λόγος ὅτι τὰ μὲν ταπεινὰ ἔθνη ὑψωθήσεται, οἱ μέγα δὲ φρονοῦντες Ἰουδαῖοι ταπεινω θήσονται. Τοῦτο γὰρ δηλοῖ καὶ τὰ ἑξῆς· 5Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. Καὶ ἡ βεβαίωσις τῶν εἰρημ ένων · Ὅτι κύριος ἐλάλησεν. Ἀψευδὴς γάρ φησιν ὁ ταῦτα φθεγξάμενος. Ἐγὼ δὲ λίαν ἄγαμαι τοὺς οἰομένους ταῦτα περὶ τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου τὸν προφήτην θεσπίσαι· ἔδει γὰρ αὐτοὺς συνιδεῖν ὅτι σ αφ ῶς ὁ προφητικὸς προηγόρευσε λόγος πᾶσιν ἀνθρώποις δῆλον ἔσεσθαι τοῦ θεοῦ τὸ σωτήριον, ἐκείνη δὲ ἡ ἀνάκλησις οὐ πᾶσιν ἐγένετο δήλη, ὁ δὲ σωτήριος σταυρὸς καὶ τὰ δεσποτικὰ πάθη καὶ αὐτὰς ἔφθασε τὰς τῆς οἰκουμένης ἐσχατιάς. 6Φωνὴ λέγοντος· Βόησον. Τοιαύτη τίς φησιν ἠνέχθη φωνή, βόησόν μοι παρεγγυῶσα. Καὶ εἶπον· Τί βοήσω; Εἶτα λέγει τὸ προσταχθέν· Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· 7ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν, ὅτι πνεῦμα κυρίου ἔπνευσεν εἰς αὐτόν· ἀληθῶς ὅμοιος χόρτῳ ὁ λαός· 8ἐξηράνθη ὁ χόρτος, καὶ ἐξέπεσε τὸ ἄνθος. Τῶν ἐθνῶν ἁπάντων προθεσπίσας τὴν σωτηρίαν προμηνύει καὶ τῶν Ἰουδαίων τὴν ἀκαρπίαν. Φύσει μὲν γάρ φησι χόρτῳ ἔοικε τῶν ἀνθρώπων τὸ γένος, ἄνθει δὲ χόρτου ἡ ἐπιγινομένη δόξα καὶ δυναστεία. Καὶ καθάπερ τοῦ χόρτου ξηραινομένου τὸ ἄνθος ἐκρεῖ, οὕτω τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπιόντος καὶ ἡ δυναστεία καὶ ἡ περιφάνεια σβέννυται. Γίνεται δὲ τοῦτο διὰ τοῦ θείου θελήματος καθάπερ τινὸς προσβαλόντος πνεύματος. Ἀληθέ στερον μέντοι ταῦτα ἁρμόττει τῷ χρηματίσαντι πάλαι λαῷ, ὃς ἐξηράνθη μὲν οὐκ ἔχων τὴν νοτίδα τῆς πίστεως, τὴν ἐπανθοῦσαν δὲ ἀπώλεσε χάριν. Καὶ ἵνα μή τις ὑπολάβῃ ἀγνοίᾳ τὸν τῶν ὅλων θεὸν τοῦτον ἐκλέξασθαι τὸν λαόν, ἐπήγαγεν· Τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. Ἄνωθέν φησι ταῦτα καὶ προέγνω καὶ προηγόρευσεν, ἀλλ' ὅμως καὶ ταύτην αὐτῶν τὴν ἀπείθειαν εἰδὼς ἐπιβαίνει προτ ρέπων εἰς σωτηρίαν· ᾔδει γὰρ τοὺς ἐν αὐτοῖς τὸ σωτήριον κήρυγμα δεξαμένους. 9Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος τὴν Σιών, ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ, ὑψώσατε μὴ φοβεῖσθε. Τὸν ἀποστολικὸν ἐνταῦθα χορὸν ὁ προφητικὸς διεγείρει λόγος. Οὗ δὴ χάριν ἑνικῶς σχηματίσας τὴν παρακέλευσιν εἰς τὸν πληθυντικὸν μεταβέβηκε καί φησιν· Ὑψώσατε μὴ φοβεῖσθε. Οὕτως αὐτοῖς <καὶ> ὁ δεσπότης ἔλεγε Χριστός· «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυνα μένων ἀποκτεῖναι.» Καὶ πάλιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοὺς τῆς εἱρκτῆς ἀπαλλάξας παρ ηγγύησε μετὰ παρρησίας λαλεῖν τὰ ῥήματα τῆς ζωῆς. Ὅρος δὲ καλεῖ τῆς θεογνωσίας τὸ ὕψος. Εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ θεὸς ὑμῶν, 10ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρείας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἑκάστου ἐναντίον αὐτοῦ. Ταῦτα τὴν δευτέραν τοῦ σωτῆρος ἡμῶν παρουσίαν μηνύει· τότε γὰρ καὶ τὸν μισθὸν τοῖς ἐργά ταις παρέξει καὶ «ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»· τότε γὰρ «τὸ ἔργον ἑκάστου φανερὸν γενήσεται» κατὰ τὴν τοῦ ἀποστόλου φωνήν· «Ἡμέρα γάρ» φησι «δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει.» Τοῦτο καὶ τοῖς ἱεροῖς ἀποστόλοις ὁ κύριος ποιεῖν παρηγγύησεν· «Πορεύεσθε» γὰρ ἔφη «πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰακώβ. Πορευόμενοι δὲ λέγετε ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.» Ἔστι τοίνυν ἰδεῖν οὕτω συ μβαίνοντα τοῖς εὐαγγελικοῖς λόγοις τὰ κατὰ τὸν προφήτην θεσπίσματα. 11Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας καὶ ἐν τῷ κόλπῳ αὐτοῦ βαστάσει καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλεῖ. Καὶ τούτων τὸ πέρας ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἀκ ριβῶς ἀληθῶς τε μάθωμεν. Πρῶτον μὲν γὰρ αὐτὸς ὁ κύριος ἔφη· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.» Συνήγαγε |148 b| δὲ καὶ τῷ βραχίονι ἄρνας· τῇ τῆς διδασκαλίας δυνάμει. Νῦν γὰρ τοῖς ἁλιεῦσιν ἔλεγεν· «Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιέας ἀνθρώπων», νῦν δὲ τοὺς τελώνας ἐκάλει καὶ τούτοις συνειστιᾶτο· ἄλλοτε δὴ καὶ πόρνης γυναικὸς παρὰ τοὺς πόδας ὀλοφυρομένης ἠνέσχετο· παρεκάλεσε δὲ καὶ τὰς κυούσας ὥσπερ σωτηρίᾳ τικτούσας· μανθάνουσαι γὰρ τὴν τοῦ θανάτου κατάλυσιν καὶ τῆς ἀναστάσεως τὴν ἐλπίδα, ἱκανὴν εἶχον τῶν ὠδίνων παραμυθίαν τῶν κηρυττομένων τὴν προσδοκίαν. Καὶ ἔτι δὲ κυοφορούμενος ὑπὸ τῆς ἁγίας παρθένου κυοφοροῦσαν τὴν Ἐλισάβετ εὐφροσύνης ἐνέπλησεν. Εἶτα διδάσκει τοῦ ἐνανθρωπήσαντος θεοῦ λόγου τὴν σοφίαν, τὴν ἐπιστήμην, τὴν δύναμιν καὶ διελέγχει τῶν εἰδώλων τὸ μάταιον· 12Τίς ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί; Τὸ μὲν θεῖον ἀσώματόν τε καὶ ἀσχημάτιστον καὶ ἁπλοῦν καὶ ἀσύνθετον· ἐπειδὴ δὲ ἀνθρώπους ὄντας οὐ δυνατὸν ἄλλως ἢ ἀπὸ τῶν ἀνθρωπείων τὰ θεῖα καταμαθεῖν, διδάσκει ἡμᾶς ὁ προφητικὸς λόγος ὡς αὐτὸς μὲν ὁ τῶν ὅλων θεὸς ἀπερίληπτός τε καὶ ἀπερίγραφος, πᾶσαν δὲ τὴν κτίσιν ἐν χειρὶ περιέχει–τῆς χειρὸς δηλονότι ἐνεργείας τινὸς νοουμένης–, ὡς πᾶσαν μὲν τῶν ὑδάτων τὴν φύσιν μέτρον ἔχειν κοτύλης, τὰ δὲ τῶν οὐρανῶν κύτη τῇ σπιθαμῇ περιέχε σθαι, τὴν δὲ γῆν ἅπασαν μηδὲν διαφέρειν σμικροτάτης τινὸς ὕλης ὑπὸ τῶν πέντε τῆς χειρὸς συνεχομένης δακτύλων. Τί ἔστησε τὰ ὄρια σταθμῷ καὶ τὰς νάπας ζυγῷ; Ἀντὶ τοῦ· πάντα αὐτῷ δυνατά, πάντα αὐτῷ μετρητά, καὶ ἕκαστον τῆς δημιουργίας εἶδος πρός τι γεγένηται χρήσιμον, οὐδὲν γὰρ ἀργὸν οὐδὲ περιττὸν εἰς τὸ εἶναι παρήχθη. 13Τίς ἔγνω νοῦν κυρίου, καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο ὃς συμβιβάσει αὐτόν; 14Ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; Ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ; Ἅπαντες ἄνθρωποι διδασκαλίας δεόμεθα. Κἂν γὰρ ἄγαν τις ᾖ σοφός, ἀνατίθεται τὸ πρακτέον ἑτέρῳ· ὁ δὲ τῶν ὅλων θεὸς σοφίας ἐστὶν ἄβυσσος καὶ συνέσεως πέλαγος. 15Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, καὶ ὡς <σ>ίαλος λογισθήσονται· 16ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, 17καὶ πάντα τὰ ἔθνη εἰς οὐθέν εἰσι καὶ εἰς οὐθὲν ἐλογίσθησαν αὐτῷ. 18Τίνι ὡμοιώσατε κύριον ἢ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; Καὶ νομο θετῶν ὁ τῶν ὅλων θεὸς παρεκελεύσατο λέγων· «Οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, ὅτι ἐγὼ κύριος ὁ θεός σου», τουτέστιν· οὗ εἶδος οὐκ ἐθεάσω. Καὶ ἐν ταῦθα ὁ προφητικὸς λόγος τῶν τὰ εἴδωλα τεκταινομένων τε καὶ προσκυνούντων τὴν ἄνοιαν διε λέγχ ων φιλονεικεῖ μὲν τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θείας δυνάμεως τὸ ἄπειρον δεῖξαι, μὴ δυνάμενος δὲ ἄλλως τοὺς ἀνθρώπους διδά ξαι ἀπὸ τῆς κτίσεως δείκνυσι τὴν ὑπερβολήν· ὅπερ γάρ ἐστί φησι σταγὼν πρὸς κάδον καὶ ῥ οπὴ ζυγοῦ καὶ σίαλος, τοῦτο πᾶσα τῶν ἀνθρώπων ἡ φύσις πρὸς τὴν ἄρρητον ἐκείνην καὶ ἀπεριό ριστον δύναμιν. Εἶτα διδάσκει ὡς ἅπαντα τῶν τετραπόδων τὰ γένη σμικρά τινα καὶ οὐκ ἀρκοῦντα πρὸς θ υσίαν τῇ θείᾳ μεγαλειότητι, ἅπαντα δὲ τοῦ Λιβάνου τὰ ξύλα οὐχ ἱκανὰ πληρῶσαι τὸ ἐπι καιόμεν ον πῦρ. Ποίαν τοίνυν εἰκόνα τοῦ τοιούτου κατασκευάσαι δυνήσεσθε; 19Μὴ εἰκόνα ἐποίησε τέκτων; Ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτὸν ἢ ὁμοιώματι κατεσκεύασεν αὐτόν; Τὸν οὕτως ἄπειρον, τὸν οὕτως ἀπεριόριστον ποία τέχνη δύναται μιμήσασθαι; 20Ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων καὶ σοφῶς ζητεῖ, πῶς στήσει αὐτὸ εἰκόνα καὶ ἵνα μὴ σαλεύηται. Ἐπὶ μὲν τοῦ θεοῦ τῶν ὅλων ἔφη οὕτως · «Ὁ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν», ἐνταῦθα δὲ τῶν εἰδώλων κωμῳδῶν τὴν ἀσθένειαν ἀποφαίνει ξύλου τὸν τεχνίτην δεόμενον εἰς τὴν τοῦ καλουμένου θεοῦ διαμόρφωσιν. Οὐ μόνον δέ φησιν |149 a| ἐξ ἐράνου λαμβάνει καὶ τὴν οὐσίαν καὶ τὸ εἶδος, ἀλλὰ καὶ πολλῆς δεῖται τ έχνης, ἵνα τύχῃ ὁμοιώ σεως καὶ ἀκίνητον μείνῃ. Εἶτα ἐντρεπτικῶς· 21Οὐ γνώσεσθε; Οὐκ ἀκούσεσθε; Οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; Οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς; Οὐκ ἄνωθέν φησιν ὑμᾶς ἐδίδαξα τῶν εἰδώλων τὸ ἀσθενές ; Οὐκ ἔγνωτε τίς ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς; Τοῦτο γὰρ ἐπήγαγεν· 22Ὁ κατέχων τὸν γῦρον τῆς γῆς καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας. Αὐτός φησιν αὐτὴν παρήγαγεν, αὐτὸς κατέχει καὶ κυβερνᾷ. Καὶ ἀκρίδων οὐδὲν διενηνόχασιν οἱ ἄνθρωποι τῇ θείᾳ δυνάμει παραβαλλόμενοι. Εἶτα διδάσκει ὡς οὐ μόνον τῆς γῆς ἐστι ποιητὴς ἀλλὰ καὶ τῶν οὐρανῶν δημιουργός· Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖν. Ἐπειδὴ γὰρ ἐδάφει μὲν ἔοικεν ἡ γῆ, μιμεῖται δὲ καμαροειδῆ καὶ θολοειδῆ ὄροφον ὁ οὐρανός, εἰκότως σκηνῇ αὐτὸν ἀπείκασεν. Καὶ οὕτως ἡμῖν ὑποδείξας δημιουργὸν τὸν τῶν ὅλων θεὸν ὁ προφητικὸς λόγος ὑποδείκνυσιν ἡμῖν αὐτοῦ καὶ τὴν ἄρρητον πρόνοιαν· 23Ὁ διδοὺς ἄρχοντα<ς> εἰς οὐδὲν ἄρχειν. Οὕτω γὰρ καὶ τὸν Σενναχηρὶμ καὶ τὸν Ναβουχοδονόσορ καὶ μυρίους ἑτέρους κατέλυσεν. Τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησεν. Οὐδὲ γὰρ τοῖς δημιουργήμασιν ἡ δύναμις μεμέτρη ται τοῦ ποιητοῦ ἀλλὰ τῇ βουλήσει μόνῃ· «Πάντα» γάρ φησιν «ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν», οὐχ ὅσα ἴσχυσεν ἀλλ' ὅσα ἠθέλησεν· ἠδύνατο μὲν γὰρ πολλαπλάσια, πεποίηκε δὲ ἃ καλῶς ἔχειν ἔκρινεν. 24Οὐ γὰρ μὴ σπείρωσιν οὐδὲ μὴ φυτεύσωσιν, οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν· ἔπνευσεν ἐπ' αὐτοὺς ἄνεμος καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα λήψεται αὐτούς. Περὶ τῶν ἀρχόντων ταῦτα ἔφη τῶν δυσσεβῶν οὓς τῆς δυναστείας ἐγύμνωσεν. 25Νῦν οὖν τίνι με ὡμοιώσατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ ἅγιος. Τὸν ταῦτα πεποιηκότα, τὸν ταῦτα διηνεκῶς ἐνεργοῦντα τίνι ἀπεικάζετε; Ποῖον ἄξιον προσφέρετε σέβας; 26Ἀνα βλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε· Τίς κατέδειξε ταῦτα πάντα; Βλέπετε γάρ φησι τὸν ἥλιον, τὴν σελήνην, τὴν τῶν ἀστέρων χορείαν, τὰς τοῦ ἔτους τροπάς, τὰς τῶν ὡρῶν μεταβολάς, τὰς ἰσομέτρους νυκτὸς καὶ ἡμέρας διαδοχάς. Τοῦ το γὰρ ἐπήγαγεν· Ὁ ἐκφέρων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ. Κόσμον δὲ καλεῖ τὴν τῆς κτίσεως διακόσμησιν. Πάντας ἐπ' ὀνόματι καλέσει. Οὐδέν φησιν ἀγνοεῖ ἀλλὰ πάντα σαφῶς ἐπίσταται· αὐτὸς γὰρ ἑκάστῳ καὶ τὰ ὀνόματα τέθεικεν. Ἀπὸ πολλῆς δόξης καὶ ἐν κράτει ἰσχύος οὐδέν σε ἔλαθεν. Πάντα ἰσχύει, πάντα δύναται, οὐδὲν ἀγνοεῖ τῶν γιγνομένων καὶ αὐτοὺς ἐπί σταται τῶν ἀνθρώπων τοὺς λογισμούς. 27Μὴ γὰρ εἴπῃς Ἰακώβ, καὶ τί ἐλάλησας Ἱερουσαλήμ· Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ θεοῦ μου, ἡ κρίσις μου παρῆλθεν; Μὴ νόμιζέ φησιν ἀγνοεῖν με τῶν ὑμετέρων ψυχῶν τὰ βουλεύματα μηδὲ οἵου λανθάνειν τὰ πονηρὰ λογιζόμενος. Ἐντεῦθεν δῆλον ὡς κ αὶ τούτων αὐτῶν ἐποιήσατο τῆς πολυθεΐας κατηγορίαν. 28Καὶ νῦν οὐκ ἔγνως; Εἰ μὴ ἤκουσας; Ταῦτα οἱ Τρεῖς σαφέστερον ἡρμήνευσαν· ὁ μὲν γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σύμμαχός φησιν· «Μὴ οὐκ ἔγνως ἢ οὐκ ἤκουσας;» Ὁ δὲ Ἀκύλας· «Μήτι οὐκ ἔγνως ἢ οὐκ ἤκουσας;» Ὁ δὲ Θεοδοτίων· «Οὐκ ἔγνως ἢ οὐκ ἤκου σας;» Οὐδεμίαν φησὶν ἀ πο λογίαν ἔχεις· διὰ πάντων γάρ σε τῶν προφητῶν καὶ μυρίων θαυμάτων τὴν ἐμὴν ἐδίδαξα δύν αμιν. Εἶτα ἀναμιμνῄσκει ὧν πολλάκις ἐδίδαξεν· Θεὸς αἰώνιος. Τοῦτο καὶ ὁ μακάριος ἔφη Μω υσῆς· «Ἐγώ εἰμι ὁ ὤν», καὶ ὁ μακάριος δὲ Δαυίδ φησι πρὸς αὐτόν· «Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν», καὶ πάλιν· «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.» Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς. Καὶ τοῦτο ὁ μακάριος ἐδίδαξε Μωυσῆς· «Ἐν ἀρχῇ» γάρ φησιν «ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὁ μακάριος Δαυίδ· «Ὁ θεμελιῶν τὴν γῆν καὶ τὴν ἀσφάλειαν αὐτῆς.» Οὐ πεινάσει οὐδὲ κοπιάσει. Καὶ τοῦτο διὰ τοῦ μακαρίου ἔφ η Δαυίδ · «Μὴ |149 b| φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι;» Οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. Καὶ τοῦτο καὶ ὁ μακάριος Δαυὶδ προεκήρυξεν· «Μέγας ὁ κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.» 29Διδοὺς τοῖς πεινῶσιν ἰσχὺν καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. Τοῦτο καὶ ἡ θαυμασία Ἄννα ἔφη· «Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ» καὶ τὰ ἑξῆς. 30Πεινάσουσι γὰρ νεώτεροι καὶ κοπιάσουσι νεανίσκοι καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται· 31οἱ δὲ ὑπομένοντες τὸν θεὸν ἀλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσιν. Ταῦτα δὲ καὶ ἐπὶ τῶν Ἰουδαίων καὶ ἐπὶ τῶν θείων ἀποστόλων ἐγένετο. Ὅσοι μὲν γὰρ ἠπίστησαν, λιμῷ καὶ λοιμῷ καὶ πολέμῳ καὶ ἀνδραποδισμῷ παρεδόθησαν· οἱ δὲ πεπιστευ κότες τῷ παναγίῳ νεουργηθέντες πνεύματι τὴν ὀξυτάτην τῶν ἀετῶν μιμησάμενοι πτῆσιν εἰς ἅπασαν ἔδραμον τὴν οἰκουμένην ὡς ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασιν. Οὕτω τῶν ἀποστόλων ὑποδείξας τὸν δρόμον ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις προαγορεύει τὴν σωτηρίαν· 411Ἐγκαινίζεσθε πρός με νῆσοι· οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν. Νήσους τὰς ἐκκλησίας καλεῖ ὡς τὰ τῶν διωκόντων κύματα δεχομένας καὶ ἐπὶ τῆς πέτρας ἐρηρεισμένας, ἄρχοντας δὲ προσαγορεύει τῆς ἀληθείας τοὺς κήρυκας ἑτέρους ἀνθ' ἑτέρων μετὰ τὴν κλῆσιν γεγενημένους· «Δεῦτε» γάρ φησιν «ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιέας ἀνθρώπων.» Ἤλλαξαν τοιγαροῦν τὴν ἰσχύν· οὐκέτι γὰρ ἰχθύας ἀπὸ λίμνης μιᾶς ἀλλ' ἀνθρώπους ἀπὸ πάσης τῆς οἰκουμένης ἐθήρευον. Ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν. Τοῖς αὐτοῖς παρακελεύεται σύμφωνον προσφέρειν διδασκαλίαν καὶ τὴν ἐσομένην κρίσιν ἅπασι προμηνύειν. 2Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην; Ἐκάλεσαν αὐτὸν κατὰ πόδας αὐτοῦ, καὶ πορεύσονται, καὶ δώσει ἐναντίον ἐθνῶν καὶ βασιλεῖς ἐκστήσει καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τέκνα αὐτῶν 3καὶ διώξεται αὐτούς, καὶ διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ, οὐχ ἥξει. Περὶ ταύτης τῆς δικαιοσύνης καὶ ὁ μακάριος ἔφη Παῦλος· «Ἐδόθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.» Ταύτης τῆς δικαιοσύνης ἀνατειλάσης καὶ τὴν οἰκουμένην περιδραμούσης ἐξέστησαν μὲν βασιλεῖς, ἡττήθησαν δὲ τύραννοι, πᾶν δὲ εἶδος τιμωρίας ἠλέγχθη, καὶ τοὺς διώκοντας οἱ διωκόμενοι νενικήκασι καὶ ὡς ἄκρας εἰρήνης ἀπολαύοντες τὸν προκείμενον ἐξήνυσαν δρόμον. Τὸ μέντοι· οὐχ ἥξει, παρὰ μὲν τοῖς Ἑβδομήκοντα οὐ κεῖται, ὡς δὲ παρὰ τοῖς Ἄλλοις κείμενον προσετέθη μετὰ ἀστερίσκου. Δηλοῖ δὲ ὡς δικαιοσύνη οὐ πᾶσιν ἥξει ἀλλὰ το ῖς πιστεύουσιν· οἱ γὰρ δυσσεβεῖς οὐδὲ προσέχειν ἐβούλοντο τοῖς θείοις κηρύγμασιν. 4Τίς ἐνήργησε καὶ ἐποίησε ταῦτα; Ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς, τουτέστι τὴν δικαιοσύ νην. Ἄνωθέν φησι τὰ περὶ αὐτῆς προηγόρευσεν. Ταύτας καὶ πρὸς τὸν Ἀβραὰμ ἐποιήσατο τὰς συνθήκας «Ἐν τῷ σπέρματί σου» λέγων «εὐλογηθήσεται πάντα τὰ ἔθνη τῆς γῆς» καὶ πρὸς τὸν Ἰσαὰκ καὶ πρὸς τὸν Ἰ ακ ὼβ καὶ πρὸς τὸν Μω<υ>σέα καὶ πρὸς τὸν Δαυίδ· ταῦτα καὶ διὰ τῶν ἄλλων προφητῶν προηγό ρευσεν .



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐγὼ θεὸς πρῶτος καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. Οὐκ ἄλλος φησὶ τὴν παλαιὰν ἔδωκε διαθήκην καὶ ἄλλος νομοθετεῖ τὴν καινήν· μία ἐστὶν ἡ θεία φύσις, ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχουσα. 5Εἶδον ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἐξέστησαν. Καὶ μαρτυρεῖ τῶν πραγμάτων ἡ πεῖρα· καταλιπόντες γὰρ τὴν πλάνην οἱ ἄνθρωποι μετέμαθον τὴν ἀλήθειαν. Ἤγγισαν καὶ ἦλθον ἅμα, 6κρίνων ἕκαστος τῷ πλησίον βοηθῆσαι καὶ τῷ ἀδελφῷ. Οἱ γὰρ πάλαι πλανώμενοι τοῦ τῆς θεογνωσίας φωτὸς ἀπολαύσαντες οὐκ ἀνέχονται κρύπτειν τὴν αἴγλην ἀλλὰ πάντας εἰς κοινωνίαν καλοῦσιν. Καὶ ἐρεῖ, τουτέστιν ὁ τοῦ γνόφου τῆς ἀγνοίας ἀπαλλα γείς· 7Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων σφῦραν ἅμα ἐλαύνων ποτὲ μὲν ἐρεῖ· Σύμβλημα καλόν ἐστιν, ἰσχύρωσαν αὐτὰ |150 a| ἐν ἥλοις, θήσουσιν αὐτό, καὶ οὐ κινηθήσεται. Ταῦτά φησιν ἐροῦσιν οἱ τῇ ἀληθείᾳ προσεληλυθότες τοῖς ἔτι κατεχομένοις τῇ πλάνῃ τῇ τῶν εἰδώλων τὴν τούτων δεικνύντες ἀσθένειαν· οὔτε γὰρ βαδίσαι δύνανται οὔτε στῆναι μὴ τοῖς ἥλοις δεσμούμενα. Τὸ δέ· σύμβλημα καλόν ἐστιν, οἱ Τρεῖς οὕτω τεθείκασιν· «Εἰς κόλλησιν καλόν ἐστιν», τουτέστι· καλῶς συμβέβληται, τεχνικῶς συνήρμο σται. 8Σὺ δὲ Ἰσραὴλ παῖς μου, Ἰακὼβ ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ ὃν ἠγάπησα, 9οὗ ἀντελαβόμην ἀπ' ἄκρου τῆς γῆς καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε καὶ εἶπόν σοι· Παῖς μου εἶ, ἐξελεξάμην σε καὶ οὐκ ἐγκατέλιπόν σε· 10μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι· μὴ πλανῶ, ἐγὼ γάρ εἰμι ὁ θεός σου ὁ ἐνισχύσας σε καὶ ἐβοήθησά σοι καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ μου τῇ δικαίᾳ. Τῷ Ἰσραὴλ ποτὲ μὲν εὐφημίας ὑφαίνει ποτὲ δὲ κατηγορίας προσάπτει οὐκ ἐναντία ποιῶν ἀλλὰ κατάλληλα δρῶν· ἐκ γὰρ τοῦ Ἰσραὴλ οἱ πεπιστευκότες καὶ ἐκ τοῦ Ἰσραὴλ οἱ ἐσταυρωκότες· εἰκότως τοίνυν τοὺς μὲν ἐπαινεῖ τῶν δὲ κατηγορεῖ. Ἐνταῦθα μέντοι καὶ τῶν παλαιῶν ἀνέμνησεν αὐτοὺς <ἐπαγγελιῶν> καὶ εὐεργεσιῶν καὶ ὡς ἐξήγαγε μὲν ἐκ γῆς Χαλδαίων τὸν πατριάρχην, ἅπαν δὲ τὸ γένος τῆς Αἰγυπτίων ἠλευθέρωσε δυναστείας καὶ παντοδαπῆς προνοίας ἠξίωσεν. 11Ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου, 12ζητήσεις αὐτοὺς καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἳ παροινήσουσιν εἰς σέ· ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε. Εἶτα τῆς νίκης τὴν αἰτίαν διδάσκει· 13Ὅτι ἐγὼ ὁ θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι· Μὴ φοβοῦ, ἐγὼ ἐβοήθησά σοι. Ταῦτα τυπικῶς μὲ ν καὶ ἐπὶ τῶν Βαβυλωνίων ἐγένετο. Καταλύσας γὰρ τὴν ἐκείνων ἀρχὴν ὁ τῶν ὅλων θεὸς καὶ τούτους τῆς πικρᾶς δουλείας ἐλευθερώσας εἰς τὴν πατρῴαν ἐπανήγαγε γῆν· κυρίως μέντοι καὶ ἀληθῶς ἁρμόττει τοῖς ἁγίοις ἀποστόλοις καὶ τοῖς νικηφόροις μάρτυ σιν· οἱ γὰρ τούτους πολεμήσαντες ἐν αἰσχύνῃ γεγένηνται, καὶ φροῦδοι νῦν καὶ ἀφανεῖς οἱ διώξαντες, περίβλεπτοι δὲ καὶ περιφανεῖς τῆς ἀληθείας οἱ πρόμαχοι. Μὴ φοβοῦ σκώληξ 14Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ, ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ θεὸς ὁ λυτρούμενός σε, ὁ ἅγιος τοῦ Ἰσραήλ. Καὶ ταῦτα μάλιστα δηλοῖ, ὡς τοῖς εἰς τὸν κύριον πεπιστευκόσιν ὁ προφητικὸς ἁρμόττει λόγος. Ὀλίγον τοῦ Ἰσραὴλ ἐπίστευσε μέρος, τὸ δέ γε πλεῖστον ἠπίστησεν. Διὰ τοῦτο καὶ ὁ θεῖος ἔλεγε Παῦλος· «Οὕτω καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν», καὶ πάλιν· «Ἡ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν», καὶ πάλιν ὁ προφήτης· «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθή σεται.» Μάλα δὲ ἁρμόττει καὶ τὸ τοῦ σκώληκος ὄνομα· πρ ῶτον μὲν διὰ τὴν ὁρωμένην εὐτέλειαν–καὶ γὰρ ὁ θεῖος ἀπόστολος ταύτην βουληθεὶς ἐπι δεῖξαι ἔφη· «Ἐξε λέξατο ὁ θεὸς τὰ μωρὰ τοῦ κόσμου, ἵνα καταισχύνῃ τοὺς σοφούς, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ.» Τὴν γὰρ ὑπερβολὴν παραδηλῶσαι θελήσας καὶ μηδὲν εὑρὼν ἐοικός, μὴ ὄντα ἐκάλεσεν, ἀντὶ τοῦ· ἐν αντίον τῶν ἄλλων οὐδέν εἰσιν οὗτοι–, καλεῖ δὲ αὐτοὺς καὶ δι' ἕτερον σκώληκα· ἐν γὰρ τοῖς σαθροτέ ροις τῶν ξύλων ὁ σκώληξ κρυπτόμενος ὡς τὴν ὀλίγην αὐτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰσχὺν ἐν βραχεῖ καταναλίσκει χρόνῳ, οὕτω καὶ τῆς ἀληθείας οἱ ἀθληταὶ κρυπτόμενοι καὶ λανθάνοντες τὴν τῶν εἰδώλων κατέλυσαν πλά νην . Διδάσκει δὲ καὶ τὸν τρόπον τῆς νίκης· 15Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς, καὶ ἀλοήσεις ὄρη καὶ λεπτυνεῖς βουνοὺς καὶ ὡς χοῦν θήσεις 16καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτούς, καὶ καταιγὶς αὐτοὺς διασπερεῖ· σὺ δὲ εὐφρανθήσῃ ἐν κυρίῳ ἐν τοῖς ἁγίοις Ἰσραήλ. Ἐπειδὴ σκώληκα αὐτοὺς προσηγόρευσε διὰ τὴν ὁρωμένην εὐτέλειαν, ἐκ διαμέτρου νῦν ἔδειξε τὴν κεκρυμμένην ἰσχύν· καθάπερ γὰρ ἡ πριονοειδὴς ἅμαξα λεπτύνει τὸ δράγμα, |150 b| οὕτω καὶ ὑμεῖς ἅπασαν τὴν κατέχουσαν πλάνην τὴν καὶ τὸ ὕψος τῶν ὀρῶν καὶ τῶν βουνῶν μιμουμένην καὶ λεπτυνεῖτε καὶ λικμήσετε καὶ οἷόν τινι καταιγίδι διασκεδάσαντες παραδώσετε λήθῃ εὐφραινό μενοι καὶ γανύμενοι διὰ τὸ πλῆθος τῶν σῳζομένων. Καὶ ἀγαλλιάσονται 17οἱ πτωχοὶ καὶ ἐνδεεῖς. Τοὺς ἐξ ἐθνῶν λέγει πεπιστευκότας· οὗτοι γὰρ ἦσαν πτωχοὶ τὸν προφητικὸν οὐ δεξάμενοι πλοῦτον. Ζητήσουσιν ὕδωρ καὶ οὐκ ἔσται· ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξήρανται. Ταῦτα πρὸ τῆς κλήσεως ἐπεπόνθεισαν ἐν ἐνδείᾳ διάγοντες καὶ δίψει πολλῷ πιεζόμενοι. Ἐγὼ κύριος ὁ θεός σου, ἐγὼ ἐπ ακούσομαι αὐτῶν ὁ θεὸς Ἰσραὴλ καὶ <οὐκ> ἐγκαταλείψω αὐτούς. Εἰ γὰρ καὶ τοῦ Ἰσραὴλ χρηματίζω θεός, ἀλλὰ πάντων εἰμὶ θεός· οὗ δὴ χάριν 18ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς καὶ ἐν μέσῳ πεδίων πηγάς. Τοὺς τὸ τῆς διδασκαλίας χάρισμα πεπιστευμένους οὕτω καλεῖ· καὶ γὰρ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.» Ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Ἔρημον προσαγορεύει τὰ ἔθνη· τούτοις δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ταῦτα ἐπηγγείλατο. 19Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον καὶ πύξον καὶ μυρσίνην καὶ κυπά ρισσον καὶ λεύκην, θήσω ἐν τῇ Ἄραβα βράθυ, δαὰρ καὶ θαασοὺρ ἅμα. Ταῦτα τὰ ἀνερμήνευτα ὀνόματα οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν· «Θήσω ἐν τῇ ἀβάτῳ κυπάρισσον, πτελέαν, πύξον.» Δηλοῖ δὲ ὁ λόγος, ὡς τῶν ἐν ὕδασι τεθηλέναι πεφυκότων φυτῶν ἡ ἔρημος πληρωθήσεται καὶ ἡ ἄνυδρος τοῖς φιλύδροις κοσμηθήσεται δένδροις–δένδρων δηλαδὴ τῶν ψυχῶν νοουμένων ὑπὸ τῆς θείας χάριτος ἀρδομένων. 20Ἵνα ἴδωσι καὶ γνῶσι καὶ ἐννοηθῶσι καὶ ἐπί στωνται ἅμα ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν αὐτά. Τὸ δὲ παράδοξον τῶν γιγνο μένων τὸν τούτων αἴτιον ἐπιδείξει. Οὕτω δείξας τὴν τῆς ἐρήμου μεταβολὴν πάλιν ἐλέγχει τὴν τῶν εἰδώλων ἀσθένειαν· 21Ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει κύριος ὁ θεός· ἠγγίκασιν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς Ἰακώβ· 22ἐγγισάτωσαν καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερα τίνα ἦν εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν καὶ γνωσόμεθα τί τὰ ἔσχατα· καὶ τὰ ἐπερχόμενα εἴπατε ἡμῖν, 23ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. Τό· ἐγγίζει ἡ κρίσις ὑμῶν, οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν· «Προσα γάγετε τὴν κρίσιν ὑμῶν, εἶπε κύριος· ἐγγίσατε ἰσχυρὰ ὑμῶν, εἶπεν ὁ βασιλεὺς Ἰακώβ.» Γίνεσθέ φησιν ἐμοῦ καὶ τῶν εἰδώλων κριταί, φέρετε εἰς μέσον τὰ ἰσχυρὰ ἢ κατὰ τὸν Θεοδοτίωνα «τὰ κραταιώματα ὑμῶν», τουτέστι τὰ εἴδωλα· προμηνυσάτωσαν τὰ ἐσόμενα, διδαξάτωσαν τὰ ἐξ ἀρχῆς γεγενημένα· ἐγὼ γὰρ ἀμφότερα ποιῶν διετέλεσα· διὰ γὰ ρ Μωυσέως τοῦ θεράποντός μου καὶ τὰ πρὸ τῆς τῶν ἀνθρώπων δημιουργίας γεγενημένα ἐδίδαξα, τὰ δὲ ἐ σόμενα καὶ δι' ἐκείνου καὶ διὰ τῶν ἄλλων ἐδήλωσα προφητῶν. Εὖ ποιήσατε καὶ κακώσατε, καὶ θαυμάσομεν καὶ ὀψόμεθα ἅμα, 24ὅτι πόθεν ἐστὲ ὑμεῖς καὶ πόθεν ἡ ἐργασία ὑμῶν; Εἰ μὴ βούλεσθέ φησιν ἀπὸ τῆς γνώσεως δεῖξαι τὴν ἰδίαν ἰσχύν, ἀπὸ γοῦν τῆς δυνάμεως τοῦτο ποιή σατε. Δείξατε τὴν εὐεργετικὴν ἢ τὴν τιμωρητικὴν ὑμῶν δύναμιν· «Ἐγὼ δὲ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.» Ἐπειδὴ δὲ ὑμεῖς καὶ γνώσεως ἐστέρησθε καὶ δυνάμεως, ἐγὼ ὑμῶν διελέγξω τὸ μάταιον. Ἐκ γῆς βδέλυγμα ἐξελέξαντο ὑμᾶς. Εἴτε γὰρ ξύλινοί εἰσιν εἴτε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ χρυσοῦ ἢ ἀργύρου ἢ καττι τέρου ἢ χαλκοῦ, ἀπὸ γῆς ἔχουσι τὴν φύσιν· τούτων γὰρ ἕκαστον ἀπὸ γῆς. Βδέλυγμα τὸ εἴδωλον ὀνομάζει ὡς βδελυγμίας μεστόν. 25Ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βορρᾶ καὶ τὸν ἀπὸ ἡλίου ἀνατολῶν, καὶ κληθήσονται τῷ ὀνόματί μου· ἐρχέσθωσαν ἄρχοντες |151 a| ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλὸν οὕτως καταπατηθήσεσθε. Τοῖς εἰδώ λοις ἀπειλεῖ τὴν κατάλυσιν. Καλεῖ δὲ τὸν μὲν ἀπὸ ἀνατολῶν τὴν ἀνατείλασαν δικαιοσύνην, περὶ ἧς καὶ ἤδη πρότερον εἶπεν· «Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην;» Τὸν δὲ ἀπὸ βορρᾶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, πρὸς ἣν ἦλθεν ὁ ἐκ Θαιμὰν ἢ «ἀπὸ λιβὸς» κατὰ τοὺς Λοιποὺς Ἑρμηνευτάς. «Ὁ θεὸς» γὰρ «ἐκ Θαιμὰν ἥξει», τουτέστιν ἀπὸ μεσημβρίας. Ταύτῃ ἐκ τῆς μεσημβρίας ἐπιφανεὶς ὁ δεσπότης Χριστὸς καὶ κατεψυγμένην εὑρὼν τῇ τῶν εἰδώλων ἐξαπάτῃ καὶ ταῖς μεσημβριναῖς αὐτὴν ἐκθερμάνας ἀκτῖσιν εἰς ζωὴν ἐπανήγαγεν. Ὑπὸ ταύτης καὶ τῶν αὐτῆς ἀρχόντων, ἱερέων καὶ διδασκάλων κατεπατήθη τῶν εἰδώλων τὸ πλῆθος. 26Τίς γὰρ ἀνήγγειλε τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν, καὶ τὰ ἔμπροσθεν, καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστιν; Τὰ δοκοῦντά φησιν ὑμῶν χρηστήρια ψεύδους ἐστὶ μεστά. Οὐκ ἔστιν ὁ προλέγων οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους. Καὶ μαρτυρεῖ τῷ λόγῳ τὸ τέλος· πέπαυται γὰρ τὰ πανταχοῦ γῆς καὶ θαλάττης μαντεῖα, καὶ οἱ περὶ ταῦτα κεχηνότες μετέμαθον τὴν ἀλήθειαν. 27Ἀρχὴν Σιὼν δώσω καὶ Ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν. Τὰ μέντοι προοίμια τῆς διδασκαλίας τῇ Ἱερουσαλὴμ προσοίσω. Οὕτω καὶ ἐν τοῖς ἱεροῖς εὐαγ γελίοις ἔλεγεν· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰακώβ.» 28Ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐθείς. Πρῶτοι γὰρ οἱ ἐξ Ἰουδαίων πιστεύσαντες ἐκείνων ἐγένοντο κήρυκες. Καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων. Πολλάκις αὐτῶν τὴν ἄγνοιαν ἐκωμῴδησεν. Καὶ ἐὰν ἐρωτήσω αὐτούς· Πόθεν ἐστέ; οὐ μὴ ἀποκριθῶσί μοι· 29εἰσὶ γὰρ οἱ ποι οὖντες ὑμᾶς ἄδικοι καὶ μάταιοι οἱ πλάσσοντες ὑμᾶς. Ἁρμο δίως καὶ τῶ ν εἰ δώλων τὸ ἀναίσθητον ἔδειξε καὶ τῶν ταῦτα τεκτηναμένων ἀσέβειαν κατηγόρησεν. Τὰ μὲν γάρ ἐστιν ἄψυχα, οἱ δὲ λίαν ἀνόητοί τε καὶ δυσσεβεῖς. Τούτων διελέγξας τὴν πλάνην δείκνυ σι τῆς ἀνατειλάσης εἰρήνης καὶ ἀληθείας τὸν χορηγόν· 421Ἰακὼβ ὁ παῖς μου ἀντιλήψομαι αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. 2Οὐ κεκράξεται οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ, 3κάλαμον τεθλασμένον οὐ συντρίψει καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, 4ἀναβλέψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Ταύτην τὴν μαρτυρίαν καὶ ὁ θεῖος τέθεικεν εὐαγγελιστής· εἰρηκὼς γὰρ ὡς πολλοὺς ὁ κύριος ἰασάμενος παρηγγύησεν ἵνα μηδενὶ εἴπωσιν, ἐπήγαγε τὰ προκείμενα. Εἰδέναι μέντοι χρὴ ὡς ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων οὔτε τὸ Ἰακὼβ οὔτε τὸ Ἰσραὴλ τεθείκασιν,οὔτε γὰρ παρὰ τῷ Ἑβραίῳ κεῖται. Οἷς ἀκολουθῶν καὶ ὁ θεῖος εὐα γγελιστὴς εἴρηκεν· «Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρετισάμην, ὁ ἐκλεκτός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου.» Ὅτι δὲ τούτων οὐδὲν Ἰουδαίοις ἁρμόττει, καὶ αὐτὰ δηλοῖ τῆς προφητείας τὰ ῥή ματα. Τί γὰρ ἐκείνων θρασύτερον; Τί δὲ μανικώτερον; Ὁ δὲ προφητικὸς λόγος πᾶσαν τ ὴν τοῦ σωτῆρος ἐπιείκειαν καὶ πραότητα μαρτυρεῖ. Οὗτος καὶ τὴν ἐσομένην κρίσιν τοῖς ἐ χθροῖς τῶν ἀποστόλων ἐμήνυσεν. Παῖδα δὲ αὐτὸν καλεῖ ἢ «δοῦλον» κατὰ τοὺς Ἄλλους Ἑρμηνευτὰς κατὰ τὸ ἀνθρώπειον· κατὰ τοῦτο γὰρ αὐτὸν καὶ Ἰακὼβ καὶ Ἰσραὴλ ὀνομάζει ὡς ἐξ Ἰακὼβ τοῦ καὶἸσραὴλ κατὰ σάρκα βλαστήσαντα. Οὕτω καὶ τὸ πανάγιον δέχεται πνεῦμα οὐχ ὡς θεός, ἀ νενδεὴς γάρ, ἀλλ' ὡς ἄνθρωπος, ἵνα τύπος γένηται τῶν εἰς αὐτὸν πεπιστευκ ότων. Ταύτῃ τῇ |151 b| πρα ότητι δὲ τὰ ῥήματα μαρτυρεῖ καὶ τὰ πράγματα· «Μάθετε» γάρ φησιν «ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.» Οὕτω δεξάμενος τὴν ἐπὶ κόρρης πληγὴν ἔφη τῷ παίσαντι· «Ἑταῖρε, εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δέρεις;» Καὶ δυνάμενος σκηπτοῖς ἀναλῶσαι τοὺς κατ' αὐτοῦ λυττῶντας καὶ οἷόν τινα κάλαμον συντεθλασμένον συντρῖψαι καὶ καθάπερ λίνον καπνιζόμενον σβέσαι, τῆς ἐκείνων μανίας ἠνέσχετο· ᾔδει γὰρ τοῦ γινομένου τὸ τέλος καὶ τὴν ἐντεῦθεν τεχθησομένην ἀλήθειαν. Οὕτως καὶ τῷ θανάτῳ παραδοθεὶς ἔλαμψεν αὖθις καὶ τὴν γῆν τῆς ἀληθείας ἐπλήρωσε καὶ τῆς εἰς αὐτὸν ἐλπίδος ἐξήρτησε τὰ ἔθνη. Τοῦτο γὰρ ὁ προφητικὸς ἔφη λόγος· ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Καὶ τοῦτο καὶ ἄντικρυς ἐλέγχει τὴν Ἰουδαίων ἄνοιαν· ποῖα γὰρ ἐπὶ τῷ ἐκείνω<ν> ὀνόματι ἤλπισεν ἔθνη; Ποῖον δὲ αὐτοὺς οὐ κατεπολέμησεν ἔθνος; Εἰς δὲ τὸ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ὄνομα πάντα ἐλπίζει τὰ ἔθνη. 5Οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν. Οὐ γὰρ μόνον ἐποίησεν ὁ θεὸς τὴν κτίσιν, ἀλλὰ καὶ τὸ διαρκὲς αὐτῇ δέδωκε, καὶ ὅσο ν αὐτὸς βούλεται διαμένει χρόνον. Ἔδωκε πᾶσι μὲν ἀνθρώποις πνοήν, τὸ δὲ πανάγιον πνεῦμα οὐ πᾶ σιν ἀλλὰ τοῖς πατοῦσι τὴν γῆν, τουτέστι τὸ γήινον φρόνημα. 6Ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ καὶ κρατήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε καὶ ἔδωκά σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν. Πρὸς ὃν ἐκάλεσε παῖδα ταῦτά φησι καὶ ὡς πρὸς ἄνθρωπον διαλέγεται. Τοιαῦτα δὲ πολ λὰ ταπεινὰ καὶ ἐν τοῖς θείοις εὐαγγελίοις εὑρίσκομεν· «Τὸ γὰρ παιδίον» φησὶν «ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό», καὶ πάλιν· «Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις», οὕτως εὐχόμενος ἔλεγεν· «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο.» Ὅτι δὲ ταῦτα ἀνθρώπινα ἦν, ὁμολογεῖν οἶμαι καὶ αὐτοὺς τοὺς τῇ θεότητι τοῦ μο νογεν οῦς πολεμοῦντας καὶ κτίσμα ταύτην ἀποκαλεῖν τολμῶντας. Καὶ ἐνταῦθα τοίνυν ὡς ἀνθρώπῳ ταῦτά φησιν· Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν. Μαρτυρεῖ δὲ καὶ τὸ γένος τῇ φύσει· Ἃ γὰρ ὑπεσχόμην τοῖς σοῖς κατὰ σάρκα προγόνοις, τῷ Ἀβραάμ, τῷ Ἰσαάκ, τῷ Ἰα κώβ, τῷ Δαυίδ, ταῦτα πεπλήρωκα νῦν καὶ διὰ σοῦ, ὃς ἐκ τῆς τούτων συγγενείας κατὰ σάρκα κατάγει, τὴν μὲν πρὸς τούτους ἐπαγγελίαν πληρῶ, τοῖς δὲ ἔθνεσι τῆς θεο γν ωσίας τὸ φῶς χορηγῶ. Ταύτης τῆς συγγενείας καὶ ὁ μακάριος ἐμνημόνευσε Παῦλος· «Ὧν οἱ πατέρες» φησὶ «καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.» Ὁ γὰρ αὐτὸς ἐξ Ἰουδαίων μέν ἐστι κατὰ σάρκα, ἐπὶ πάντων δὲ θεὸς ὡς ἐκ τοῦ θεοῦ καὶ πατρὸς πρὸ τῶν αἰώνων γεγεννημένος. Εἶτα προλέγει τὰς ἐσομένας θαυματουργίας· 7Ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. Τυφλοὺς ἐνταῦθα τοὺς τὸ ὀπτικὸν τῆς διανοίας κακῶς διακειμένους καλεῖ, τοὺς δὲ αὐτοὺς καὶ ταῖς τῆς ἁμαρτίας πεπεδημένους σειραῖς καὶ τῷ σκότει τῆς πλάνης κατεχομένους. Τούτους τοῦ ζόφου τῆς ἀγνοίας ἐλευθερώσας καὶ τῆς ἁμαρτίας τὰ δεσμὰ διαρρήξας προσήγαγε τῷ τῆς ἀληθείας φωτί. 8Ἐγὼ κύριος ὁ θεός, τοῦτό μοί ἐστιν ὄνομα· τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. Καὶ δει κνὺς περὶ τίνων λέγει, ἐπή γαγεν· Οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. Ὁ γὰρ υἱὸς τοῦ πατρὸς ἔχει τὴν δόξαν καὶ ἐν τῇ τοῦ πατρὸς ἐπιφα νήσεται δόξῃ· μία γὰρ υἱοῦ καὶ πατρὸς ἡ θεότης. Εἰ δέ φησιν ὁ θεὸς ὡς ἑτέρῳ τὴν δόξαν οὐ δώσει, δείκνυται δὲ ὁ υἱὸς τοῦ πατρὸς ἔχων τὴν δόξαν, δῆλον ὡς οὐχ ἕτερός ἐστι κατὰ τὴν οὐσίαν ἀλλὰ τὴν αὐτὴν ἔχει τῷ πατρὶ φύσιν. 9Τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασιν, ἃ πάλαι |152 a| φησὶ προ ηγόρευσεν. Καὶ <καινὰ ἃ ἐγὼ νῦν ἀναγγελῶ, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν.> Καινὰ τοῖς ἀγνοοῦσι τὰ προφη τικὰ θεσπίσματα, δῆλα τοῖς ἐκεῖνα πεπιστευμένοις· Καὶ πάλαι γὰρ αὐτά φησιν εἶπον ὑμῖν. Ἐπειδὴ δὲ τὰ καινὰ μηνύει, εἰκότως ὕμνον καινὸν προ σενεγκεῖν παρακελεύεται τῷ θεῷ· 10Ὑμνήσατε τῷ θεῷ ὕμνον καινόν. Ἡ ἀρχὴ αὐτοῦ ἄνω δοξάζεται, τὸ ὄνομα αὐτοῦ δοξάζεται ἀπ' ἄκρου τῆς γῆς. Καθάπερ γὰρ ἐν τοῖς οὐρανοῖς τὴν βασιλείαν αὐτοῦ καὶ τὴν δεσποτείαν ὑμνοῦσι τῶν ἀγγέλων οἱ δῆμοι, οὕτω τὸ σεπτὸν αὐτοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄνομα πᾶσα ἡ γῆ προσκυνεῖ. Οἱ κατοικοῦντες τὴν θάλασσαν καὶ πλέοντες αὐτήν, αἱ νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς. Διαφερόντως δὲ τοῦτο ποιοῦσιν οἱ μὴ μόνον διὰ γῆς ἀλλὰ καὶ θαλάττης ὁδεύοντες ὥστε τοῦτο τὸ ὄνομα τοὺς ἀγνοοῦντας διδάξαι, ὅθεν οὐ μόνον ἠπειρῶται ἀλλὰ καὶ νησιῶται τὸν τῶν ὅλων ὑμνοῦσι θεόν. 11Εὐφράνθητι ἔρημος καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις καὶ οἱ κατοικοῦντες Κηδάρ. Εὐφρανθήσονται οἱ κατοικοῦντες Πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι, 12δώσουσι τῷ θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσιν. Κηδὰρ τῶν Ἰσμαηλιτῶν τοὺς ἀπογόνους καλεῖ, Πέτρα δέ ἐστι τῶν Ἰδουμαίων μητρόπολις. Ἔδειξε τοίνυν καὶ διὰ τούτων ὁ προφητικὸς λόγος τὴν εἰς ἅπασαν τὴν οἰκουμένην χυ θεῖσαν θεογνωσίαν. Ὁρῶμεν δὲ καὶ ἡμεῖς τὴν τῆς προρρήσεως ἔκβασιν· οὐ γὰρ μόνον ἡ οἰκουμένη ἀλλὰ καὶ ἡ ἀοίκητος καὶ αἱ νῆσοι πᾶσαι τῶν τῆς ἀληθείας ναμάτων ἀπήλαυσαν. Ἐγὼ δὲ ἐβουλόμην Ἰουδαίου πυθέσθαι, ποίαν εὐφροσύνην Ἰσμαηλίταις καὶ Ἰδουμαίοις ὁ προφητικὸς εὐαγγελίζεται λόγος, πῶς δὲ αἱ νῆσοι τὸν τῶν ὅλων ὑμνοῦσι θεόν. Ἀλλ' ἐκείνους ἐπὶ τοῦ παρόντος ἐάσαντες τῆς ἀληθείας ἐχώμεθα. 13Κύριος ὁ θεὸς τῶν δυνάμεων ἐξελεύσεται συντρῖ ψαι πόλεμον, ἐπεγερεῖ ζῆλον, σημανεῖ καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος. Αὐτὸς γὰρ κατέλυσε τοῦ θανά του τὸ κράτος, αὐτὸς τὸν δρόμον τῆς ἁμαρτίας ἀνέκοψεν, αὐτὸς ἔπαυσε τοῦ διαβόλου τὴν τυραννίδα, αὐτὸς τῶν εἰδώλων τὴν πλάνην κατέσβεσεν. 14Ἐσιώπησα ἀπ' αἰῶνος· μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; Ἐκαρτέρησα ὡς ἡ τίκτουσα. Πολὺν ἠνεσ χόμην χρόνον, πλείστῃ ἐχρησάμην μακροθυμίᾳ, ἤνεγκα καταφρο νούμενος. Ἐκφανῶ καὶ ἐκστήσω καὶ ξηρανῶ ἅμα, 15ἐρημώσω ὄρη καὶ βουνοὺς καὶ πάντα τὸν χόρτον ξηρανῶ καὶ θήσω ποταμοὺς εἰς νήσους καὶ ἕλη ξηρανῶ. Διὰ τούτων πάντων τὴν παῦλαν τῆς πλάνης ἐδήλωσεν· τὰ γὰρ ἐν τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς τιμώμενα τεμένη τῶν εἰδώλων κατέλυσε καὶ τὴν ἐκείνων μνήμην παρέδωκε λήθῃ καὶ οἷόν τινα χόρτον ἐξήρανε, καὶ τὰ τῶν φιλοσό φων δόγματα καθάπερ τινῶν ποταμῶν ῥεύματα κατα παύσας οὐδὲ βραχεῖαν ἐν αὐτοῖς ἰκμάδα κατέλιπεν. Ὡσαύτως δέ φησι καὶ τὰ ποιητικὰ ἕλη δείξω ξηρά. 16Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν ποιήσω πατῆσαι αὐτούς. Πάλιν τυφλοὺς τοὺς ἀπιστίαν νοσοῦντας καὶ τὸ ὀπτικὸν τῆς διανοίας πεπηρωμένους καλεῖ. Τούτους ὑπισχνεῖται ποδηγήσειν εἰς τὴν ἀγνοουμένην ὁδόν· οὐ γὰρ ᾔδεισαν τῆς ἀληθείας τὴν τρίβον ἀλλὰ τὰς τῆς ἀπάτης ὥδευον ἀτραπούς. Ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς. Τῆς προτέρας αὐτοὺς ἀγνοίας ἀπαλλάξ ας τῆς θείας αὐτοὺς γνώσεως ἀξιώσω· ἔοικε γὰρ σκότει μὲν ἡ ἄγνοια, φωτὶ δὲ ἡ γνῶσις. Καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. Τὴν γὰρ δύσπορον τῆς σωφροσύνης καὶ τῆς ἐγκρα τείας καὶ τῆς δικαιοσ ύνης ὁδὸν πεποίηκεν εὔπορον, τοῖς πόνοις τῆς ἀρετῆς τὴν τῶν μελλόντων ἀγαθῶν συνάψας ἐλπί δα . Ταῦτα τὰ ῥήματα ἃ ποιήσω αὐτοῖς· καὶ οὐκ ἐγκαταλείψω αὐτούς, λέγει κύριος. Τούτων τῶν ἀγαθῶν αὐτοὺς διηνεκῶς ἀξιώσω καὶ πᾶσαν αὐτῶν κηδεμονίαν καὶ εἰς τὸν ἔπειτα ποιήσω χρόνον. 17Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Ἐμοῦ δὲ ταῦτα τοῖς ἔθνεσι τὰ ἀγαθὰ διδόντος οἱ τὰς ἐπαγγελίας ἔχοντες Ἰουδαῖοι καὶ τὰ μεγάλα ταῦτα θεώμενοι θαύματα τὴν ἐν αντίαν ἐ τράποντο τὴν ἐμὴν ἀρνούμενοι ποδηγίαν. Ἀλλ' ἡμεῖς οἱ τῶν τοσούτων ἀπολαύο ντες ἀγαθῶν τὴν εὐθεῖαν ὁδεύωμεν ἑπόμενοι τῷ ποδηγοῦντι καὶ τὸ φῶς χορηγοῦν τι θεῷ τῷ |152 b| καὶ τὴν αἰώνιον ὑπισχνου μέν ῳ ζωήν, ἵνα καὶ ταύτης τύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ὑπο στηρίζοντος σωτῆρος, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ παναγίῳ πνεύματι δόξα <καὶ> κράτος πρέπει καὶ μεγαλοπρέ πεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 13 ΤΟΜΟΣ ΙΓʹ Αἰσχύνθητε αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· Ὑμεῖς ἐστε θεοὶ ἡμῶν. Τὴν τῶν ἐθνῶν προθεσπίσας μεταβολὴν μεταφέρει τὸν λόγον πρὸς Ἰουδαίους· περὶ γὰρ αὐτῶν καὶ ἤδη ἔφη· «Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω» τοσαῦτα θαύματα θεασάμενοι καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν τῶν ἐθνῶν ἑωρακότες ἐπιστροφήν. Γλυπτὰ καὶ χωνευτὰ τὰ εἴδωλα κέκληκεν· τὰ μὲν γὰρ ἐκ ξύλων καὶ λίθων τὰ δὲ ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καὶ καττιτέρου κατασκευασθήσεται. 18Οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. Εἶτα σαφέστερον διδάσκει τίνας αὐτῶν προσαγορεύει· 19Καὶ τίς τυφλὸς ἀλλ' ἢ ὁ λαός, παῖδές μου, καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; Κυριεύοντας τοὺς βασιλεύον τας καὶ τοὺς ἄρχοντας καλεῖ, κωφοὺς δὲ αὐτοὺς ὀνομάζει ὡς τῶν προφητικῶν ἐπαΐειν οὐκ ἐθέλοντας λόγων. Τὸν δὲ λοιπὸν ὅμιλον τυφλὸν προσηγόρευσεν ὡς ὁρῶντα τὴν τῶν εἰδώλων ἀσθένειαν καὶ συνιδεῖν οὐ βουλόμενον. Τίς τυφλὸς ὡς ὁ ἀπεσχηκώς; Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ. Ὁ δὲ Σύμμαχος οὕτω · «Τίς τυφλὸς ὡς ὁ τέλειος καὶ τυφλὸς ὡς ὁ δοῦλος κυρίου;» Εἰ γὰρ καὶ τὰ ἔθνη φησὶν ὁμοίως πλανᾶται ὅμως οὐ κ ἴσην ἔχει κατη γορίαν· οὐ γὰρ ἔχει προφήτας δᾳδουχοῦντας πρὸς τὴν ἀλήθειαν οὐδὲ τοσαύ της ἐπ ιμελείας ἠξίωται. Καὶ ὁ ἀπεσχηκὼς δὲ τὴν αὐτὴν ἔχει διάνοιαν, ἀντὶ τοῦ· ὁ ὑπὸ τοῦ θεοῦ π ροκληθεὶς καὶ ἑαυτὸν ἀπορρήξας τῆς τοῦ θεοῦ δουλείας καὶ τὴν τῶν εἰδώλων προελόμενος θερ απείαν. 20Εἴδετε πλεονάκις καὶ οὐκ ἐφυλάξασθε· ἠνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. Τὰ γὰρ θαύματα ἑώρων καὶ διδασκαλίας θείας ἀπέλαυον καὶ οὔτε τὰ ὦτα τοῖς λόγοις οὔτε τοὺς ὀφθαλμοὺς τοῖς ἔργοις προσέφερον. 21Κύριος ὁ θεὸς ἡμῶν ἐβούλετο, ἵνα δικαιωθῆτε καὶ μεγαλύνητε αἴνεσιν. Σαφῶς ἔδειξε τῆς αἰνέσεως τὸν σκοπόν· τοῦ γὰρ ὕμνου τὸ κέρδος ὁ τοῦτον προσφέρων καρποῦται. Καὶ εἶδε, 22καὶ ἐγένετο ὁ λαὸς προνενομευμένος καὶ διηρπασμένος. Καὶ τὸν θεῖον ἡμᾶς ἐδίδαξε σκοπὸν καὶ τὸ τῆ ς ἀνθρωπίνης κτίσεως αὐτεξούσιον. Αὐτὸς μὲν ὑμᾶς φησιν ἐβούλετο δικαιωθῆναι τὴν εὐ σέ βειαν αἱρουμένους, ὑμεῖς δὲ τὴν ἐναντίαν ὁδεύσαντες τὸν ὄλεθρον ἐτρυγήσατε. Ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ καὶ ἐν οἴκοις ἅμα ὅπου ἔκρυψαν αὐτούς. Παγίδα καλεῖ τὴν περὶ τὰ εἴδωλα πλάνην· ὥσπερ γὰρ ἡ παγὶς ἀγρεύει τῶν ἀλόγων τὰ γένη, οὕτως ἡ πλάνη τῶν ἀνθρώπων τὸ γένος. Ἐδίδαξε δὲ ὁ προφητικὸς λόγος ὡς πανταχοῦ τὰ εἴδωλα προσεκύνουν. Ἐγένοντο εἰς προνομήν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος. Ἀποστάντες γὰρ τῆς ἐμῆς θεραπείας τῆς ἐμῆς οὐκ ἀπήλαυον προμηθείας. Ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων· Ἀπόδος. Ταῦτα ὑπέμειναν ὑπὸ Βαβυλωνίων καὶ ὕστερον ὑπὸ Ῥωμαίων οὐδενὸς ἐπαμύνοντος οὐδὲ δίκας τῆς ἀσεβείας εἰσπραττομένου. 23Τίς ἐν ὑμῖν, ὃς ἐνωτιεῖται ταῦτα, προσέξει καὶ εἰσα κούσεται εἰς τὰ ἐπερχόμενα; 24Τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν; Ταῦτα κατ' ἐρώτησιν εἰρηκὼς ἐπιδεί κνυσι σα φῶς τὸν τοῦτο πεποιηκότα, ἐπιδείκνυσι δὲ <καὶ> τῆς αἰτίας τὸ εὔλογον· Οὐχὶ ὁ θεός, ᾧ ἥμαρτον αὐτῷ καὶ οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; Προὔδωκέ φησιν αὐτοὺς ὁ νομοθέτης, ἐπειδὴ τὴν παρα νομίαν ἠγάπησαν. 25Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτῶν πόλεμος καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ. Οὐ γὰρ μόνον οἱ πόρρωθεν αὐτοῖς ἐπῆλθον ἀλλὰ καὶ οἱ πλησιόχωροι συνεμάχουν ἐκείνοις δῃοῦντες καὶ ἐμπιπρῶντες καὶ τὴν γῆν αὐτ ῶν διαφθείροντες. Καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν οὐδὲ ἔθεντο ἐπὶ ψυχήν, καὶ ἀνήφθη ἐν αὐτοῖς. Τὴν δὲ αἰτίαν τῶν ἀνιαρῶν συνιδεῖν οὐκ ἠθέλησαν. Ταύτην δὲ τὴν νόσον καὶ νῦν ἔχουσιν Ἰουδαῖοι · τῆς γὰρ πολυθρυλήτου μητροπόλεως αὐτῶν ἐξεληλαμένοι καὶ τῆς θείας παντελῶς γυμνωθέντες κηδεμονίας τὴν τῶν κακῶν οὐ συνορῶσιν αἰτίαν. 431Καὶ νῦν οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας |153 a| σε Ἰακὼβ καὶ ὁ πλάσας σε Ἰσραήλ· Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσά σε τὸ ὄνομά σου Ἐμὸς–εἶ–σύ. Καὶ παιδεύων ὁ φιλάνθρωπος οὐ καταλείπει τὸν ἔλεον ἀλλ' ἅπερ νομοθετεῖ πρῶτος ποιεῖ–ἔλεγξον γάρ φησιν, ἐπιτίμησον, παρακάλεσον. Ἐνταῦθα δὲ τοὺς ἀνδραποδισθέντας καὶ τὴν Βαβυλωνίαν κατειληφότας ψυχαγωγεῖ. Καὶ ἐπειδὴ λαὸς τοῦ θεοῦ ἐχρημάτιζεν, εἰκότως ἔφη· Ἐκάλεσά σε τὸ ὄνομά σου Ἐμὸς–εἶ–σύ. Τοῦτό φησιν εἶχες ὄνομα τὸ ἐξ ἐμοῦ καλεῖσθαι. 2Καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε. Οὕτως γάρ φησι καὶ τὴν Ἐρυθρὰν διέβης Θάλασσαν καὶ τὸν Ἰορδάνην ποταμόν. Καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε, 3ὅτι ἐγὼ κύριος ὁ θεός σου ὁ ἅγιος Ἰσραὴλ ὁ σῴζων σε. Καὶ μάρτυρες οἱ γενναῖοι μάρτυρες Ἀνανίας Ἀζαρίας Μισαὴλ διὰ τὴν εἰς τὸν θεὸν ἐλπίδα περιγενόμενοι τῆς φλογός. Ἐποίησα ἄλλαγμα Αἴγυπτον καὶ Αἰθιοπίαν καὶ Συήνην ὑπὲρ σοῦ. Τὴν Συήνην καὶ ὁ Ἑβραῖος καὶ οἱ Λοιποὶ Ἑρμηνευταὶ «Σαβὰ» τεθείκασιν· ἔθνος δὲ καὶ τοῦτο Αἰθιοπικόν. Προσημαίνει δὲ ὁ λόγος τὴν τῶν ἐθνῶν ἐπι στροφήν· ὑμῶν γάρ φησιν ἀντιτεινόντων καὶ πιστεύειν οὐ βουλομένων ἕτερον ἐξ ἐθνῶν διαφόρων ἐμαυτῷ κατασκευάσω λαόν. 4Ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξάσθης κἀγώ σε ἠγάπησα. Τὰς εὐεργεσίας ὧν ἀπήλαυσαν ἐξηγεῖται· ἀγαπηθείς φησιν ὑπ' ἐμοῦ καὶ ἐκλεχθεὶς ἐπίσημος ἐγένου καὶ πολυθρύλητος. Καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ πολλοὺς καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. Τοὺς Βαβυλωνίους λέγει οὓς τῷ Κύρῳ παρέδωκεν. 5Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι, ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου καὶ ἀπὸ δυσμῶν συνάξω σε. Ταῦτα μετὰ τὴν τῶν Βαβυλωνίων κατάλυσιν τὸ πέρας ἐδέξατο· ὁ γὰρ Κῦρος αὐτοῖς ἐπανελθεῖν εἰς τὴν Ἰουδαίαν ἐκέλευσεν. Τότε τούτων ἐπανελθόντων ἀπὸ τῆς ἕω οἱ κατὰ τὸν τοῦ πολέμου καιρὸν πεφευγότες καὶ τὴν ἑσπέραν κατειληφότες ἐπανῆλθον ὡς εἰκὸς τὴν τῆς Ἰουδαίας εἰρήνην μεμαθηκότες. Ἀληθῶς μέντοι <καὶ> κυρίως ὁ λόγος δηλοῖ τοὺς διὰ τῶν ἱερῶν ἀποστόλων ἐκ πάσης κληθέντας τῆς οἰκουμένης καὶ τῆς σωτηρίας τετυχηκότας· καὶ γὰρ ἐν ἑκάστῃ πόλει πρώτοις Ἰουδαίοις προσέφερον τὰ θεῖα παιδεύματα. 6Ἐρῶ τῷ βορρᾷ· Ἄγε, καὶ τῷ λιβί· Μὴ κώλυε. Ἀπὸτῶν κλιμάτων τοὺς βασιλέας ἐκάλεσεν· βορειοτέρα μὲν γὰρ τῆς Ἱερουσαλὴμ ἡ Βαβυλών, πρὸς λίβα δὲ κεῖται ἡ Αἴγυπτος. Καὶ τούτοις φησὶν ἐπαναγαγεῖν κελεύσω τὸν ἐμὸν λαὸν καὶ τούτοις μὴ ἀντιπράττειν. Ἄγε τοὺς υἱούς μου ἀπὸ γῆς πόρρωθεν καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρου τῆς γῆς, 7πάντας ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου· ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτὸν καὶ ἔπλασα αὐτὸν καὶ ἐποίησα αὐτόν. 8Ἐξήγαγον λαὸν τυφλόν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὡσαύτως εἰσὶ τυφλοί, καὶ κωφὰ τὰ ὦτα ἔχοντες. Καὶ τὴν οἰκείαν ἔδειξε πρόνοιαν καὶ τὴν ἐκείνων ἤλεγξεν ἀπιστίαν· Ἐγὼ μὲν γάρ φησι πάσης αὐτοὺς κηδεμονίας ἠξίωσα, αὐτοὶ δὲ τυφλώττοντες καὶ κωφεύοντες διετέλεσαν· οὔτε γὰρ τὰ θαύματα ἑώρων οὔτε τῶν θείων λογίων ἐπήκουον. 9Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Οὗτοι μὲν οὖν τυφλώττουσι καὶ κ ωφεύουσι , πάντα δὲ τὰ ἔθνη τὸν οἰκεῖον ἐπέγνω θεὸν καὶ μία ἐκ πάντων ἐκκλησία συνέστη, καὶ ἐξ αὐτῶν τῶν ἐθνῶν τούτων εἰσὶ καὶ τῆς ἐκκλησίας οἱ ἄρχοντες. Ὁρῶμεν δὲ καὶ τῇσδε τῆς προφητείας τὸ πέρας· Σύ ρων μὲν γὰρ προστατεύουσι Σύροι, Κιλίκων δὲ <Κίλικες> καὶ Ῥωμαίων Ῥωμαῖοι καὶ βάρβαροι βαρ βάρων . Ἄρχοντασδὲ τοὺς ἱερέας καλεῖ. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ὑμεῖς δὲ οὐδὲ τῶν ἤδη γεγενημένων ἀναμιμνῄσκεσθε οὐδὲ τὰ ἐσόμενα βούλεσθε πρ ομαθεῖν . Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ ἀκουσάτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Μάρτυρας καλεῖ τοὺς προφήτας· διὰ τούτων γὰρ αὐτοῖς καὶ προὔλεγε καὶ διεμαρτύρετο. Πρῶτος δὲ τούτων ὁ μακάριος Μωυσῆς, τούτῳ γὰρ ἔφη πρώτῳ· «Καταβὰς διαμάρτυραι τῷ λαῷ τούτῳ.» Ἐκεῖνος <δὲ> διαμαρτυρόμενος καὶ τὴν τούτων ἀλλοτρίωσιν καὶ τῶν ἐθνῶν προηγόρευσε τὴν μεταβολήν . |153 b| 10Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Εἰ βούλεσθέ φησιν ἔχειν με τῆς ὑμετέρας ψήφου μάρτυρα, μαρτυρήσατε τῇ ἀληθείᾳ μου πρότεροι· τούτου γὰρ γιγνομένου οὐκ ἐγὼ μαρτυρήσω μόνος ἀλλὰ καὶ ὁ ἐκλεκτός μου παῖς· καλεῖ δὲ οὕτως οὔτε Μωυσέα οὔτε ἄλλον τινὰ τῶν προφητῶν ἀλλὰ τὸν δεσπότην Χριστόν. Καλεῖ δὲ αὐτὸν οὕτως οὐχ ὡς θεὸν ἀλλ' ὡς ἄνθρωπον· ἐκλεκτὸς γὰρ ὡς ἄνθρωπος ὀνομάζεται. Ταύτην δὲ τῶν μαρτύρων τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυάδα καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις εὑρίσκομεν· τοῖς γὰρ Ἰουδαίοις ὁ δεσπότης Χριστὸς διαλεγόμενος ἔφη· «Ἐν τῷ νόμῳ ὑμῶν γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.» Οὕτω καὶ ἐνταῦθα· Ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ τὴν παλαιὰν ἔδωκα διαθήκην, ἐγὼ δώσω καὶ τὴν καινήν, ἐγὼ τὰ ἐν Αἰγύπτῳ πεποίηκα θαύματα, ἐγὼ τῆς Βαβυλωνίων ὑμᾶς ἐλευθερώσω δουλείας. 11Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ θεός σου, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ σῴζων. Καὶ ταῦτα τὴν μίαν κηρύττει θεότητα. Ὅτι γὰρ καὶ ὁ δεσπότης Χριστὸς σωτὴρ ὑπὸ τῆς θείας γραφῆς ὀνομάζεται, οἶμαι καὶ τοὺς Ἀρείου καὶ Εὐνομίου συνομολογεῖν φοιτητάς· εἰ δὲ πάρεξ αὐτοῦ σῴζων οὐκ ἔστι, σωτὴρ δὲ καὶ ὁ Χριστὸς ὀνομάζεται, ἐξ ἐκείνης ἐστὶ δηλονότι τῆς φύσεως. Εἰ δὲ οὐκ ἔστι κατὰ τὸν λόγον τῶν βλασφημούντων, οὐδὲ σωτήρ ἐστι κατὰ τὴν τῆς προφητείας ἀπόφασιν. Εἰ δὲ σωτήρ ἐστιν, ἐκ τῆς αὐτῆς ἄρα οὐσίας ἐστίν, ἧς μόνης ἴδιον τὸ σῴζειν. 12Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα. Προεῖπον καὶ τὸ πέρας ἐπέθηκα. Ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Τὸ ὠνείδισα οἱ Τρεῖς «ἠκούτισα» τεθείκασιν ἀντὶ τοῦ ἐμαρτυ ράμην. Καὶ τὸ ὠνείδισα δὲ τὴν αὐτὴν ἔχει διά νοιαν· ἀεὶ γὰρ ἁμαρτάνοντες ὠνειδίζοντο. Τοῦτο δὲ λέγει ὅτι, ἡνίκα ἐνομοθέτουν, ἀλλότριος οὐ πα ρῆν θεός. Ὑμεῖς ἐμοὶ μάρ τυρες, καὶ ἐγὼ κύριος ὁ θεός. Ἴστε φησὶ σαφῶς ὡς οὐδεὶς ὑμᾶς ἕτερος ἐξεζή τησεν, ἀλλὰ τῆς παρ' ἐμοὶ προνοίας ἀπηλαύσατε μόνης. 13Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι· καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος, ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Ταῦτα καὶ διὰ τοῦ μακαρίου Μωυσ έως ἔφη· «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.» 14Οὕτως λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς ὁ ἅγιος τοῦ Ἰσραήλ· Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα καὶ ἐπεγερῶ φεύγοντας πάντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθή σονται. Τὴν τῶν Βαβυλωνίων προλέγει κατάλυσιν καὶ τῶν Χαλδαίων τὸν ἀνδραποδισμόν. Ταῦτα δέ φησιν ὑμῶν ἕνε κεν πείσονται, ἐπειδὴ συνιδεῖν οὐκ ἠθέλησαν ὡς ἑκόντος μου νενικήκασι καὶ παρ' ἐμοῦ ἀποδοκιμασθέν τας ὑμᾶς ἔλαβον αἰχμαλώτους. 15Ἐγὼ κύριος ὁ θεὸς ὁ ἅγιος ὑμῶν, ὁ κατα δείξας Ἰσραὴλ βασιλέα ὑμῶν. Τοῦ το δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ἐγὼ κύριος ὁ ἅγιος ὑμῶν, κτίστης Ἰσραήλ, βασιλεὺς ὑμῶν», συμφωνοῦσι δὲ καὶ οἱ Λοιποί. Ἐγὼ γάρ φησι τὸν ὑμέτερον διέπλασα πρόγονον καὶ βασιλεύειν ὑμῶν ἠθέλησα . 16Οὕτως λέγει κύριος ὁ δοὺς ὁδὸν ἐν θαλάσσῃ καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, 17ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον καὶ ὄχλον πολὺν καὶ ἰσχυρόν. Τῶν ἐπὶ Μωυσέως γεγενη μένων ἀναμιμνῄσκει θαυμάτων καὶ τῆς ξένης ἐκείνης καὶ παραδόξου λεωφόρου, ἣν <ἡ> Μωσαϊκὴ κατεσκεύασε ῥάβδος, ἐν ᾗ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν. Ἀλλ' ἐκοιμήθησαν καὶ οὐκ ἀναστήσονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον. Περὶ τῶν Αἰγυπτίων ταῦτά φησιν, ὅτι διῶξαι τὸν Ἰσραὴλ πειραθέντες πανω λεθρίαν ὑπέμειναν. 18Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· 19Ἰδοὺ γὰρ ἐγὼ ποιῶ καινὰ ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά. Ἀξιαγαστότερά φησιν ἔσται τῶν γεγενημένων τὰ ὑπ' ἐμοῦ γενησόμενα. Τίνα δὲ ταῦτα, ἐπάγει· Καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς. Τινὲς ὑπέλαβον περὶ τῆς <ἀπὸ τῆς> Βαβυλῶνος ἐπανόδου ταῦτα οὐκ ὀρθῶς · οὔτε γὰρ ὁδὸν αὐτοῖς ξένην οὔτε ποταμοὺς ἐπανιοῦσιν ἐδωρήσατο τότε. Ἀλλὰ καλεῖ |154 a| ἔρημον μὲν τὰ ἔθνη, ποταμοὺς δὲ τὰ τῶν ἀποστόλων κηρύγματα, ὁδὸν δὲ τὴν ἀπλανῆ πορείαν. Τοῦτο δὲ καὶ τὰ ἐπαγόμενα δηλοῖ· 20Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, οἱ θηριώδη βίον πάλαι βεβι ωκότες . Σειρῆνες δὲ καὶ θυγατέρες στρουθῶν, οἱ τοῖς κεκαλλιεπη μένοις λόγοις καταθέλγοντες τοὺς ἀνθρώπους ῥήτορες καὶ φιλόσοφοι, τῆς πλάνης ἀπαλλαττόμενοι καὶ μεταμανθάνοντες τὴν ἀλήθειαν ἐμὲ τὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐεργέτην ὑμνήσουσιν. Θυγατέρας δὲ στρουθῶν οἱ Λοιποὶ «στρουθοκαμήλους» ἡρμήνευσαν. Τοῦτο δὲ τὸ ζῷον πεζὸν μέν ἐστι, μετέχει δὲ ὅμως καὶ τῆς πτηνῆς φύσεως. Τοιοῦτοι δέ εἰσιν οἱ ἐν λόγοις τὸν βίον ποιούμενοι καὶ πρὸς γῆν κεχηνότες. Ἀλλ' ὅμως καὶ τούτοις ὁ λόγος ὑπισχνεῖται μεταβολήν· Ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, 21τὸν λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου ἐξηγεῖσθαι. Γένος αὐτοῦ κατὰ τὴν ἀνθρωπείαν ἣν ἔλαβε φύσιν πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, πλησιέστερον δὲ τῶν Ἰουδαίων τὸ ἔθνος· πρόδηλον γάρ φησιν ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν Ἰησοῦς. 23Οὐ νῦν ἐκάλεσά σε Ἰακώβ. Ἄνωθέν φησιν· «Ἐξελεξάμην σε.» Οὐ γὰρ νῦν σε μετὰ τῶν ἄλλων ἐθνῶν τῆς σωτηρίου ἠξίωσα κλήσεως . Οὐδὲ κοπιᾶσαι ἐποίησά σε Ἰσραήλ, 23οὐκ ἤνεγκάς μοι πρόβατα τῆς ὁλοκαρπώσεώς σου. Τοῖς γὰρ εἰδώλοις ταῦτα προσέφερες. Οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με. Ἐπεισάκτου γὰρ οὐ δέομαι δόξης. Οὐκ ἐδούλευσάς μοι ἐν δώροις, οὐδὲ ἔγκοπόν σε ἐποίησα ἐν λιβάνῳ, 24οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα. Ταῦτα ἐν τοῖς προοιμίοις τῆσδε τῆς προφητείας ἐξέβαλεν ὁ δεσπότης. Ἀλλ' ἐν ταῖς ἁμαρτίαις σου καὶ ἐν ταῖς ἀδικίαις σου προέστην σου. Διὰ γὰρ τῆς παρανομίας ἐπεσπάσω τὴν τιμωρίαν, ἐγὼ δὲ σοῦ πᾶσαν ἐποιούμην κηδεμονί αν . 25Ἐγώ εἰμι, ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου οὐ μνησθήσομαι. Τὸ ἐμαυτῷ ἁρμόττον ποιῶ καὶ φιλάνθρωπος ὢν ἐλέῳ χρῶμαι καὶ οὐχ ἁπλῶς ἀφίημι τ ὰς ἁμαρτίας ἀλλὰ καὶ αὐτὰς τὰς τούτων ἐξαλείφω κηλῖδας καὶ λήθῃ τὴν τούτων παραδίδωμι μνή μην. 26Σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν ἅμα. Σύ φησι τῶν ἐπται σμένων μὴ ἐπιλάθῃ ἀλλ' ἀσ φαλῶς ἔχε τὴν τούτων μνήμην, ἵνα γινώσκῃς ἀεὶ τῆς εὐεργεσίας τὸ μέγεθος καὶ φύγῃς τῶν ὁ μοίων τὴν πρᾶξιν. Ἐπειδὴ δὲ κρίσεως ἀνέμνησε καὶ φόβον εἰκότως ἀνέθηκε, διδάσκει τοὺς ὑπ ευθύ νους τῆς νίκης τὸν τρόπον· Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. Οὐ βούλομαί φησι νικῆσαί σε ἀλλὰ τὴν ἧτταν ἀσπάζομαι. Μάθε πῶς οἷόν τέ σε νικῆσαι, ὁμολόγησ ον π ρό τερον τὰ ἐπταισμένα, κἀγώ σοι τῆς συγγνώμης ὀρέγω τὴν ψῆφον· ἐὰν κρύψῃς ἐλέγξω, ἐ ὰν ὁμολογήσῃς ἀπαλείψω. Εἶτα ὁ κριτὴς ὑπὲρ τῆς γεγενημένης τιμωρίας ἀπολογίαν πρ οσ φέρει· 27Οἱ πατέρες ὑμῶν πρῶτοι ἥμαρτον καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ, 28καὶ ἐμίαναν οἱ ἄρχοντές σου τὰ ἅγιά μου, καὶ ἔδωκα ἀπολέσαι Ἰακὼβ καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν. Πρὸς τοὺς ἐν Βαβυλῶνι ταῦτα εἴρηκεν. Οὐκ ἐγώ φησι τούτων αἴτιος τῶν συμφορῶν ἀλλ' οἱ πατέρες ὑμῶν καὶ οἱ ἱερεῖς ὑμῶν τοὺς ἐμοὺς παραβεβηκότες νόμους· διὰ γὰρ τὴν ἐκείνων παρανομίαν ἐπονείδιστος γέγονεν ὁ πολυθρύλητος Ἰσραήλ. 441Νῦν δὲ ἄκουσον Ἰακὼβ ὁ παῖς μου καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην· 2οὕτως λέγει κύριος ὁ θεός σου ὁ ποιήσας σε καὶ ὁ πλάσας σε ἐκ κοιλίας· Ἐγὼ βοηθήσω σοι. Συνεχῶς καὶ τῆς δημιουργίας καὶ τῆς μετὰ τὴν δημιουργίαν ἀναμιμ νῄσκει προμηθείας. Μὴ φοβοῦ παῖς μου Ἰακὼβ καὶ ὁ ἠγα πημένος Ἰσραὴλ ὃν ἐξελεξάμην, 3ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψῃ τοῖς πορευομένοις <ἐν ἀνύδρῳ>. Οὐ μόνον σύ φησι τῶν ἐμῶν ἀπολαύσεις ἀγαθῶν, ἀλλὰ καὶ τὰ ἄνυδρα ἔθνη διὰ τῶν σῶν ἀπογόνων πίεται τὰ σωτήρια νάματα. Δηλοῖ δὲ τοῦτο σαφέστερον τὰ ἐπαγόμενα· Ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. Πρὸς τοὺς ἐν Βαβυλῶνι διαλεγόμενος ὑπισχνεῖ ται οὐκ αὐτοῖς δώσειν τὴν |154 b| χάριν τοῦ πνεύματος ἀλλὰ τοῖς ἐκείνων ἀπογόνοις. Τοῦτο δὲ καὶ δι' Ἰωὴλ τοῦ προφήτου ἐθέσπισεν· «Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν.» Τοῦτο δὲ καὶ κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς τετύχηκε πέρατος, ἡνίκα τῶν ἱερῶν συνειλεγμένων ἀποστόλων ἐπεφοί τησεν ἡ χάρις τοῦ πνεύματος καὶ ἐλάλουν «ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι». Καὶ ἐνταῦθα τοίνυν ὁ προφητικὸς λόγος, ὑποσχόμενος δώσειν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὕδωρ τοῖς πορευομένοις ἐ<ν> ἀνύδρῳ, ἔδειξε διὰ τίνων δώσει· Ἐπιθήσω γάρ φησι τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου. <εἶτα> τῶν ἀρδομένων προλέγει τὰ ἄνθη· 4Καὶ ἀνατε λοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ. Προλέγει δὲ καὶ τῆς πίστεως αὐτῶν τὴν θερμότητα· 5Οὗτος ἐρεῖ· Τοῦ θεοῦ εἰμι, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ, καὶ ἕτερος ἐπιγράψει τῇ χειρὶ αὐτοῦ Τοῦ– θεοῦ–εἰμι, καὶ ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ βοήσεται. Μαρτυρεῖ δὲ τῇ προφητείᾳ τὰ πράγματα· μετὰ παρρησίας γὰρ τῶν πιστῶν ἕκαστος Χριστιανὸν ἑαυτὸν ὀνομάζει καὶ ἐπὶ ταύτῃ τῇ προσηγορίᾳ σεμνύνεται. 6Οὕτως λέγει κύριος ὁ βασιλεὺς Ἰσραήλ, ὁ ῥυσάμενος αὐτὸν θεὸς Σαβαώθ· Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι θεός. Εἰ πλὴν αὐτοῦ οὐκ ἔστιν, οὐχ ὁμοούσιος δὲ ὁ υἱὸς κατὰ τὴν Ἀρείου καὶ Εὐνομίου βλασφη μίαν, πῶς ἀπ' αὐτῶν καλεῖται θεός; Εἰ δὲ θεός ἐστιν, ἀληθὴς δὲ καὶ ὁ προφητικὸς λόγος ἄντικρυς λέγων ἕτερον μὴ εἶναι θεόν, μία τῆς ἁγίας τριάδος ἡ θεότης ἐστί, κἂν μὴ θέλωσιν. 7Τίς ὥσπερ ἐγώ; Στήτω καὶ καλεσάτω καὶ ἀναγγειλάτω καὶ ἑτοιμασάτω μοι ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀπαγγει λάτωσαν ὑμῖν. Οἱ καλούμενοί φησι παρ' ὑμῶν θεοὶ εἰπά τωσαν ὑμῖν τὰ προγε γενημένα ἢ προειπάτωσαν τὰ ἐσόμενα. 8Μὴ παρακαλύπτεσθε μηδὲ πλανᾶσθε. Οὐκ ἀπ' ἀρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; Μὴ σκήπτεσθέ φησιν ἄγνοιαν· τοῦτο γὰρ εἶπε· Μὴ παρακαλύπτεσθε. Ἄνωθεν ἐγὼ ὑ μᾶς ἐδίδαξα τὴν ἀλήθειαν, εὐθὺς τῆς νομοθεσίας ἀρξά μενος εἶπον· «Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.» Μάρτυρες ὑμεῖς ἐστε, εἰ ἔστι θεὸς πλὴν ἐμοῦ. Ἐξετάσατε τῶν πραγμάτων τὴν φύσιν καὶ ὁ μολογήσατε καὶ ὑμεῖς ἕτερον μὴ εἶναι θεόν. Καὶ οὐκ ἦσαν τότε 9οἱ πλάσσοντες μάταια καὶ οἱ γλύφοντες ἀνωφελῆ, τουτέστιν ἡνίκα ἐνομοθέτουν· μετὰ γὰρ τὴν νομοθεσίαν ἐμοσχοποίησαν. Πάντες μάταιοι οἱ ποιοῦντες τὰ καταθύμια αὐτῶν ἃ οὐκ ὠφελήσει αὐτούς. Καὶ μάρτυρες αὐτῶν εἰσιν. Ἀντὶ τοῦ· ὅτι οὔκ εἰσι θεοί· αὐτοὶ γὰρ αὐτῶν εἰσι δημιουργοί. Οὐκ ὄψονται καὶ οὐ γνώσονται, ἵνα αἰσχυνθῶσιν. Τουτέστιν· ἀναλγησίαν νοσοῦσιν. 10Τίς πλάσσει ἰσχυρὸν καὶ γλυπτὸν χωνεύσει εἰς ἀνωφελῆ; Ἰδοὺ πάντες οἱ κοινωνοῦντες αὐτῷ αἰσχυνθήσονται. Ἔδειξε κατὰ ταὐτὸν καὶ τῶν τεκται νο μένων καὶ τῶν σεβομένων τὴν πλάνην· κοινωνοῦντας γὰρ τοὺς ἀσεβοῦντας ἐκάλεσεν. Καὶ αἰσχυνθήσονται πάντες οἱ πλάσσοντες θεὸν καὶ γλύφοντες ἀνωφελῆ πάντες. 11Καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν καὶ κωφοί εἰσιν ἀπὸ ἀνθρώπων. Καὶ διὰ τούτων τὴν πολλὴν αὐτῶν ἀναισθησίαν διδάσκει, ὅτι ὁρῶντες τὸ ἀκερδὲς προσκυνοῦσιν ὡς εὐεργέτας. Συναχθήτωσαν πάντες καὶ στησάτωσαν ἅμα, ἐντραπή τωσαν καὶ αἰσχυνθήτωσαν ἅμα· τέκτονες γάρ εἰσιν ἀπὸ ἀνθρώπων. Οἱ τῶν καλουμένων θεῶν δημιουργοὶ ἄνθρωποί εἰσι τὴν αὐτὴν φύσιν τοῖς προσκυνοῦσιν ἔχοντες, καὶ ὁ κατασκευά σα ς τοῦτο ὡς θεῷ προσκυνεῖ ἄνθρωπος. 12Ὅτι ὤξυνε τέκτων σίδηρον σκεπάρνῳ, εἰργάσατο αὐτὸ ἐν ἄν θραξι καὶ ἐν τερέτρῳ ἐρρύθμισεν αὐτὸ καὶ ἔστησεν αὐτὸ καὶ εἰργάσατο <αὐτὸ> ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ καὶ πεινάσει καὶ ἀσθενήσει καὶ διψήσει καὶ οὐ μὴ πίῃ ὕδωρ. Ἔδειξεν ἐξ ἐράνου συνισταμένους τοὺς καλουμένους θεούς· δεῖται γὰρ ὁ τούτων δημιουργὸς χαλκέως μὲν εἰς τὴν τῶν |155 a| ὀργάνων κατασκευήν, θηγάνης δὲ ὥστε ταῦτα ὀξύνειν· δεῖται δὲ καὶ ἀνθράκων ὁ χαλκοτύπος καὶ τῆς τοῦ πυρὸς συνεργίας· χρῄζει δὲ καὶ τροφῆς καὶ πόσεως ὁ ταῦτα τεκταινόμενος· ἐκ δὲ τούτων ἁπάντων κατασκευάζεται ὁ προσκυνούμενος ὑπὸ τῶν ἀνοήτων θεός. Ταῦτα καὶ διὰ τῶν ἑξῆς κωμῳδεῖ· ξύλον γάρ φησιν ἐκλεξάμενος τέκτων πρῶτον μὲν ὑποβάλλει μέτρῳ τὸν καλούμενον θεόν–ὁ δὲ ὄντως θεὸς οὐ περιγράφεται μέτρῳ–, εἶτα τῆς τέχνης ὀργάνῳ διαμορφοῖ–ἴδιον δὲ θεοῦ τὸ ἀνείδεόν τε καὶ ἀσχημάτιστον. 13Καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς καὶ ὡς ὡραιότητα ἀνθρώπου στῆσαι αὐτὸ ἐν οἴκῳ. Μιμεῖται δὲ οὐ θείους φησὶν ἀλλ' ἀνθρωπείους χαρακτῆρας καὶ ἀνθρωπείαν ἐκτυπῶν εἰκόνα ὡς θεὸν προσκυνεῖ τὴν ἰδίαν εἰκόνα.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εἶτα διδάσκει ὡς τοὺς δρυμοὺς καὶ τὰ ἐν τοῖς ὄρεσιν ἄλση δέδωκεν ὁ δημιουργὸς τοῖς ἀνθρώποις ὥστε χορηγεῖν τῷ πυρὶ τροφὴν καὶ τὰς χρείας ἐντεῦθεν πορίζειν τῷ σώματι, οἱ δὲ λαβόντες πρῖνον ἢ δρῦν ἢ πίτυν ἄπ ερ ἐφύτευσε μὲν ὁ τῶν ὅλων θεὸς τῇ δὲ τοῦ ὑετοῦ χορηγίᾳ διέθρεψεν ἵν' ἀφθόνως οἱ ἄνθρωποι τῶν σωματικῶν ἀπολαύσωσιν ἀγαθῶν, θεοὺς ἐντεῦθεν δημιουρ γοῦσιν. Καὶ τὴν τῆς ἀνοίας διδάσκων ὑπερβολὴν ἐπήγαγεν· 15Καὶ λαβὼν ἀπ' αὐτοῦ καύσας ἐθερμάνθη· καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ' αὐτοῖς, τὸ δὲ λοιπὸν εἰργάσαντο καὶ ἐποίησαν θεοὺς καὶ προσκυνοῦσιν αὐτοῖς. Ἐποίησεν αὐτὸ γλυπτὸν καὶ προσπίπτει αὐτό, 16οὗ τὸ ἥμισυ αὐτοῦ κατέ καυσεν ἐν πυρί, καὶ ἐπὶ τοῦ ἡμίσους κρέα ὀπτήσας ἔφαγε καὶ ἐνεπλήσθη καὶ θερμανθεὶς εἶπεν· Ἡδύ μοι, ὅτι ἐθερμάνθην καὶ εἶδον πῦρ. 17Τὸ δὲ λοιπὸν αὐτοῦ ἐποίησεν εἰς γλυπτὸν θεὸν καὶ προσπίπτει αὐτὸ καὶ προσεύχεται αὐτῷ λέγων· Ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ. Εἰ θεός φησίν ἐστιν, ὅλον ἔστω τὸ ξύλον θεός. Τί δήποτε τὰ περιττ ὰ τοῦ ξύλου κατακαίεις καὶ διὰ τοῦ πυρὸς πορίζεις τροφήν, νῦν μὲν ἄρτους πέπτων νῦν δὲ κρέ α ἕψων καὶ ὀπτῶν καὶ κατὰ ταὐτὸν ἐσθίων τε καὶ θαλπόμενος καὶ φωτὸς ἀπολαύων; Οὐ συγγενῆ τῷ πρ οσ κυνουμένῳ τὰ τῷ πυρὶ προσφερόμενα; Πῶς οὖν τὸ μὲν καταφρονεῖς τὸ δὲ προσκυνεῖς; Διὰ τοῦ το εἰκότως ἐπήγαγεν· 18Οὐκ ἔγνωσαν τοῦ φρονῆσαι, ὅτι ἠμαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. Τὸ τῆς ψυχῆς αὐτῶν διὰ τούτων δεδήλωκε σκότος· τοῦ το γὰρ αὐτοῖς ἐπικείμενον οὐκ εἴα ἐπιγνῶναι τῶν γιγνομένων τὴν φύσιν. Εἰς μείζονα δὲ τῆς παρα δο ξίας αὐτῶν ἔλεγχον πάλιν τὰ αὐτὰ λέγει καὶ τὸ τελευταῖον ἐπάγει· 20Γνῶθι ὅτι σποδὸς ἡ καρδία αὐτῶν καὶ πλανῶνται καὶ οὐδεὶς δύναται ἐξελέ σθαι τὴν ψυχὴν ἑαυτοῦ. Ἐκράτησε γὰρ αὐτ οὺς ἡ ἄνοια, καὶ τὸ λογικὸν διαφθείραντες τῇ ἀλογίᾳ δουλεύουσιν. Διὰ τοῦτο δώσω τὸ πνεῦμά μου ἐπ ὶ τὸ σπ έρμα σου, ἵνα ἐκ τῆς πλάνης ἐλευθερωθῶσιν· οὐδὲ γὰρ ἄλλως αὐτοὺς οἷόν τε κατ αμαθεῖν τὴν ἀλήθειαν. Ἴδετε, οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου; Τοῦτο οἱ Λοιποὶ τοῖς ἄνω σ υνάπτουσιν · «Ὅτι οὐδεὶς δύναται ἐξελέσθαι τὴν ἑαυτοῦ ψυχὴν οὐδὲ ἐρεῖ· Μὴ ψεῦδος ἐν τῇ δεξιᾷ μου;» Περὶ δὲ τῶν πεπλανημένων εἶπεν ὅτι οὐ συνορῶσιν ὃ κατέχουσι ψεῦδος. Καὶ κατὰ τοὺς Ἑβδομήκοντα δὲ τοῦτο ἐκ προ σώπου τοῦ θεοῦ λαμβανόμενον οὕτω νοητέον· Μὴ τοιαῦτά φησίν ἐστι τὰ ἐμὰ οἷα τ ὰ τῆς θηγ άνης; Μὴ ἄνθρωπός με κατεσκεύασε; Μὴ εἴδωλον; Μὴ ἐκ λίθων ἢ ξύλων ἢ χρυσοῦ ἢ ἀργύρου κατεσκεύασμαι; 21Μνήσθητι ταῦτα Ἰακὼβ καὶ Ἰσραήλ, ὅτι παῖς μου εἶ σύ, ἔπλασά σε παῖδά μου, ἐμὸς εἶ σύ· καὶ σὺ Ἰσραὴλ μὴ ἐπιλανθάνου μου. Βλέπε τὴν διαφορὰν τοῦ ὄντος καὶ τῶν εἰδώλων , βλέπε τὴν ἐκείνων ἀσθένειαν καὶ τὴν ἐμὴν δύναμιν, τὰς παντοδαπάς μου εὐεργεσί ας κατάμαθε, μὴ ἐπιλάθῃ ὧν ἀπέλαυσας ἀγαθῶν. 22Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. Ἐπιστράφηθι ἐπ' ἐμέ, καὶ λυτρώσομαί σε. Συνεχώρησε μὲν αὐτοῖς τὰ πλημμελήματα, ἡνίκα τῆς Βαβυλωνίων δουλείας ἀπήλλαξεν· κυρίως δὲ καὶ ἀληθῶς μετὰ τὴν ἐνανθρώπησιν τῶν εἰς αὐτὸν πεπιστευκότων τὰς ἀνομίας ἀπήλειψε καὶ τὸν τῶν ἁμαρτημάτων |155 b| ἐςκέδασε γνόφον καὶ τὴν αἰώνιον ζωὴν ἐχορήγησεν. Ἡμεῖς δὲ τὴν τῶν εὐεργεσιῶν ἄσβεστον δι α φυλάξωμεν μνήμην καὶ βίῳ καθαρῷ τὸν εὐεργέτην ἀμειβόμενοι προσμεί νωμεν τῶν ἐλ πιζ ομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, ὧν ἡμᾶς τυχεῖν γένοιτο χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν [Ιησο ῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα σὺν τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 14 ΤΟΜΟΣ ΙΔ΄ 23Εὐφράνθητε οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, ὅτι ἠλέησεν ὁ θεὸς τὸν Ἰσραήλ· σαλπίσατε θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ θεὸς τὸν Ἰακὼβ <καὶ> Ἰσραὴλ δοξασθήσεται. Προσωποποιίᾳ πάλιν ὁ προφητικὸς ἐχρήσατο λόγος καὶ ὥσπερ, ἡνίκα κατηγόρει τοῦ Ἰσραήλ, τὸν οὐρανὸν καὶ τὴν γῆν εἰς μαρτυρίαν ἐκάλεσεν, οὕτως πά λιν τὰ ἀγαθὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προμηνύων τὴν κτίσιν εἰς κοινωνίαν τῆς εὐφροσύνης καλεῖ, οὐκ ἐπειδὴ ἔμψυχα τα ῦτα, ἀλλ' ἐπειδὴ καὶ ἀθυ μούντων ἡμῶν σκυθρωπὰ δοκεῖ φαίνεσθαι καὶ γεγηθότων εἰκότως φαιδρότερα, οὐκ αὐτὰ μεταβαλλόμενα ἀλλ' ἡμῖν οὕτω φαινόμενα. Εἰ δέ τις καὶ τὰς ἐπουρανίους δυνάμεις διὰ τῶν οὐρανῶν νοεῖν βούλοιτο καὶ θεμέλια τῆς γῆς τοὺς ἁγίους προφήτας ὡς αὐτοὺς ταύτην ἐρείδοντας, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας· καὶ γὰρ ὁ κύριος ἔφη· «Χαρὰ γίνεται τοῖς ἀγγέλοις ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.» Οὕτω καὶ τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ τὰ ἐν αὐτοῖς νοηθήσεται ξύλα· μετὰ γὰρ τὴν ἐπάνοδον τοῦ Ἰσραὴλ γεωργούμενα ἐτεθήλει καὶ εὐφροσύνην τοῖς ὄρεσι προὐξένει. 24Οὕτως λέγει κύριος ὁ λυτρούμενός σε καὶ ὁ πλάσας σε ἐκ κοιλίας. Τρία κατὰ ταὐτὸν ὁ λόγος ἐδίδαξεν· ὅτι καὶ δημιουργός ἐστι καὶ δεσπότης καὶ κηδεμών. Τὸ μὲν γὰρ κύριος τὴν δεσποτείαν δηλοῖ, τὴν δὲ κηδεμονίαν ἡ λύτρωσις, τὴν δὲ δημιουργίαν ἡ πλάσις. Ἐγὼ κύριος ὁ συντελῶν ταῦτα πάντα. Ἐγώ σοι καὶ τὰ σκυθρ ωπὰ ἐπή γαγον καὶ τὰ θυμήρη προσοίσω. Εἶτα δείκνυσιν ἀπὸ τῶν ἤδη γεγενημένων τὸ δυνατόν· Ἐξέτεινα τὸν οὐρανὸν μόνος καὶ ἐστερέωσα τὴν γῆν. Ἱκανὰ καὶ ταῦτα διελέγξαι τὴν Ἀρείου καὶ Εὐνομίου παρα-πληξίαν· Τίς γὰρ ὁ μόνος ταῦτα δημιουργήσας; Ὁ πατήρ; οὐκοῦν οὐ δημιουργὸς ὁ υἱός· Ἀλλ' ὁ υἱός; οὐκοῦν οὐ δημιουργὸς ὁ πατήρ· εἰ δὲ πατὴρ καὶ υἱός, πῶς τὸ μόνος νοήσωμεν; ἢ δηλονότι τὴν μίαν τῆς τριάδος θεότητα. Ἀλλὰ ταῦτα καὶ ἐν ἑτέροις ἡμῖν ἱκανῶς ἀποδέδεικται· τῆς ἑρμηνείας τοίνυν ἐχώμ εθα. Τίς ἕτερος 25διασκεδάσει; Ἐμοῦ φησι βουλομένου τι πρᾶξαι τίς ἀντιπράξει; Τίς ἀν τιστῆ ναι τολμήσει; Διασκε δάσω σημεῖα ἐγγαστριμύθων καὶ μαντείας ἀπὸ καρδίας. Τὰ μὲν γὰρ ἐμὰ οὐδεὶς διασκεδάσαι δυνήσεται, ἐμοὶ δὲ ῥᾴδιον κατασβέσαι τὴν πλάνην. Ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μωραίνων. Οὐ μόνον δὲ τοὺς τὰ ἐσόμενα μαντευο μένους ψευδομένους δείξω, ἀλλὰ καὶ τῶν ἐπὶ σοφίᾳ βρενθυομένων τὴν ἀφροσύν ην ἐλέγξω. Τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;» 26Καὶ ἱστῶν ῥήματα παιδὸς αὐτοῦ. Αὐτὸν τὸν προφήτην τὸν τοῖσδε τοῖς λόγοις αὐτοῦ διακονοῦντα ἐνταῦθα προσηγόρευσε παῖδα. Καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων. Οὐ μόνον δέ φησι τούτου ἀλλὰ καὶ τῶ ν ἄλλων, ὅσοι τοὺς θείους διαπορ θμεύουσι λόγους. Τοῦτο δὲ ἐνταῦθα οὐχ ἁπλῶς εἴρηκεν ἀλλ' εἰς τὴν τῶν ῥηθησομένων βεβαίωσιν· προθεσπίζει γὰρ ἐν τοῖς ἑξῆς τοῦ τε Κύρου τοῦ πρώτου Περσῶν βασιλεύσαντος <τὴν> βασιλείαν καὶ τοῦ λαοῦ τὴν ἐπάνοδον καὶ τὴν τῆς Ἱερουσαλὴμ οἰκο δομία ν καὶ τὴν τῆς Βαβυλῶνος πανωλεθρίαν. Διὰ τοῦτο προλαβὼν ἔφη· Ἱστῶν ῥήματα παιδὸς αὐτοῦ. Ὁ λέγων τῇ Ἱερουσαλήμ· Κατοικηθήσῃ, καὶ ταῖς πόλεσι τῆς Ἰουδαίας· Οἰκοδομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀναστήσω. Ἔδειξεν ὁ λόγος τὸ παντοδύναμον τοῦ ποιητοῦ· Λέγω γάρ φησι μόνον, καὶ γίνεται ὃ βεβούλευμαι· λόγῳ γὰρ καὶ τὴν κτίσιν παρήγαγον. 27Ὁ λέγων τῇ ἀβύσσῳ· Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ. Ἄβυσσον ἐνταῦθα τὴν Βαβυλῶνα ὠνόμασε, ποταμοὺς δὲ |156 a| αὐτῆς τῶν οἰκητόρων τὰ πλήθη, οὓς δίκην ποταμῶν ὑποδεχομένη τῆς θαλάττης ἐμιμεῖτο τὰ κύματα. 28Ὁ λέγων Κύρῳ φρονεῖν καὶ πάντα τὰ θελήματά μου ποιεῖσθαι. Ἐγώ φησι τὸν Κῦρον παρασκευάσω το ῦ σω φρονεῖν καὶ τὸ ἐμὸν πληροῦν βούλημα. Καὶ δεικνὺς ποῖον βούλημα, ἐπήγαγεν· Ὁ λέγων Ἱερουσαλήμ· Οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω. 451Οὕτως λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου Κύρῳ. Χριστοὺς ἡ θεία γραφὴ προσαγορεύει οὐ μόνον τοὺς χριομένους ἀλλὰ καὶ τοὺς εἴς τινα χρείαν ὑπὸ τοῦ θεοῦ τῶν ὅλων ἀφοριζομένους. Οὕτω καὶ τῶν πρὸ τοῦ νόμου πατέρων μνημονεύσας ἔφη· «Μὴ ἅπτεσθε τῶν χριστῶν μου.» Ἐνταῦθα μέντοι τὸν Κῦρον χριστὸν ὠνόμασε διδάσκων ὡς αὐτὸς αὐτὸν ἐχειροτόνησε βασιλέα ὥστε καὶ τὴν Βαβυλωνίων δυναστείαν καταλῦσαι καὶ τὴν τῶν Ἰουδαίων αἰχμαλωσίαν λῦσαι καὶ τὸν θεῖον οἰκοδομῆσαι νεών. Οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλέων διαρρήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται· 2ἐγὼ ἔμπροσθεν αὐτοῦ πορεύσομαι καὶ ὄρη ὁμαλιῶ, πύλας χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συνθλάσω. Διὰ πάντων τῶν εἰρημένων ἐδίδαξεν ὡς καὶ προὐβάλετο βασιλέα τὸν Κῦρον καὶ ῥοπὴν αὐτῷ δέδωκεν εἰς τὴν τῆς δυναστείας κατόρθωσιν καὶ πεποίηκεν εὐμαρῆ τὰ φαινόμενα δύσπορα, τὸ γάρ· Ὄρη ὁμαλιῶ καὶ πύλας χαλκᾶς συντρίψω, τοῦτο σημαίν ει . 3Καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους ἀοράτους ἀνοίξω σοι. Τουτέστι τοὺς τῶν Βαβυλωνίων, οὓς ὁ Ναβου χοδονόσορ καὶ οἱ λοιποὶ συναθροίσαντες ἔκρυψαν βασιλεῖς. Ἵνα γνῷς ὅτι ἐγὼ κύριος ὁ θεὸς ὁ καλῶν τὸ ὄνομά σου. Ἄνωθεν καὶ πρὸ πολλῶν γενεῶν ἐγώ σοι τέθεικα τὴν προσηγορίαν. Καὶ διδάσκων, τίς ὁ ταῦτα ποιήσας , ἐπή γαγεν· Θεὸς τοῦ Ἰσραήλ. Ἐπειδὴ γὰρ πολλοὺς εἶναι θεοὺς ὑπελάμβανον οἱ πλανώμενοι, δείκνυσιν ἑαυτὸν δ ιὰ τῶν προσκυνούντων. Εἶτα διδάσκει τὴν τῆς πολλῆς προμηθείας αἰτίαν· 4Ἕνεκεν τοῦ παιδός μου Ἰακὼβ καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦμου ἐγὼ ἐκάλεσά σε τῷ ὀνόματί μου καὶ προσδέξομαί σε. Τὸ ἐμόν σοί φησιν ἐπι τεθήσεται ὄ νομα καί, ὃ μέλλω λαμβάνειν τὴν ἀνθρωπείαν φύσιν ἀναλαμβάνων, τούτῳ σὲ πρῶτον ὠνόμασα. Διδάσκει δὲ ἡμᾶς ὁ προφητικὸς λόγος σαφῶς ὡς <ἔστιν ὁ> μονογενὴς τοῦ θεοῦ λόγος ὁ ταῦτα διαλεγόμενος· αὐτὸς γὰρ ἐ ξαιρέτως ὠνομάσθη χριστός. Σὺ δὲ οὐκ ἔγνως με 5ὅτι ἐγὼ κύριος ὁ θεὸς καὶ οὐκ ἔστι πλὴν ἐμοῦ θεός. Ἐνίσχυσά σε, καὶ οὐκ ᾔδεις με. Τῇ γὰρ τῶν εἰδώλων καὶ αὐτὸς ἐδούλευε πλάνῃ· καὶ παρὰ τοῦ θεοῦ τῶν ὅλων τὴν βασιλείαν δεξ άμενος καὶ τοσαύτης ἐπικουρίας τυχὼν οὐκ ἔγνω τὸν τῶν ἀγαθῶν χορηγόν, ἀλλ' ὅμως αὐτὸν καὶ πλανώμενον τούτ ων ἀπ άντων ἠξίωσεν, ὑπουργὸν αὐτὸν τῆς τῶν Βαβυλωνίων τιμωρίας καὶ τῆς τοῦ Ἰσραὴλ ἐλευθερίας χει ροτ ονήσας . Ἔνια μέντοι τῶν ἀντιγράφων οὕτως εὗρον ἔχοντα· «Σὺ δὲ Ἰσραὴλ οὐκ ἔγνως με.» Ἀλλ' οὔτε παρὰ τ ῷ Ἑ βραίῳ τὸ Ἰσραὴλ κείμενονεὗρον οὔτε παρὰ τοῖς Ἄλλοις Ἑρμηνευταῖς οὔτε παρὰ τοῖς Ἑβδομήκοντα ἐν τῷ Ἑξαπλῷ. Καὶ μάλα εἰκότως· οὐ γὰρ τοῦ Ἰσραὴλ ἐνταῦθα τὴν ἄγνοιαν ἀλλὰ τοῦ Κύρου κατηγορεῖ. Εἶτα καὶ τὴν αἰτίαν τῆς τῶν Ἰουδαίων ἐλευθερίας διδάσκει· 6Ἵνα γνῶσιν οἱ ἀπὸ ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν αὐτοῦ ὅτι οὐκ ἔστι πλὴν ἐμοῦ. Οἱ γὰρ ἀκούσαντες τὴν καινὴν ἐκείνην καὶ παράδοξον ἄφεσιν καὶ τὴν ἔντιμον ἐπά νοδον καὶ τῆς Ἱερουσαλὴμ τὴν οἰκοδομίαν καὶ τοὺς περὶ ταύτης τοῦ Κύρου νόμους ἐμάνθανον μόνον ἀληθῶς ὄντα θεὸν τὸν τῶν Ἰουδαίων θεόν. Ἐγὼ κύριος ὁ θεὸς καὶ οὐκ ἔστιν ἔτι. Μόνος γὰρ αὐτὸς δεσπότης. 7Ἐγὼ ὁ ποιήσας φῶς καὶ κατασκευάσας σκότος. Φῶς ἐνταῦθα τὰ θυμήρη καλεῖ· τὴν τῆς δουλείας ἀπαλλαγὴν καὶ τὴν ἐλευθερίαν καὶ τὴν ἐπάνοδον, σκότος δὲ τὰ σκυθρωπά· τὴν πολιορκίαν, τὸν ἀνδραποδισμόν, τὴν δουλείαν. Ἀμφότερά φησιν ἐγὼ πεποίηκα, καὶ ταῦτα κἀκεῖνα· ἐγὼ καὶ τῷ Ναβουχοδονόσορ εἰς τιμωρίαν ἐχρησάμην καὶ τὸν Κῦρον τῆς ἐλευθερίας ὑπουργὸν προεβα λόμην. Καὶ ὡς καὶ φωτός εἰμι καὶ σκότους δημιουργὸς καὶ τούτων ἑκάτερον διὰ τὴν τῶν ἀνθρώπων παρήγαγον χρείαν, οὕτω |156 b| καὶ τὴν δουλείαν τοῦ Ἰσραὴλ εἰς ὠφέλειαν ἐπήγαγον καὶ τὴν ἐλευθερίαν διὰ φιλανθρωπίαν ἐδωρησάμην. Ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά, ἐγὼ κύριος ὁ θεὸς ὁ ποιῶν πάντα ταῦτα. Σαφῶς ἐδίδαξε τί προσηγόρευσε σκότος καὶ φῶς· τὴν γὰρ εἰρήνην φῶς ὠνόμασε, τὰ δὲ δοκοῦντα κακὰ σκότος. Κακὰ δὲ αὐτὰ κέκληκεν οὐχ ὡς φύσει κακὰ ἀλλ' ὡς οὕτως ὑπὸ τῶν ἀνθρώπων νομιζόμενα. Εἰώθαμεν γὰρ λέγειν· Κακὴν εἶδον σήμερον ἡμέραν, οὐκ ἐπειδὴ ἡ ἡμέρα εἰς ἑτέραν τινὰ μετεβλήθη φύσιν, ἀλλ' ἐπειδὴ ἐν αὐτῇ συνέβη τὰ λυπηρά. Εἶτα δεικνὺς τὴν τῶν προηγορευμένων ἀλήθειαν πάλιν τὴν κτίσιν εἰς κοινωνίαν τῆς εὐ φρο σύνης καλεῖ· 8Εὐφραν θήτω ὁ οὐρανὸς ἄνωθεν, αἱ ἐπουράνιαι δυνάμεις αἱ τῇ τῶν ἀνθρώπων συνηδόμεναι σωτηρίᾳ. Καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. Ἀπειλῶν πρόσθεν ἔφη· «Ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν», καὶ ἐδείξαμεν ἑρμηνεύοντες τοὺς προφήτας οὕτως ὠνο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μασμένους. Ἐνταῦθα τοίν υν τούτους ὁ λόγος παρεγγυᾷ καθάπερ τινὰ ὑετὸν τὸν περὶ τῆς δικαιοσύνης προσφέρειν λόγον. Ἑωρά κασι δὲ μετὰ τὴν ἐπάνοδον προφήτας Ἀγγαῖον καὶ Ζαχαρίαν καὶ Μαλαχίαν. Ἀνατειλάτω ἡ γῆ ἔλεον καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα. Προσήκει γὰρ καὶ τοὺς τῆς τοιαύτης ἀρδείας ἀπολαύοντας προσφέρειν καρποὺς τῇ ἀρδείᾳ συμβαίνοντας· ἡ δὲ ἀρδεία τοὺς περὶ δικαιοσύνης προσέφερε λόγους· διὰ τοῦτο αὐτοὺς κ αρποὺς ἀπαιτεῖ δικαιοσύνης καὶ ἔλεον. Γῆν γὰρ τοὺς τὴν γῆν κατοικοῦντας ἐκάλεσεν. Ἐγώ εἰμι κύριος ὁ κτίσας σε. Ἐγὼ γάρ σε καὶ τὴν ἀρχὴν εἰς τὸ εἶναι παρήγαγον. 9Ποιῶν βέλτιον κατεσκεύασά σε ὡς πηλὸν κεραμέως. Καθάπερ φησὶν ὁ κερ αμεὺς τὸ πήλινον σκεῦος συντριβόμενον ἀναπλάττει, οὕτως ἐγώ σε ποιήσω τῆς προτέρας ἀμεί<ν>ονα. Μὴ ὅλην τὴν ἡμέραν ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν; Ἀντὶ τοῦ· οὐ διὰ παντὸς προσήκει τὴν παιδείαν προσφέρειν, οὐδὲ γὰρ ὁ γεωργὸς ἀεὶ τὴν γῆν ἀνατέμνει. Οὐαὶ ὁ κρινόμενος μετὰ τοῦ πλάσαντος αὐτόν. Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ· Τί ποιεῖς; Τί οὐκ ἐργάζῃ καὶ τὸ ἔργον <οὐκ ἔχεις> εἰς χεῖρας; Μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό; Ἐπειδὴ γὰρ καὶ τηνικαῦτα ἦσαν πολλοὶ καὶ νῦν δὲ ὡσ αύτω ς εἰσὶ τὴν θείαν περιεργαζόμενοι πρόνοιαν καὶ πολυπραγμονεῖν πειρώμενοι διὰ τί πόλεμοι γίγνο νται διὰ τί γῆς ἀκαρπίαι διὰ τί θάνατοι ἄωροι καὶ ὅσα τοιαῦτα, εἰκότως πρῶτον μὲν ἐθρήνη σε τοὺς εὐθύνας ἀπαιτοῦντας τῶν ὅλων τὸν ποιητήν, εἶτα τῇ εἰκόνι τοῦ πηλοῦ καὶ τοῦ κεραμέως ἱκανῶς αὐτοὺς ἐπεστόμισεν· ὥσπερ γὰρ ὁ πηλὸς τὸν πηλουργὸν ἀργίας καὶ ἐργασίας εὐθύν ας οὐκ ἀπαιτεῖ, οὕτως οὐδὲ ὑμᾶς προσήκει τὰ θεῖα περιεργάζεσθαι· ὅπερ γὰρ πηλός, τοῦ το ὑ μεῖς· ἐγὼ δὲ πρὸς τὸν κεραμέα πλείστην ὅσην ἔχω διαφοράν· ὁ μὲν γὰρ κεραμεύς, εἰ καὶ ποιητής ἐστι τοῦ πηλίνου σκεύους, ἀλλ' αὐτὸς πρωτο γενὴς τοῦ πηλοῦ· ἐγὼ δὲ ἄκτιστον ἔχω τὴν φύσιν. Ἀλλ' ὅμως ὁ μὲν πηλὸς οὐ φθέγγεται, ἀλ λ' ἀνέ χε ται τὴν διάπλασιν ἣν ἂν ὁ κεραμεὺς ἐπιθεῖναι θελήσῃ· ὑμεῖς δὲ τῆς ἐμῆς προνοίας κατα φρονεῖτε . 10Οὐαὶ ὁ λέγων τῷ πατρί· Τί γεννήσεις; καὶ τῇ μητρί· Τί ὠδίνεις; Εἰς ἑτέραν πάλιν εἰκόνα μετέβα λε τὸν λόγον, τῆς βλ ασφημίας δεικνὺς τὴν ὑπερβολήν. Εἰ γὰρ ὁ τοῖς πατράσιν ἀντιλέγων παράνομός ἐστι , ποία ς τεύξεται τι μωρίας ὁ κατὰ τοῦ ποιητοῦ τὴν γλῶτταν κινῶν; 11Ὅτι οὕτως λέγει κύριος ὁ θεὸς ὁ ἅγιος τοῦ Ἰσραήλ, ὁ πλάσας αὐτόν, ὁ ποιήσας τὰ ἐπερχόμενα. Ἔδειξεν αὐτὸν πλάστην καὶ δημιουργόν, τοὺς ἀχαρί στους ἐντρέ πων. Διδάσκει δὲ ὡς καὶ αὐτὸς ἄνωθεν προώρισε τὴν ἐσομένην τῶν αἰχμαλώτων ἐλευθερίαν· τοῦτο γὰρ δηλοῖ τό· Ὁ ποιήσας τὰ ἐπερχό μενα. Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου καὶ τῶν θυγατέρων μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ με. Κατ' εἰρωνείαν ταῦτα τέθεικεν. Ἐπειδή φησι περιεργάζε σθέ μου τὴν πρόνοιαν, δότε μοι βουλήν, εἰσενέγκατε εἰσήγησιν περὶ τῆς τοῦ λαοῦ μου ἐλευθερίας. Υἱοὺς δὲ καὶ θυγατέρας τὸν Ἰσραὴλ ὠνόμασεν. Εἶτα διὰ τῆς κτίσεως τὴν οἰκείαν δείκνυσι σοφίαν καὶ δύναμιν · 12Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν, ἐγὼ |157 a| πᾶσι τοῖς ἄστροις ἐνετειλάμην φαίνειν. Ἴδετε τῶν ὁρωμένων τὸ κάλλος, τὴν θέσιν, τὴν τάξιν, τὴν ποικιλίαν· ἐγὼ τούτων ἁπάντων δημιουργός. Τὴν δὲ χεῖρα θεοπρεπῶς νοήσωμεν μὴ σωματικὸν μόριον ἀλλὰ τὴν θείαν ἐνέργειαν. 13Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι· οὗτος οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων, εἶπε κύριος Σαβαώθ. Ταῦτα οἱ Τρεῖς οὕτως ἡρμήνευσαν· «Ἐγὼ ἐξήγειρα αὐτὸν ἐν δικαιοσύνῃ καὶ πάσας τὰς ὁδοὺς αὐτοῦ εὐθυνῶ· αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν ἀποίκησίν μου ἐκπέμψει οὐκ ἐν ἀλλάγματι οὐδὲ ἐν δώροις, λέγει κύριος τῶν δυνά μεων.» Περὶ τοῦ Κύρου καὶ ταῦτα ἔφη. Καὶ ἀκριβέστερον ἠκολούθησαν οἱ Τρεῖς τῇ τοῦ Ἑβραίου διανοίᾳ ὅτι· Τὰς ὁδοὺς αὐτοῦ εὐθυνῶ, τουτέστι· Πολλὴν αὐτῷ παρέξω εἰς κατόρθωσιν εὐκολίαν. Οὐ γὰρ τοῦ Κύρου πᾶσαι αἱ ὁδοὶ εὐθεῖαι, ἀλλ' αὐτὸς ὁ θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥᾳδίαν αὐτῷ τὴν κατὰ τῶν πολεμίων ἐποίησε νίκην· ἔμελλε γὰρ τῷ λαῷ τὴν ἐλευθερίαν παρέξ ειν οὐ λύτρα τινὰ κομιζόμενος ἀλλὰ προῖκα ταύτην δωρούμενος. Οὕτω προθεσπίσας τοῦ Κύρου τὴν βασιλείαν καὶ τοῦ λαοῦ τὴν ἐπάνοδον καὶ τὴν τῆς πόλεως οἰκοδομίαν προλέγει καὶ τὴν ἐσομένην μετὰ τὴν ἐπάν οδον τῆς πόλεως εὐκληρίαν καὶ τῶν ἐθνῶν τὴν ἐπιστροφὴν καὶ τὴν Αἰγυπτίων καὶ Αἰθιόπων ἐπὶ τὸ κρεῖττον μεταβολὴν καὶ τῆς τοῦ μονογενοῦς θεολογίας τὴν γνῶσιν· 14Οὕτως λέγει κύριος Σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων καὶ οἱ Σαβαΐμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται καὶ σοὶ ἔσονται δοῦλοι. Δει ξάτωσαν Ἰουδαῖοι Αἰγυπτίους καὶ Αἰθίοπας καὶ τοὺς Σαβαΐμ καλουμένους δούλους αὐτῶν πώποτε γεγενη μέ νους καὶ ὑπηκόους. Εἰ δὲ ταύτης ἀποροῦσι τῆς ἀποδείξεως– οὐδεμία γὰρ ἱστορία τοῦτο διδάσκει–, ὁμο λογοῦσι δὲ ἀληθῆ εἶναι τὴν προφητείαν, τὸν ἀληθῆ δεξάσθωσαν λόγον καὶ λαβέτωσαν τοὺς ὀφθαλ μοὺς τῶν λεγομένων μάρτυρας. Ὁρῶσι γὰρ ὑπ' Αἰγυπτίων καὶ Αἰθιόπων καὶ πάντων ἀνθρώπων τὸν ἐξ αὐτῶν κ ατὰ σάρκα βλαστήσαντα προσκυ νούμενον κύριον. Οὐ γὰρ μόνον τοῦτό ἐστιν ὅπερ ἐξ αὐτῶν ἔλαβεν, ἀλλὰ καὶ τῶν ἁπάντων ποιητής ἐστι καὶ θεός. Τοῦτο γὰρ τὰ ἑξῆς ἡμᾶς διδάσκει σαφῶς· Ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις καὶ διαβήσονται πρός σε καὶ προσκυνήσουσί σοι καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. Ὁράτωσαν Ἰουδαῖοι δυάδα προσώπων κηρυττομένην ἐν ἑνί· ἔστι γὰρ ἐν σοὶ θεὸς καὶ σὺ θεὸς καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. Ἐλέγχει δὲ ταῦτα καὶ τὴν Ἀρείου καὶ Εὐνομίου μανί αν · εἰ γὰρ οὐκ ἔστι πλὴν αὐτοῦ, ὁ ἐν αὐτῷ θεὸς πῶς ἂν εἴη θεός; Ὁ δὲ προφητικὸς διδάσκει λόγος· Ὅτι ἐν ςοὶ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. Δῆλον τοίνυν ὡς καὶ ἡ προφητεία τὴν μίαν κηρύττει θεότητα καὶ ἀτεχνῶς ἔοι κε τῇ τῶν εὐαγγελίων διδασκαλίᾳ. Καὶ γὰρ ἐν ἐκείνοις ὁ κύριος ἔφη· «Ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα.» Ἤλεγ ξε τοίνυν ὁ προφητικὸς λόγος καὶἸουδαίους εἰς ἓν πρόσωπον τὴν θεότητα περιγράφοντας καὶ Ἄ ρειον καὶ Εὐνόμιον ἑτέραν φύσιν θεότητος εἰσαγαγεῖν ἐπιχειροῦντας. Καὶ τὰ ἐπαγόμενα δὲ τὴν μίαν κ η ρύττει θεότητα· 15Σὺ γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ Ἰσραήλ, σωτήρ. Ταῦτά φησιν ἐροῦσιν οἱ προσκυνο ῦντες Αἰγύπτιοι καὶ Αἰθίοπες καὶ οἱ Σαβαΐμ. Εἰσάγει δὲ διὰ τούτων ὁ λόγος ἀλλόφυλα ἔθνη λέγον τα ὅτι μέχρι τοῦ νῦν ἐπλανώμεθα καὶ οὐκ ἔγνωμέν σε τὸν ὄντως θεόν, τὸν ἀεὶ τοῦ Ἰσραὴλ σωτῆρα γενόμ ενον . Ἐπειδὴ δὲ οὐχ ἅπαντες ἔμελλον πιστεύειν τῷ σωτηρίῳ κηρύγματι, προλέγει καὶ περὶ τῶν ἀπιστ ούντων · 16Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάν τες οἱ ἀντικείμενοι αὐτῷ καὶ πορεύσονται ἐν αἰσχύνῃ. Καὶ μαρτυρεῖ τῷ λόγῳ τὰ πράγματα· καὶ γὰρ οἱ ἐξ Ἰουδαίων καὶ οἱ ἐξ ἐθνῶν ἀπιστήσαντες αἰσχύ νην ἔχουσι τῆς ἀπιστίας καρπόν. Ἐγκαινίζεσθε πρός με νῆσοι. Πάλιν τὰ ἔθνη καλεῖ· ἐπει δὴ γὰρ τοὺς τὴν ἤπειρον οἰκοῦντας ἔδειξε προσκυνοῦν τας, καὶ τοῖς νησιώταις εἰκότως ὑπισχνεῖται τὴν νεουργίαν. Δωρεῖται δὲ ταύτην τοῖς ἀνθρώποις τὸ πανάγιον βάπτισμα. 17Ἰσραὴλ σῴζεται ὑπὸ κυρίου |157 b| σωτηρίαν αἰώνιον, οὐκ αἰσχυνθήσονται οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος. Εἰπάτωσαν Ἰουδαῖοι, πῶς αὐτοῖς οὗτος ὁ λόγος ἁρμόττει. Ὅτι γὰρ εἰς πᾶσάν εἰσι διεσπαρμένοι τὴν οἰκουμένην καὶ δουλεύουσι Ῥωμαίοις, οὐκ ἂν ἀρνηθεῖεν κἂν λίαν ὄντες ἀναίσχυντοι. Δῆλον τοίνυν ὡς τῶν εὐσεβῶν ὁ σύλλογος ὁ ἐξ ἐκείνων κεκλημένος, οἷος ἦν ὁ θεσπέσιος Παῦλος καὶ πρὸ τούτου ὁ τῶν ἀποστόλων χορὸς καὶ οἱ ἑβδομήκοντα μαθηταὶ καὶ οἱ ἑκατὸν εἴκοσιν, ὧν συνειλεγμένων ὁ μακάριος ἐδημηγόρησε Πέτρος, καὶ οἱ πεντακόσιοι, οἷς κατὰ ταὐτὸν ὁ κύριος μετὰ τὴν ἀνάστασιν ὤφθη, καὶ οἱ τρισχίλιοι καὶ αἱ πολλαὶ μυριάδες καὶ οἱ ἐν ἁπάσῃ πόλει ζωγρηθέντες ὑπὸ τῶν ἱερῶν ἀποστόλων, Ἰσραὴλ χρηματίζουσιν· οὗτοι γὰρ ἀληθῶς τῆς αἰωνίου σωτηρίας ἀπήλαυσαν. 18Οὕτως λέγει κύριος ὁ ποιήσας τὸν οὐρανόν, οὗτος ὁ θεὸς ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταδείξας τὴν γῆν καὶ ποιήσας αὐτήν, αὐτὸς διώρισεν αὐτήν, οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν, ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτήν. Συνεχῶς ἐντρέπει τοὺς ἀντιλέγοντας, ποιητὴν ἑαυτὸν τῶν ἁπάντων δεικνύς. Καὶ διδάσκει κατὰ ταὐτόν, ὡς ἄνωθεν αὐτῷ προώριστο τῶν ἀνθρώπων ἡ σωτηρία· οὐ γὰρ εἰς κενὸν ἐποίησε τὴν γῆν, ἀλλ' ἠνέσχετο τῆς τῶν ἀνθρώπων ἀσεβείας, τὴν μεταβολὴν προθέμενος. Ἐγώ εἰμι κύριος, καὶ οὐκ ἔστιν ἔτι. Καὶ μὴν καὶ ὁ υἱὸς κύριος· «Εἶπε» γάρ φησιν «ὁ κύριος τῷ κυρίῳ μου» καί· «Ἔβρεξε κύριος παρὰ κυρίου.» Ἀλλὰ μία ἡ κ υριότης ὥσπερ μία ἡ θεότης. Καὶ ταῦτα τοίνυν διελέγχει τῶν αἱρετικῶν τὴν μανίαν. 19Οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ. Ταῦτα εἴρηκε τῶν εἰδώλων κωμῳδῶν τὴν ἀπάτην. Μαγγα νείαις γάρ τ ισιν οἱ ἐκείνων κεχρημένοι θεραπευταὶ καὶ τὸν ζόφον ἐπίκουρον τῆς πλάνης λαμβάνοντες ἐξ ἀδύτων τιν ῶν καὶ σκοτεινῶν χωρίων ἐλάλουν ὅπερ ἐβούλοντο καὶ τοὺς ἀκούοντας ἐφενάκιζον, τὰ εἴδωλα ταύ την ἀφιέναι λέγοντες τὴν φωνήν. Ἐγὼ δέ φησι καὶ νομοθετῶν καὶ προθεσπίζων ἀναφανδὸν τοῦτο εἴρηκα . Οὐκ εἶπον τῷ οἴκῳ Ἰακώβ· Μάταιον ζητήσατε. Ἀλλὰ πᾶν τοὐναντίον παντελῶς ἀπηγόρευσα τοῦτο. Ἐγὼ γ ὰρ νομοθετῶν εἶπον· «Οὐ ποιήσεις σεαυτῷ εἴδωλον.» Ἐγώ εἰμι κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν. Οὐδὲν ἄδικον, οὐδὲν ψευδὲς παρ' ἐμοί· πάντα ἀληθῆ, πάντα δικαιοσύνῃ κοσμούμενα. 20Συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα οἱ σῳζόμενοι ἀπὸ τῶν ἐθνῶν. Οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμματα αὐτῶν καὶ προσευχόμενοι πρὸς θεούς, καὶ οὐ σῴζουσιν 21οὐδὲ ἀναγγέλ<λ>ουσιν. Παρεξετάζει τῇ ἀληθείᾳ τὸ ψεῦδος καὶ δεί κνυσι καὶ τὴν φύσιν τῶν εἰδώλων καὶ τὴν ἐπικειμένην μορφὴν καὶ τὴν ἐπιζήμιον θεραπείαν· ξύλον γάρ φη σίν ἐστιν ὑπὸ τέκτονος εἰργασμένον οὔτε σῴζειν οὔτε διδάσκειν ἢ προλέγειν δυνάμενον. Ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα, τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς, ἔκτοτε ἀνηγγέλη ὑμῖν. Καὶ γὰρ εὐθὺς νομοθετῶν τοῦτο πρῶτον ἐδίδαξεν. Ἐγὼ θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, δίκαιος καὶ σωτὴρ οὐκ ἔστι πάρεξ ἐμοῦ. Καὶ τ αῦτα σαφῶς ἡμᾶς διδάσκει τὸ ὁμοούσιον. Εἰ γὰρ καὶ ὁ πατὴρ θεὸς καὶ ὁ υἱὸς θεὸς καὶ ὁ πατὴρ σ ωτὴρ κ αὶ ὁ υἱ ὸς σωτήρ , μοναδικῶς δὲ αὐτὰ ὁ προφητικὸς τέθεικε λόγος, λίαν ἐναργῶς τὸ αὐτὸν τῆς οὐσίας δεδήλωκεν. Εἰ γὰρ πλ ὴν αὐτοῦ οὐκ ἔστι θεὸς καὶ πάρεξ αὐτοῦ οὐκ ἔστι σωτήρ· εἴτε ὁ πατὴρ ταῦτα λέγει, ἐκβέβληται τούτων ὁ υἱὸς ὥσ περ ἄρα οὐχ ὁμοούσιος· εἴτε ὁ υἱὸς εἴη πάλιν ὁ ταῦτα λέγων, ἐστέρηται τούτων ὁ πατήρ. Εἰ δὲ καὶ ὁ πατὴρ θεὸ ς καὶ ὁ υἱὸς θεὸς καὶ ὁ πατὴρ σωτὴρ καὶ ὁ υἱὸς σωτήρ, ἑνικῶς δὲ εἴρηται πλὴν αὐτοῦ μήτε θεὸν εἶναι μήτε σωτῆρ α, παραπαιόντων ἐστὶ καὶ φρενιτιώντων μὴ νοεῖν τὴν μίαν θεότητα. 22Ἐπιστράφητε ἐπ' ἐμὲ καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς. Σαφῶς κἀνταῦθα τῶν ἐθνῶν τὴν κλῆσιν ὁ λόγος δεδήλωκεν. Ἐγώ εἰμι θεός, καὶ οὐκ ἔστιν ἄλλος. 23Κατ' ἐμαυτοῦ ὀμνύω· Ἦ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ καὶ ὀμεῖται πᾶσα γλῶσσα 24τὸν θεὸν τὸν ἀληθινόν, λέγων· Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει. Καὶ ταῦτα ὁμοίως καὶ τὴν Ἰουδαίων ἀπιστίαν ἐλέγχει ........... τῶν ἐθνῶν ἁπάντων ὁ λόγος τὴν θεογνωσίαν ἐκήρυξε καὶ τῆς Ἀρείου καὶ Εὐνομίου μανίας καὶ ἀσε βείας κατηγορεῖ· ἃ γὰρ ἐνταῦθα ὡς ἐκ προσώπου <τοῦ πατρὸς ὁ προφήτης εἴρηκε, ταῦτα ὁ θεῖος ἀπόστολος τῷ τοῦ υἱοῦ προσώπῳ> προσήρμοσεν, λέγει δὲ οὕτως· «Πάντες παρα στησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Γέγραπται γάρ· Ζῶ ἐγώ, λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ.» |158 a| Ὁ δὲ ταῦτα λέγων πολλάκις εἶπε πλὴν αὐτοῦ μὴ εἶναι θεόν· οὐκοῦν τὴν μίαν ὁ λόγος κηρύττει θεότητα. Καὶ μέντοι καὶ τό· Κατ' ἐμαυτοῦ ὀμνύω, δείκνυσι τὸ ὁμοούσιον υἱοῦ καὶ πατρός· καὶ μάρτυς ὁ θεῖος ἀπόστολος οὕτω λέγων· «Ἐπειδὴ κατ' οὐδενὸς ἄλλου μείζονος εἶχεν ὀμόσαι, εἶπεν· Κατ' ἐμαυτοῦ ὀμνύω.» Πῶς τοίνυν αὐτὸν ἐλάττονα λέγουσι τοῦ πατρὸς τὸν οὐκ ἔχοντα μείζονα κατὰ τὸν θεῖον ἀπόστολον; Καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες ἑαυτοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

25ἀπὸ κυρίου. Ταύτην ἔχουσι τὴν αἰσχύνην οἱ τὴν ἀπιστίαν τῆς πίστεως προτιμήσαντες εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες. Ἐνκυρίῳ δικαιωθήσονται καὶ ἐπὶ τῷ θεῷ ἐνδοξασθήσονται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ. Οὐκ εἶπεν· Πᾶν τὸ σπέρμα Ἰσραήλ–ἧ γὰρ ἂν ἥρπασαν Ἰουδαῖοι τὸν λόγον–ἀλλά· Πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ. Υἱοὶ δὲ Ἰσραὴλ οἱ ἐξ Ἰσραήλ, σπέρμα δὲ τούτων οἱ ἐν τοῖς ἔθνεσι τῆς σωτηρίας ἠξιωμένοι· διὰ γὰρ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων δεξάμενοι τῆς διδασκαλίας τὸ σπέρμα τὴν σωτηρίαν ἐδρέ ψαντο. Οὕτως ὁ προφητικὸς θεολογήσας λόγος καὶ τοὺς πεπι στευκότας ἐπιδείξας καὶ τοὺς ἀπιστήσαντας διελέγξας, καὶ τῶν εἰδώλων προλέγει τὸν ὄλεθρον· 461 Ἔπεσε Βήλ, συνετρίβη Νεβώ. Ἔνια τῶν ἀντιγράφων «Δαγὼν» ἔχει. Εἴδωλον δὲ ἦν τοῦτο τῶν Ἀλλοφύλων. Τὸν δὲ Βὴλ Κρόνον ἔφασάν τινες εἶναι. Εἶτα καθολικῶς· Ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία καὶ κτήνη. Οὐ γὰρ μόνον ἀνθρωπόμορφα κατεσκεύαζον εἴδωλα ἀλλὰ καὶ θηρίοις καὶ κτήνεσιν ἐοικότα· καὶ διαφερόντως Αἰγύπτιοι πιθήκων καὶ κυνῶν καὶ λεόντων καὶ προβάτων καὶ κροκοδίλων προσεκύνουν ἰνδάλματα, Ἀκαρωνῖται δὲ καὶ μυίας εἶχον εἰκόνα, ἄλλοι δὲ νυκτερίδων προσεκύνουν εἰκάσματα· καὶ τούτων ἐν τοῖς προοιμίοις ὁ προφητικὸς κατηγόρησε λόγος. Τούτων ἁπάντων προλέγει τὸν ὄλεθρον· Αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι 2καὶ οὐκ ἰσχύοντι, πεινῶντι καὶ ἐκλελυμένῳ ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν. Ὥσπερ φησὶ τἆλλα φορτία βαδίζειν οὐ δύναται ἀλλὰ φέρεται, οὕτω καὶ ταῦτα ἀκίνητα ὄντα πονεῖν ἀναγκάζει τοὺς φέροντας. Τοσαύτη δὲ αὐτῶν ἡ ἀσθ ένεια ὡς μηδὲ τοῖς ἀνθρώποις παραπλησίως δύνασθαι φεύγειν ἐν πολέμου καιρῷ. 3Ἀκούσατέ μου οἶκος Ἰακὼβ καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραήλ, οἱ αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἐκ παιδίου 4ἕως γήρους. Τῆς ἀνοήτου διδασκαλίας ἐνταῦθα τῶν Ἰουδαίων κατηγορεῖ· παιδόθεν γὰρ τὰ θεῖα παιδευόμενοι πόρρω τῆς ἀληθείας ἐγένοντο. Ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι. Ὑμεῖς φησι πολλὰς ἔχετε μετα βολάς, ἐγὼ δὲ ἀναλλοίωτον ἔχω τὴν φύσιν· ὑμεῖς καὶ γῆρας καὶ θάνατον δέχεσθε, ἐγὼ δὲ ἄφθαρτός εἰμι καὶ ἀθάνατος. Ἐγὼ ἀνέχομαι ὑμῶν, ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀνήσω καὶ ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. Φέρω ὑμῶν τὴν ἀχαριστίαν, ἀνέχομαι τῆς παρανομίας, ἀναμένω τὴν μεταμέλειαν· ἐγὼ γὰρ ὑμᾶς καὶ εἰς τὸ εἶναι παρήγαγον. 5Τίνι με ὡμοιώσατε; Ἴδετε τεχνάσασθε οἱ πλανώμενοι. 6Καὶ οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσίππου καὶ ἀργύριον ἐν ζυγῷ στήσουσιν ἐν σταθμῷ καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητον καὶ κύψαντες προσκυνοῦσιν αὐτό. 7Αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου, καὶ πορεύεται· ἐὰν δὲ θῶσιν αὐτό, ἐπὶ τοῦ τόπου μένει, οὐ μὴ κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτόν, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν. Σαφῶς τῶν εἰδώλων ἐκωμῴδησε τὴν ἀσθέ ν ειαν. Καὶ ἐπειδὴ τῆς ἐκ ξύλων δημιουργίας ἐν τοῖς πρόσθεν ἐμνήσθη, ἡ δὲ τοῦ χρυσοῦ καὶ τοῦ ἀ ργύρου ὕλη τιμιωτέρα τῶν ξύλων, πολλοὶ δὲ τῇ ὕλῃ προσέχοντες πλείονα τιμὴν προσέφερον τοῖς χρυσ οῖς καὶ ἀργυροῖς θεοῖς, ἀναγκαίως καὶ περὶ τούτων διδάσκει ὡς χρυσὸν καὶ ἄργυρον ἐξ ἐράνου συ νά γοντες καὶ χρυσοχόον μισθούμενοι καὶ σταθμῷ τοῦτον παραδιδόντες τὸν ὑπὸ τούτου τεκταινόμ ενον ἀνδριάντα θεοποιοῦσιν, ὃς ἀλλοτρίοις μὲν χρῆται ποσίν, εἰ δὲ τούτων ἀπορήσοι, ἀκίνητος μένει, φέρει δὲ τοῖς προσκυνοῦσιν οὐδεμίαν βοήθειαν. Μετὰ τοῦτον τὸν ἔλεγχον εἰσφέρει παραίνεσιν· 8Μνή σθητε |158 b| ταῦτα καὶ στενάξατε, μετανοήσατε οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ 9καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, 10ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη. Διὰ τῶν ἤδη παρ' ἐμοῦ γεγενημένων μάθετε ὡς μόνος εἰμὶ θεός· ἐγὼ γὰρ καὶ πρὸ πολλῶν γενεῶν τὰ ἐσόμενα προλέγω καὶ πληρῶ ἃ προλέγω. Καὶ εἶπον· Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω· 11καλῶ<ν> ἀπὸ ἀνατολῶν πετεινὸν καὶ ἀπὸ γῆς πόρρωθεν περὶ ὧν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βεβούλευμαι. Ἐλάλησα καὶ ἤγαγον, ἔκτισα καὶ ἐποίησα αὐτό. Πάντα ῥᾴδια τῷ τῶν ὅλων θεῷ· οὐ γὰρ μόνον τὰ λογικὰ ἀλλὰ καὶ τὰ ἄλογα τῷ θείῳ νεύματι εἴκει. Διὰ μέντοι τοῦ πετεινοῦ τὸ ταχὺ τῆς ἐπανόδου δεδήλωκεν. 12Ἀκούσατέ μου οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης· 13ἤγγισα τὴν δικαιοσύνην μου, οὐ μὴ μακρυνθῇ, καὶ τὴν σωτηρίαν τὴν παρ' ἐμοῦ οὐ βραδύνω. Εἰ γὰρ καὶ ὑμεῖς τῆς σωτηρίας ἀνάξιοι πόρρω τῆς δικαιοσύνης διὰ τὴν παρανομίαν γενόμενοι, ἀλλ' ἐγὼ παρέξω τὴν σωτηρίαν καὶ δικαίαν τιμωρίαν τοῖς Βαβυλωνίοις ἐπάξω. Δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα. Μαθή σονται γὰρ ἅπαντες διὰ τῆς τοῦ Ἰσραὴλ σωτηρίας τὴν ἐμὴν δύναμιν καὶ γνώσονται ὅτι ἀληθῶς ὑπάρχω θεός. Οὕτω ταῦτα τῷ Ἰσραὴλ προθεσπίσας εἰς τὴν Βαβυλῶνα μεταφέρει τὸν λόγον· 471 Κατάβηθι κάθισον ἐπὶ τὴν γῆν παρθένος θυγάτηρ Βαβυλῶνος. Παρθένον αὐτὴν καλεῖ οὐχ ὡς ἀδιάφθορον–ἐναγὴς γὰρ ἦν καὶ ἀκόλαστος–ἀλλ' ὡς παρθένῳ παραπλησίως καλλωπιζομένην. Κάθισον εἰς τὴν γῆν, οὐκ ἔστι θρόνος. Ἐστέρησαί φησι τῆς βασιλείας, τὴν δουλικὴν ἀντέλαβες τάξιν. Εἴσελθε εἰς τὸ σκότος θυγάτηρ Χαλδαίων, οὐκέτι προστεθήσῃ κληθῆναι ἁπαλὴ καὶ τρυφερά. Ἀπέβαλες τὴν πρ οτέραν εὐημερίαν, οὐκ ἐντρυφᾷς τοῖς ἀλλοτρίοις κακοῖς. 2Λάβε μύλον, ἄλεσον ἄλευρον. Ἔστι ταῦτα δουλείας τεκμήρια. Ἀποκάλυψαι τὸ κατα<κά>λυμμά σου. Γυμνώθητι τῆς βασιλικῆς στολῆς, ἀπόβαλε τὰ σημεῖα τῆς βασιλείας. Ἀνακάλυψαι τὰς πολιάς. Διὰ τῆς πολιᾶς τὸ πολυχρόνιον τῆς βασι λείας ᾐνίξατο· ἡ γὰρ Ἀσσυρίων βασιλεία τετρα κόσια καὶ δισχίλια ὀλίγου δέοντα κεκρατη κέναι λέγετ αι ἔτη. Ἀνάσυραι τὰς κνήμας, διάβηθι ποταμούς· 3ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου. Καὶ διὰ τούτων τὴν αἰχμαλωσίαν σημαίνει· αἰχμαλώτων γὰρ τὸ γυμνοῖς ποσὶ τοὺς ποταμοὺς διαβαί νειν. Φανήσονται οἱ ὀνειδισμοί σου, τὸ δίκαιον ἐκ σοῦ λήψομαι, οὐκέτι σε μὴ παραδῶ ἀνθρώποις. 4Ὁ ῥυσάμενός σε κύριος Σαβαὼθ ὄνομα αὐτῷ, ἅγιος Ἰσραήλ. Καὶ ταῦτα ὁ Σύμμαχος οὕ τως ἡρ μήνευσεν· «Καί γε φανήτω τὸ ὄνειδός σου· ἐκδίκησιν λήψομαι, καὶ οὐκ ἀντιστήσεταί μοι ἄνθρωπος. Λυτρωτὴς ἡμῶν κύριος τῶν δυνάμεων ὄνομα αὐτῷ, ἅγιος Ἰσραήλ.» Δίκας σέ φησι τῆς εἰς τὸν Ἰα κὼβ ὠμότητος πράξομαι. Οὐκέτι σε μὴ παραδῶ ἀνθρώποις· σύντομον γάρ σοι πανωλεθρίαν ἐ ποίσω καὶ οὐ δέομαι δευτέρας πληγῆς. Εἶτα πρὸς τὸν Ἰσραήλ· Ὁ ῥυσάμενός σε κύριος Σαβαὼθὄνομα αὐτῷ. Εἰ δὲ καὶ ἐπ' αὐτῆς βούλοιτό τις λαβεῖν τὸ ῥητὸν τῆς Βαβυλῶνος, συνίδοι ἂν καὶ αὐτὴν πλ ειόνων ἁμαρτημάτων ἀπαλλαγεῖσαν διὰ τῆς τιμωρίας· οὐκέτι γὰρ ἔχουσα τὴν δυναστείαν οὐκέτι ἡ μάρτανε, καὶ αὐτὴ τοίνυν ὠφέλειαν ἐδέξατο μειζόνων ἁμαρτημάτων ἀπαλλα γεῖσα . 5Κάθισον κατανενυγμένη, τουτέστι θρηνοῦσα. Εἴσελθε εἰς τὸ σκότος θυγάτηρ Χαλδαίων. Τοῖς γὰρ ἐν σ οἰ κατοικοῦσι σκότος ἐστὶ καὶ τὸ φῶς. Οὐκέτι μὴ κληθήσῃ ἰσχὺς βασι λείας. Δουλείᾳ γὰρ ἀντὶ β ασιλεία ς συ γκληρωθή σῃ . 6Παρωξύνθην ἐπὶ τῷ λαῷ μου διότι ἐμίαναν τὴν κληρονο μίαν μου. Ἐνέπρησαν γὰρ τὸν θεῖον νεὼν καὶ τὰ ἱερὰ σκεύη τοῖς εἰδώλοις ἀνέθεσαν καὶ ὠμότητι |159 a| κατὰ τῶν δορυαλώτων ἐχρήσαντο. Καὶ ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου. Οὐ γὰρ ἂν ἐνίκ ησας μὴ βουληθέντος ἐμοῦ. Προὔδωκα δὲ αὐτοὺς παιδεῦσαι βουλόμενος, οὐ παντελῶς ἀπολέσ αι . Σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος οὐθέν, τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα. Οὐδὲ τὸ γῆρας αἰδέσιμον ὤφθη σοι. Ἐντεῦθεν γὰρ αὐτῶν τὴν πολλὴν ἀπήνειαν ἔδειξεν. 7Καὶ εἶπα<ς>· Εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. Οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου οὐδὲ ἐμνή σθης τὰ ἔσχατά σου. Μεταβολήν φησι τῆς εὐημερίας οὐ προσεδόκησας, διὰ παντὸς σχήσειν τὸ κράτος ὑπέλαβες. 8Νῦν δὲ ἄκουε ταῦτα ἡ τρυφερά, ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἑτέρα, οὐ καθιῶ χήρα οὐδὲ γνώσομαι ὀρφανίαν. Ἀξίως αὐτῆς τὸν πολὺν ἐκωμῴδησε τῦφον· ἐτόπασε γὰρ μόνη τῆς οἰκουμένης κρατήσειν. 9Νῦν δὲ ἥξει ἐπὶ σὲ τὰ δύο ταῦτα ἐν ἡμέρᾳ μιᾷ χηρεία καὶ ἀτεκνία, ἥξει ἐξαίφνης ἐπὶ σέ. Χηρείαν καλεῖ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς βασιλείας τὴν στέρησιν, ἀτεκνίαν δὲ τῶν ὑπηκόων τὴν ἀλλοτρίωσιν· ἀμφότερα δὲ κατὰ ταὐτὸν ὑπέμεινεν. Στῆθι νῦν ἐν τῇ πολλῇ σου φαρμακείᾳ, ἐν τῇ ἰσχύι τῶν ἐπαοιδῶν σου σφόδρα, 10ἐν τῇ ἐλπίδι τῆς πορνείας σου σφόδρα. Σὺ γὰρ εἶπας· Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. Ἔνια τῶν ἀντιγράφων οὐ πορνείαν ἀλλὰ «πονηρίαν» ἔχει, οὕτω δὲ καὶ οἱ περὶ τὸν Ἀκύλαν ἡρμήνευσαν. Καὶ ἡ πορνεία δὲ τῆς πολλῆς αὐτῶν ἀκολασίας κατηγορεῖ. Τούτων δὲ τῶν ἐπαοιδῶν καὶ φαρμακῶν καὶ ὁ θεσπέσιος μέμνηται Δανιήλ. Γνῶθι δὲ ὅτι ἡ σύνεσις τούτων καὶ ἡ πονηρία σου ἔσται σοι εἰς αἰσχύνην. Καὶ εἶπας ἐν τῇ καρδίᾳ σου· Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἑτέρα. 11Καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια, καὶ οὐ μὴ γνῷς. Ἐξαίφνης φησὶ τὸν ὄλεθρον δέξῃ καὶ ἀπροσδοκ ήτοις περιπαρήσῃ κακοῖς. Βόθυνος καὶ ἐμπεσῇ εἰς αὐτόν, καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ οὐ δυνήσῃ καθαρὰ γενέσθαι. Ὁ δὲ Σύμμαχος καὶ ὁ Ἀκύλας τοῦτο οὕτως ἡρμήνευσαν· «Καὶ ἐπιπεσεῖται σοὶ συμφορὰ ἣ<ν> οὐ δυνήσῃ ἐξιλάσασθαι», τουτέστιν· Ἀφύκτοις σε περιβαλῶ κακοῖς, καὶ οὐ τεύξῃ συγγνώμης, πέρα γὰρ συγγνώμης ἐξήμαρτες. Καὶ ἥξει ἐπὶ σὲ ἐξάπινα ἀπώλεια καὶ οὐ γνώσῃ. Οὐ γὰρ ἤλπισε μετα βολὴν οὐδὲ προσεδέχετο τὴν τῶν πραγμάτων ἐναλλαγήν. 12Στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου καὶ ἐν τῇ πολλῇ φαρμακείᾳ σου ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνήσῃ ὠφεληθῆναι καὶ εἴ πως δυνήσῃ ἰσχῦσαι. Εἰρωνικῶς ταῦτα ὁ προφητικὸς αὐτῇ λέγει λόγος· Χρῆσαι τῇ συνήθει γοητείᾳ, χρῆσαι ταῖς ἐξ ἔθους ἐπῳδαῖς, εἰκός σε διαφυγεῖν τὰ περιστοιχίσαντά σε κακά. Εἶτα τὸ τούτων μάται ον ἐλέγχει · 13Κεκοπίακας ἐν ταῖς βουλαῖς σου. Στήτωσαν δὴ καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ οἱ ὁρῶντες τοὺς ἀστέρας, ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. Μετὰ τοὺς ἐπαοιδοὺς καὶ τοὺς γόητας τὴν τῶν γενεθλιαλόγων ἄνοιαν ἐξελέγχει. 14Ἰδοὺ πάντες ὡς φρύγανα ὑπὸ πυρὸς οὕτως κατακαυθήσονται, καὶ οἱ ἐξαπατῶντες καὶ οἱ ἐξαπατώμενοι. Καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός. Οἱ τοῖς ἄλλοις προλέγειν τὰ ἐσόμενα νεανιευόμενοι σφᾶς αὐτοὺς τῆς τῶν πολεμίων οὐκ ἐλευθερώσουσι φλογός. Ὅτι ἔχεις ἄνθρακας πυρὸς καθίσαι ἐπ' αὐτούς. Ἀντὶ τοῦ· Σὺ καθ' ἑαυτὴν ἐξῆψας τὴν φλόγα διὰ τῆς ἀσεβείας καὶ τῆς πολλῆς παρα νομίας σου . Εἶτα κατ' ἐρώτησιν· 15Οὗτοι ἔσονταί σοι βοήθεια; Οἵ φησιν ἑαυτοῖς ἐπικουρεῖν μὴ δυν άμενοι ἐ πῳδοὶ καὶ γενεθλια λόγοι καὶ γόητες σὲ τῶν ἐπερχομένων ἀπαλλάξουσι συμ φο ρῶν ; Ἐκοπίασας ἐν τῇ μεταβολῇ σου ἐκ νεότητος. Μεταβολὴν τὴν ἐμπορίαν καλεῖ· οὕτω δὲ καὶ οἱ Τρεῖς ἡρμήνευσαν· «Ἐκοπίασαν οἱ ἔμποροί σου ἀπὸ νεότητος.» Ἐμπόρ ους δὲ το ὺς αὐτοὺς προσηγόρευσεν. Ἄνωθέν φησι καὶ ἐξ ἀρχῆς ἕως αὐτῆς τῆς πανωλεθρίας το ύτοις |159 b| διε τέλεσας κεχρημένη συμβούλοις καὶ ἐπικούροις. Ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία. Εἰσὶ μέν φησι καὶ ἐν τοῖς ἄλλοις ἔθνεσι παράνομον αἱρούμενοι νόμον, ἀλλ' οὐ ταύτην ἅπαντες τὴν πολιτείαν ἀσπάζονται· σὺ δὲ νόμῳ τὴν παρανομίαν μετῄεις καὶ τὴν ἐσχάτην ἀσέβειαν ἐπετήδευες ὡς ἄκραν εὐσέβειαν· οὗ δὴ χάριν σωτηρίας οὐκ ἀπολαύσῃ. Ἡμεῖς δὲ ἐκ τῆς τούτων τιμωρίας καρπωσώμεθα σωτη ρίαν, καὶ γένοιτο ἡμῖν ὁ τούτων ὄλεθρος πρόξενος ὠφελείας. Ὁρῶντες γὰρ οἷ<α> τῆς κακίας τἀπίχειρα καὶ τὴν ἐναντίαν ὁδεύοντες πολιτείαν καὶ καθάπερ ἄγκυραν ἱερὰν τὴν εἰς τὸν <τῶν> ὅλων θεὸν ἐλπίδα ἔχοντες, καὶ κατὰ τὸν παρόντα βίον τῆς αὐτοῦ κηδεμονίας τευξόμεθα καὶ ἐν τῷ μέλλοντι τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν χάριτι τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 15 ΤΟΜΟΣ ΙΕ΄ 481 Ἀκούσατε ταῦτα οἶκος Ἰακὼβ καὶ οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ καὶ ἐξ ὕδατος Ἰούδα ἐξελθόντες. Τὴν κατὰ σάρκα συγγένειαν αὐτοῖς τοῦ Ἰακὼβ καὶ τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰούδα διὰ τῶν εἰρημένων προσεμαρτύρησεν· κεκλῆσθαι γὰρ αὐ τοὺς εἶπεν ἐπὶ τῷ ὀνόματι Ἰσραήλ, οὐ τὴν ἐκείνου πίστιν ἔχειν· καὶ οἶκον Ἰακώβ, οὐκ εὐσεβείας κλη ρονόμον· καὶ ἐξ ὕδατος, ἀλλ' οὐκ ἐκ φρονήματος Ἰούδα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξεληλυθέναι· ὕδωρ δὲ τὸ σπέρμα ἐκ άλεσεν. Οἱ ὀμνύοντες τῷ ὀνόματι κυρίου θεοῦ Ἰσραὴλ καὶ ἐν τῷ θεῷ μιμνησκόμενοι οὐ μετὰ ἀληθείας οὐδὲ μετὰ δικαιοσύνης 2καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας καὶ ἐπὶ τῷ θεῷ τοῦ Ἰσραὴλ ἀντιστηριζόμενοι, κύριος Σαβαὼθ ὄνομα αὐτῷ. Τούτοις ἔοικε τὰ ὑπὸ τοῦ ἀποστόλου περί τινων εἰρημένα· «Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.» Καὶ γὰρ Ἰουδαῖοι μέγα μὲν ἐφρόνουν ἐπὶ τῇ Ἱερουσαλήμ, ἐμεγαλαυχοῦντο δὲ καὶ ὡς ὑπὸ τοῦ θεοῦ τῶν ὅλ ων ἐκλεγέντες καὶ τὸ θεῖον ὄνομα διηνεκῶς ἐν τῷ στόματι περιέφερον οὐκ ἀληθείᾳ τοῦτο γε ραί ροντες ἀλλὰ τῷ ψεύδει καθυβρίζοντες. Οὗ δὴ χάριν δεικνὺς ὁ προφητικὸς λόγος σεπτὸν τοῦ το καὶ φοβερὸν τοὔνομα ἐπήγαγεν· Κύριος Σαβαὼθ ὄνομα αὐτῷ. Οὐ γὰρ τῶν ἀνθρώπων μόνον ἀλλὰ καὶ τῶν ἐπουρανίων δεσπόζει δυνάμεων. 3Τὰ πρότερα ἔκτοτε ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε καὶ ἀκουστόν σοι ἐγένετο. Τὰς ἐπενεχθείσας σοι συμφορὰς προηγόρευσα πρότερον, ἵνα σε φοβήσας ταῖς ἀπειλαῖς εἰς μεταμέλειαν διεγείρω, καὶ μὴ λάβῃς πεῖραν τῶν ἀλγεινῶν· ἐπειδὴ δὲ τοῖς λόγοις ἠπίστησας, δείξω τοῖς ἔργοις τὴν τῶν λόγων ἀλήθειαν. Τοῦτο γὰρ ἐπ ήγαγεν· Ἐξάπινα ἐποίησα καὶ ἐπῆλθον. Ἃς γὰρ οὐ προσεδόκησας συμφορὰς ἐθεάσω. 4Γινώσκω ὅτι σκληρὸς εἶ καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου καὶ τὸ μέτωπόν σου χαλκοῦν. Τοῦτο δεδιδαγμένος καὶ ὁ θεῖος Στέφανος ἔλεγε τοῖς Ἰουδαίοις· «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς»· καὶ διὰ τοῦ προφήτου Ἱερεμίου πάλιν ὁ τῶν ὅλων θεὸς ἔφη πρὸς αὐτούς· «Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας.» Ταύτην τὴν ἀναίδειαν καὶ τὸ χαλκοῦν αἰνί ττεται μέτωπον· ὥσπερ γὰρ τὸ τοῦ χαλκοῦ ἀνδριάντος οὐκ αἰσχύνεται μέτωπον, οὕτως οὐδὲ ὑ μεῖς ἐρυθριᾶτε παρανομοῦντες, οὔτε ἐλεγχόμενοι οὔτε κολαζόμενοι. 5Καὶ ἀνήγγειλά σοι παλαιὰ πρὶν ἐλθεῖν ἐπὶ σέ, ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μοι ἐποίησε καὶ ἵνα μὴ εἴπῃς ὅτι τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. Πάντα σοι προηγόρευσα, καὶ |160 a| τὴν αἰχμαλωσίαν καὶ τὴν ἐλευθερίαν, ἵνα μὴ τὰς τούτων αἰτίας ἀναθῇς τοῖς εἰδώλοις, ἀλλὰ γνῷς ὡς ἑκάτερα ἐγὼ δέδρακα, τὸ μὲν διὰ τὴν σὴν παρανομίαν, τὸ δὲ διὰ τὴν ἐμὴν φιλανθρω πίαν. 6Ἠκούσατε ταῦτα καὶ ὑμεῖς οὐκ ἔγνωτε· ἀλλὰ καὶ ἀκουστὰ ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν ἃ μέλλει γίνεσθαι, καὶ οὐκ ἔγνως αὐτά· 7καὶ νῦν γίνεται καὶ οὐ πάλαι καὶ οὐ προτέραις ἡμέραις, καὶ οὐκ ἤκουσας αὐτά. Διὰ πάντων τὸ ἀσύνετον αὐτῶν καὶ ἀνόητον καὶ τῆς γνώμης τὸ ῥᾴθυμον ἔδειξεν. Μὴ εἴπῃς· Ναί, γινώσκω αὐτά. 8Οὔτε ἤκουσα<ς> οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρχῆς ἤνοιξά σου τὰ ὦτα. Σαφέ στερον διὰ τούτων τὸ ἀπειθὲς αὐτῶν ἔδειξεν· ἑκόντες γὰρ ἔβυον τὰ ὦτα οὐδὲ ἀκούειν τῶν θείων λόγων βουλόμενοι. Ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις καὶ ἄνομος ἔτι ἐκ κοιλίας κληθήσῃ. Ἐμὲ δὲ οὐκ ἔλαθεν ὁ παράνομός σου σκοπός· προῄδειν γάρ σου τὴν ἀχάριστον γνώμην καὶ ὅτι εὐθὺς τῆς Αἰγυπτίων δουλείας ἀπαλλαγεὶς τῶν μὲν εὐεργεσιῶν ἐπιλήσῃ, δυσσεβείᾳ δὲ προσέξεις. Κοιλίαν γὰρ τὴν Αἴγυπτον καλεῖ καὶ τόκον τὴν ἐκεῖθεν ἔξοδον. Ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς εὐεργετῶν ὑμᾶς διετέλουν, ἐπεὶ λαὸς ἐμὸς ὀνομάζεσθε. Τοῦτο γὰρ τὰ ἑξῆς δηλοῖ· 9Ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν θυμόν μου καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σέ, ἵνα μὴ ἐξολοθρεύσω σε. Θυμὸν δὲ ἐκάλεσε τὴν αἰχμαλωσίαν, ἔνδοξα δὲ τὴν παράδοξον ἐλευθερίαν. 10Ἰδοὺ πέπρακά σε οὐχ εἵνεκεν ἀργυρίου, ἐξειλόμην δέ σε ἐκ καμίνου πτωχείας. Οὐ χρημάτων δεόμενος ἀπεδόμην σε Βαβυλωνίοις ἀλλὰ δίκας σε τῆς παρανομίας πραττό μενος, ἀλλ' ὅμως πάλιν σοι τὴν ἐλευθερίαν δωρήσομαι. Κάμινον γὰρ πτωχείας τὴν δουλείαν ἐκάλεσεν· καθάπερ γὰρ ἐν καμίνῳ τὸ μὲν πῦρ ἐστι κεκ ρυμ μένον, ὁ δὲ καπνὸς ἄνωθεν φαίνεται μόνος, οὕτως οἱ δορυάλωτοι θρηνεῖν μὲν προφανῶς οὐ τολ μῶσιν, ἔνδοθεν δὲ <τῇ> τῆς ἀθυμίας φλογὶ πυρπολούμενοι οἷόν τινα καπνὸν τὸν στεναγμ ὸν ἀνα πέμπουσιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

11Ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. Ἐπειδὴ γὰρ νομίζουσιν οἱ πολέμιοι μὴ μόνον ὑμῶν ἀλλὰ καὶ ἐμοῦ περιγενέσθαι καὶ διὰ τὴν ἐμὴν ἀσθένειαν κεκρατηκέναι ὑμῶν, τῆς πικρᾶς ὑμᾶς ἐκείνης ἐλευθερώσω δουλείας, ἵνα καὶ οἱ ἀγνοοῦντές με τὴν ἐμὴν καταμάθωσι δύναμιν. 12Ἄκουέ μου Ἰακὼβ καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ· Ἐγωείμι πρῶτος καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. Εἰ πὼν γάρ · Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, εἰκότως ταῦτα ἐπήγαγε διδάσκων ὡς αὐτὸς καὶ τιμωρεῖται καὶ σῴζει. Αὐτὸς τὸν Ἀβραὰμ ἐκ γῆς Χαλδαίων ἐξήγαγεν, αὐτὸς αὐτοὺς τοῖς Βαβυλωνίοις παρέδωκεν, αὐτὸς τῆς ἐκείνων δυναστείας ἀπήλλαξεν, αὐτὸς δώ σει καὶ τὴν καινὴν διαθήκην. 13Καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. Καλέσω αὐτοὺς ἐγώ, καὶ στήσονται ἅμα 14καὶ συναχθήσονται πάντες καὶ ἀκούσονται, τίς αὐτοῖς ἀνήγ γειλε ταῦτα. Καὶ δημιουργός εἰμι πάντων καὶ δεσπότης καὶ μάλα μοι ῥᾴδιον καὶ τὴν ἄψυχον καλέσαι καὶ παραστῆσαί μοι κτίσιν. Κύριος ἀγαπῶν σε ἐποίησε τὸ θέλημα αὐτοῦ ἐπὶ Βαβυλῶνα τοῦ ἆραι σπέρμα Χαλδαίων. Διὰ τὴν περὶ σέ φησι φιλοστοργίαν πανωλεθρίαν ἐποίσω Βαβυλωνίοις καὶ πρόρριζον αὐτῶν ἀνασπάσω τὸ κράτος. 15Ἐγὼ ἐλάλησα καὶ ἐγὼ ἐκάλεσα, ἤγαγον αὐτὸν καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. Περὶ τοῦ Κύρου ταῦτα λέγει· οὗτος γὰρ καὶ τὴν Βαβυλωνίων δυναστείαν κατέλυσε καὶ τοὺς Ἰουδαίους δουλείας ἀπήλλαξεν. 16Προσαγάγετε πρός με καὶ ἀκούετε ταῦτα· Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν |160 b| τόπῳ γῆς σκοτεινῷ· ἡνίκα ἐγίνετο, ἐκεῖ ἤμην. Ἐπειδὴ ταῖς σκυθρωπαῖς προρρή σεσιν ἠπιστήσατε, ταῖς γοῦν θυμήρεσι προφητείαις πιστεύ σατε. Οὐ γὰρ τοῖς εἰδώλοις παραπλησίως ἐν σκοτεινοῖς τισι καὶ ἀδύτοις τόποις τὰ ψευδῆ προθεσπίζω ἀλλ' οὕτως αὐτὰ καὶ πρὸ τῆς ἐκβάσεως οἶδα σαφῶς ὡς αὐτοῖς παρὼν τοῖς πράγμασι καὶ ἕκαστον θεωρῶν. Καὶ νῦν κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. Ὁ προφήτης τοῦτο ἔφη. Οὐκ ἀπ' ἐμαυτοῦ φησι φθέγγομαι ἀλλ' ὑπὸ τοῦ θεοῦ τῶν ὅλων καὶ τοῦ παναγίου πνεύματος ἐκπεμφθείς. Σαφῶς δὲ ἡμῖν ἐνταῦθα ἕτερον ἔδειξε παρὰ τὸ τοῦ θεοῦ πρόσωπον, τὸ τοῦ πνεύματος πρόσωπον, εἰς ἔλεγχον καὶ τῶν Ἰουδαίων καὶ τῶν τὰ Σαβελλίου νοσούντων. Ἔφη γάρ· Κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ. Ἐπειδὴ γὰρ πολλάκις περὶ τῆς μιᾶς διελέχθη θεότητος νῦν μὲν λέγων· «Ἐγώ εἰμι πρῶτος καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα», νῦν δέ· «Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται», καὶ τὰς ἰδιότητας τῶν ὑποστάσεων ἀναγκαίως διδάσκει ποτὲ μὲν υἱοῦ καὶ πατρὸς ποτὲ δὲ πατρὸς καὶ πνεύματος ἁγίου. Καὶ περὶ μὲν υἱοῦ καὶ πατρὸς ἔφη· «Ὅτι ἐν σοὶ ὁ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ», περὶ δὲ τοῦ πατρὸς καὶ πνεύματος· «Κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ.» 17Οὕτως λέγει κύριος ὁ ῥυσάμενός σε ὁ ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι κύριος ὁ θεός σου, δέδειχά σοι εἰς ὠφέλειαν τοῦ εὑρεῖν σε τὴν ὁδόν μου, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. Οὐκ εἴασά σε πλανᾶσθαι, ἀλλὰ τὴν εὐθεῖάν σοι πορείαν ὑπ έδειξα. Δηλοῖ δὲ διὰ ταύτης τὸν νόμον. Καὶ σαφέστερον τοῦτο διὰ τῶν ἐπιφερομένων διδάσκει· 18Καὶ εἰ ἤκουσας τῶν ἐντο λῶν μου, ἐγένετο ἂν ὡς ποταμὸς ἡ εἰρήνη σου καὶ ἡ δικαι οσύνη σου ὡς κύματα θαλάσσης. Εἰ κατὰ τοὺς ἐμοὺς ἐπολιτεύσω νόμους, οὐκ ἂν ἐγεύσω πολεμικῶν συμφορῶν ἀλλ' εἰ ρήνη ς ἀπήλαυες ἀενάου ποταμοῦ ῥεύματα μιμου μένης καὶ μηδέποτε διακοπτομένης. Ἐν εἰρ ήνῃ δὲ βιοτεύουσα καὶ τοῖς ἐμοῖς ἑπομένη προστάγμασι τῆς δικαιοσύνης ἂν ἐκτήσω τὸν πλοῦ τον πλημμυροῦντα καὶ τοῖς θαλαττίοις παραβαλλόμενον κύμασιν. Ἐπειδὴ δὲ τούτοις προσέχειν οὐκ ἤ θελον Ἰουδαῖοι, σαρκικῷ δὲ φρονήματι προστετηκότες καὶ τὴν πολυγονίαν εὐδαιμο νίαν ἐ νόμιζον, καὶ ταῦτα εἰκότως ὁ προφητικὸς προστίθησι λόγος· 19Καὶ ἐγένετο ἂν ὡς ἡ ἄμμος τῆς θαλάσσης τὸ σπέρμα σου καὶ τὰ ἔκγονά σου ὡσεὶ χοῦς τῆς γῆς. Εἶτα τὴν ὑπερβολὴν τῆς ἀγαθ ότητος δείκνυσιν· Καὶ οὐδὲ νῦν <οὐ μὴ> ἐξολοθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐναντίον ἐμοῦ. Ἀλλ' ὅμως καὶ τῶν ἐμῶν καταφρονή σαντας νόμων φειδοῦς ἀξιώσω, καὶ πάλιν ἐμὸς χρηματίσεις λαός.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τοῦτο γὰρ δεδήλωκεν εἰρηκώς· Οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ· ὄνομα γὰρ αὐτοῦ τὸ λαὸς θεοῦ χρηματίζειν. Εἶτα προστακτικῶς· 20Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων. Ἔπειτα τὴν ἐντεῦθεν ἐσομένην προλέγει ε ὐθυ μίαν· Φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο, ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε ὅτι ἐρρύσατο κύριος τὸν δοῦλον αὐτοῦ Ἰακὼβ 21καὶ οὐκ εἴασεν αὐτὸν διψῆσαι δι' ἐρήμου ἀγαγὼν αὐτόν, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς, σχισθήσεται πέτρα καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου. Ἀναμιμνήσκει αὐτοὺς τῆς προτέρας ἐλευθερίας καὶ ὅπως τῶν Αἰγυπτίων ἀπαλλα γέντες καὶ τὴν ἔρημον διοδεύοντες ξένων καὶ παραδόξων ναμάτων ἀπήλαυσαν. Ἐν γὰρ τῇ ἀπὸ Βαβυλῶνος ἐπανόδῳ οὐδὲν τοιοῦτον γεγενημένον ἐμάθομεν. Καὶ οἱ Τρεῖς δὲ ὁμοίως Ἑρμηνευταὶ ὡς ἤδη γεγενημένον τοῦτο τεθείκασιν· «Ὕδωρ» γάρ φασιν « ἐκ πέτρ ας ὠχέτευσας αὐτοῖς, καὶ ἔρρηξε πέτραν στερεάν, καὶ ἔρρευσεν ὕδατα.» Καὶ κατὰ τοὺς Ἑβδομήκοντα δὲ τὴν προφητικὴν ὁ λόγος αἰνίττεται χάριν, ἧς κἀν τῇ Βαβυλῶνι ἀπήλαυον τὰ θεῖα πίνοντες ῥεῖθρα διὰ τῶν ἁγίων προφητῶν Δανιὴλ καὶ Ἰεζεκιήλ, καὶ ὅτι ὡς ἐν ἐρήμῳ τῇ τῶν Βαβυ λωνί ων δυσσεβείᾳ οἱόν τινα πέτραν ἔσχον τὴν προφητείαν ὀρέγουσαν αὐτοῖς τὸ σωτήριον |161 a| πόμα. Καὶ μέντοι καὶ μετὰ τὴν ἐπάνοδον Ἀγγαῖος καὶ Ζαχαρίας καὶ Μαλαχίας ταῦτα αὐτοῖς τὰ ῥ εῖθρα προσέφερον, καὶ ὁ θαυμάσιος δὲ Ζοροβάβελ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, ὁ ἱερεὺς ὁ μέγας, εὐσεβείᾳ κοσμούμενοι τὴν θείαν αὐτοῖς διδασκαλίαν καθάπερ ὕδωρ διψῶσι προὐτίθεσαν. 22Οὐκ ἔ<σ>τι χαίρειν τοῖς ἀσεβέσι, λέγει κύριος. Ταῦτα τοίνυν εἰδότες τὴν τῶν ἀσεβῶν φύγετε κοινωνίαν. Ἐνταῦθ α ταύτην συμπεράνας τὴν προφητείαν τοῖς ἔθνεσι διὰ τῶν ἑξῆς προαγορεύει τὴν σωτηρίαν· 491 Ἀκούσατε αἱ νῆσοι καὶ προσέχετε ἔθνη διὰ χρόνου πολλοῦ. Τό· διὰ χρόνου πολλοῦ, ὁ μὲν Σύμμαχος ἔφη· «Ἀκροᾶσθε ἔθνη μακρόθεν.» Καλεῖ δὲ ὁ λόγος καὶ νησιώτας καὶ ἠπειρώτας καὶ αὐτοὺς τὰς ἐσχατιὰς οἰκοῦντας εἰς τὴν τῶν θεσπιζομένων ἀκρόασιν. Καὶ κατὰ τοὺς Ἑβδομήκοντα δὲ οὕτω νοητέον τὸ διὰ χρόνου πολλοῦ· Τῷ Ἀβραὰμ ὑπέσχετο τῶν ὅλων ὁ κύριος ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη· ταύτην δὲ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ἔδωκε τὴν ἐπαγγελίαν, ταύτην καὶ ὁ Ἰακὼβ τῷ Ἰούδᾳ δέδωκεν εὐλογίαν· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν», πλεῖστος δὲ διεληλύθει ἐτῶν ἀριθμὸς ἐκ τῆς δοθείσης τῷ Ἀβραὰμ ἐπαγγελίας μέχρι τῆς κλήσεως τῶν ἐθνῶν· διὰ τοῦτό φησιν ὁ προφητικὸς λόγος· Προσέχετε ἔθνη διὰ χρόνου πολλοῦ. Εἶτα ἐπάγει· Στήσεται, λέγει κύριος, τουτέστι τῆς ἐπαγγελίας ὁ λόγος· ἀψευδὴς γὰρ ἡ θεία ὑπόσχεσις. Ἐκ γαστρὸς ἐκάλεσέ με καὶ ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου. Ταῦτα ἐκ προσώπου εἴρηται τοῦ δεσπότου Χριστοῦ, ὅς ἐστι σπέρμα τοῦ Ἀβραὰμ κατὰ σάρκα, δι' οὗ τὰ ἔθνη τὴν ἐπαγγελίαν ἀπέλαβεν. Καὶ διδάσκει ὡς πρὸ τοῦ τόκου τὴν προσηγορίαν ἐδέξατο· ὁ γὰρ ἅγιος Γαβριὴλ ταύτην ἐκόμισεν ἄνωθεν καὶ τῇ παρθένῳ ἔφη· «Τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ.» 2Καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Τοιοῦτος γὰρ ὁ διακριτικὸς λόγος ὁ ὑπ' αὐτοῦ πᾶσιν ἀνθρώποις προσε νεχθείς, οὕτω δὲ καὶ αὐτ ὸς ἔφη· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν ἀλλὰ μάχαιραν διχάσαι ἄνθρωπον ἀπὸ τοῦ πλησίον αὐτοῦ, υἱὸν ἀπὸ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα ἀπὸ τῆς μητρὸς αὐτῆς καὶ νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς.» Καὶ μὲν δὴ καὶ ὁ θεῖος ἀπόστολός φησιν· «Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.» Ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με. Ὁμοίως καὶ ταῦτα τροπικῶς κέκληκε, βέλος μὲν αὐτὸν τὸν τιτρώσκοντα τὰς ἐρώσας αὐτοῦ ψυχάς, ὧν ἑκάστη βοᾷ· «Τετρωμένη ἀγάπης ἐγώ»· φαρέτραν δὲ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς οἰκονομίας μυστήριον. 3Καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σὺ Ἰσραήλ<, καὶ ἐν σοὶ δοξασθήσομαι>. Κατὰ τὸ ἀνθρώπειον καὶ ταῦτα νοητέον· κατὰ γὰρ τὸ ἀνθρώπειον καὶ Ἰσραὴλ ὀνομάζεται καὶ Ἰακὼβ καὶ Δαυὶδ καὶ υἱὸς Δαυὶδ καὶ σπέρμα Ἀβραὰμ καὶ ὅσα τοιαῦτα. Δοῦλον δὲ αὐτὸν καλεῖ, ἐπειδὴ ἐκ δουλικῆς φύσεως ἡ τοῦ δούλου μορφὴ ἣν ὁ θεὸς λόγος ἀνέλα βεν . Δηλοῖ δὲ οὐ τὴν ἀξίαν ἀλλὰ τὴν φύσιν ὁ λόγος· οὐ γὰρ ἡ τοῦ δούλου μορφὴ δοῦλος. «Ἐχαρίσατο» γὰρ «αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα», τουτέστι τὸ εἶναι υἱός. Ὥσπερ γὰρ ὡς θεὸς ὁ δεσπότης Χριστὸς ἀεὶ ἦν υἱός, οὕ τω λαμβάνει ὡς ἄνθρωπος τὸ εἶναι υἱός. Οὐ γὰρ ἄλλος υἱὸς ἐκεῖνος καὶ ἄλλος οὗτος ἀλλ' ὁ αὐτός ἐστιν υἱὸς ὡς θεὸς καὶ λαμβάνει τὸ εἶναι υἱὸς ὡς ἄνθρωπος. 4Καὶ ἐγὼ εἶπον· Κενῶς ἐκοπίασα εἰς μάταιον καὶ εἰς οὐθὲν ἔδωκα τὴν ἰσχύν μου. Ἐκ προσώπου καὶ ταῦτα εἴρηται τοῦ δεσπότου Χριστοῦ τὴν Ἰουδαίων δυσχεραίνοντος ἀπιστίαν. Οὐδὲν γάρ φησι τῆς τοσαύτης ἀπώναντο ταπεινώ σεως, οὐδεμίαν γὰρ ὄνησιν ἐκ τῶν θαυμάτων ἐδέξαντο. Διὰ τοῦτο ἡ κρίσις μου παρὰ κυρίῳ, καὶ ὁ πόνος μου ἐνώπιον τοῦ |161 b| θεοῦ μου. Οἱ Τρεῖς Ἑρμηνευταὶ ἀντὶ τοῦ πόνου «τὸ ἔργον» τεθείκασιν. Δῆλον τοίνυν ὡς καὶ <οἱ> Ἑβδομήκοντα πόνον τὸ ἔργον, οὐ τὴν ὀδύνην ἐνόησαν. Λέγει δὲ ὅτι εἰ καὶ οὗτοι οὐδεμίαν ὠφέλειαν ἐδέξαντο, ἀλλ' οὖν ἐγὼ τὸ οἰκεῖον ἔργον πεπλήρωκα καὶ τοῦτο δῆλόν ἐστι τῷ θεῷ. Χρὴ μέντοι εἰδέναι ὅτι ὡς ἄνθρωπος ταῦτα λέγει· καὶ γὰρ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὡς ἄνθρωπος πλεῖστα ἐφθέγξατο ταπεινά. Τοιοῦτόν ἐστι τό· «Πορεύομαι πρὸς τὸν θεόν μου καὶ θεὸν ὑμῶν», καὶ· «Ἐντολὴν ἔλαβον τί εἴπω καὶ τί λαλήσω», καὶ· «Οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ», καὶ ὅσα τοιαῦτα. 5Καὶ νῦν οὕτως λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτόν, καὶ Ἰσραὴλ συναχθήσεται πρὸς αὐτόν. Τὸ δέ· Ἰσραὴλ συναχθήσεται πρὸς αὐτόν, ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν· «Καὶ Ἰσραὴλ οὐκ ἐπισυναχθήσεται», καὶ ὁ Σύμμαχος· «Καὶ Ἰσραὴλ μὴ προστεθῇ.» Ἐπὶ τούτῳ γάρ φησιν ἐγὼ διεπλάσθην ὥστε τὸν πλανώμενον Ἰσραὴλ διασῶσαι· οὗτος δὲ τῇ πονηρίᾳ προσμένει. Ταῦτα καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις φησίν· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰακώβ», καὶ πάλιν τοῖς ἀποστόλοις· «Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰακώβ.» Ταῦτα μὲν οὖν ἔλεγε τὴν οἰκείαν φιλανθρω πίαν δεικνύς, τὴν δὲ ἐκ είνων ἀπείθειαν ἐλέγχων. Καὶ ταῦτα ἐν ἑτέρῳ ἔφη χωρίῳ· «Ὑμεῖς οὔκ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν· τὰ γὰρ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει.» Πάλιν δὲ δοῦλον ἑαυτὸν ὀνομάζει τὴν φύσιν τὴν ληφθεῖσαν δεικνύς. Φύσεως οὖν ἐνταῦθα ἀλλ' οὐκ ἀξίας ἡ τοῦ δούλου προσηγορία ση μαντική. Εἰ γὰρ ἡμεῖς διὰ τὴν ἀπαρχὴν οὐ δοῦλοι, πολλῷ μᾶλλον ἐκείνη τῷ θεῷ συναφθεῖσα λόγ ῳ δεσπόζει πάντων ἀλλ' οὐ δουλεύει, δι' ἣν καὶ ἡμεῖς τῆς ἐλευθερίας τετυχήκαμεν. Καὶ δοξασθήσομαι ἐναντίον κυρίου, καὶ ὁ θεός μου ἔσται μου ἰσχύς. 6Καὶ εἶπέ μοι· Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς τοῦ Ἰακὼβ καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι. Καὶ ταῦτα πάλ ιν ἀνθρωπίνως νοητέον· οὐδὲ γὰρ ὁ θεὸς λόγος μεγίστην εἶχε τιμὴν τὸ κληθῆναι δοῦλος τοῦ θεοῦ καὶ πατρός· τὸ γὰρ παῖδά μου «δοῦλον» καὶ ἡ Ἑβραίων φωνὴ καὶ οἱ Τρεῖς λαλοῦσιν Ἑρμηνευταί. Εἶτα τὴν Ἰουδ αίων ἀπείθειαν καὶ τῶν ἐθνῶν τὴν σωτηρίαν προλέγων· Ἰδού φησι δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχά του τῆς γῆς. Γένος κατὰ σάρκα τοῦ κυρίου κοινὸν μὲν ἅπασα τῶν ἀνθρώπων ἡ φύσις, ἴδιον δὲ καὶ πελάζον ὁ Ἰσραήλ. Ἐπειδὴ τοίνυν πρὸς μὲν τὸν Ἰσραὴλ παρεγένετοτὰ δὲ ἔθνη διὰ τῶν ἀποστόλων ἐφώτισε, δέδωκά σέ φησι τούτοις διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν γεγενημένην ἐπαγγελίαν, φωτιῶ δὲ διὰ σοῦ τὰ ἔθνη καὶ πᾶσιν ἀνθρώ ποις παρέξω τὴν σωτηρίαν–τοῦτο γὰρ σημαίνει τὸ ἕως ἐσχάτου τῆς γῆς–καὶ πέρας ἐπιθήσω ταῖς πρὸς τοὺς πατέρας αὐτῶν γεγενημέναις μοι συνθήκαις· τὴν γὰρ διαθήκην «συνθήκην» οἱ Λοιποὶ ἡρμήνευσαν. 7Οὕτως λέγει κύριος ὁ ῥυσάμενός σε, ὁ θεὸς Ἰσραήλ. Ταῦτα πρὸς τοὺς τῆς σωτηρίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀξιωθέντας ὁ τῶν ὅλων λέγει θεός, οἳ ἐξ ἐθνῶν καὶ ἐξ Ἰουδαίων ἐκλεγέντες εἰς μίαν ἐκκλησίαν ἐτέλουν. Ἁγιάσατε τὸν φαυλίζοντα ἑαυτόν, ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ. Τὸν φαυλίζοντα «ἐξουθενημένον» οἱ Τρεῖς ἡρμήνευσαν· «Ἐν μορφῇ γὰρ θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.» Τοῦτον ὑμνεῖν καὶ ἁγιάζειν παρα κελεύεται τοῖς τῆς σωτηρίας τετυχηκόσιν· τὸ γὰρ ἁγιάσατε ἀντὶ τοῦ ὑμνήσατε τέθεικεν· οὕτω γὰρ καὶ προσευχόμε νοι λέγομεν· «Ἁγιασθήτω τὸ ὄνομά σου» ἀντὶ τοῦ δο ξασθήτω. Τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων. «Ὁ γὰρ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυ μένοις μωρία ἐστίν», καὶ πάλιν ὁ αὐτὸς ἀπόστολος· «Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν.» Τοῦτο κἀνταῦθα ἡ προφητεία προλέγει, ὅτι |162 a| καταγέλαστον ἐδόκει τοῖς ἀπιστοῦσι τὸ κήρυγμα καὶ οἱ ἀνθρώποις ἄρχουσι δου λεύον τες τὸν τῶν ἁπάντων κύριον δεσπότην ἔχειν οὐ κατεδέχοντο. Ἀλλ' ὅμως μετὰ τὴν ἀπιστίαν καὶ τὴν πίστιν προθεσπίζει· Βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες καὶ προσκυνήσουσιν αὐτῷ ἕνεκεν κυρίου, ὅτι πιστός ἐστιν ὁ ἅγιος τοῦ Ἰσραὴλ καὶ ἐξελέξατό σε. Ταῦτα τῆς παρ' ἡμῶν ἑρμηνείας οὐ δεῖται· ὁρῶμεν γὰρ καὶ βασιλέας καὶ ἄρχοντας τὸν δεσπότην προσκυνοῦντας Χριστόν, ὃς τοὺς πιστεύοντας εἰς αὐτὸν ἐξελέξατο. 8Οὕτως λέγει κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι καὶ ἔπλασά σε καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν καὶ κληρονομῆ σαι κληρονομίαν ἐρήμου 9λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε. Μεγίστης ἀνοίας τὸ ταῦτα προσαρμόζειν τῷ Ζοροβάβελ· Ἰουδαίους γὰρ ἐκεῖνος ἐκ Βαβυλῶνος ἐπανήγαγεν, οὐ τὰ ἔθνη τῆς πλάνης ἀπήλλαξεν οὐδὲ τὴν καινὴν τοῖς ἔθνεσι προσενήνοχε διαθήκην. Περὶ τοῦ δεσπότου τοίνυν καὶ ταῦτα προλέγει Χριστοῦ· αὐτὸς γὰρ τὴν εὐσεβείας ἔρημον οἰκουμένην φυτῶν πεπλήρωκε θείων, αὐτὸς γὰρ τὴν διεφθαρμένην κατέστησε γῆν, αὐτὸς τοὺς ταῖς ἁμαρτίαις πεπεδημέν ους τῶν δεσμῶν ἠλευθέρωσεν, αὐτὸς τοὺς ἐν σκότει καθημένους τῷ φωτὶ τῆς θεογνωσίας ἐφώτισεν. Πρὸς αὐτὸν τοίνυν κατὰ τὸν τῆς οἰκονομίας λόγον φησὶν ὁ πατήρ· καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Εὑρίσκομεν δὲ κἀν τοῖς θείοις εὐαγγελίοις τὸν δεσπότην Χριστὸν ἀνθρωπίνως προσευχόμενον καὶ νῦν μὲν λέγοντα· «Θεέ μου, θεέ μου, ἱνατί με ἐγκατέλιπες;», νῦν δέ· «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου», καί· «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ», καὶ ἀλλαχοῦ· «Δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε.» Ὅτι δὲ καὶ ἐπήκουσε, μαρτυρεῖ τῶν εὐα γγελίων ἡ ἱστορία· «Ἦλθε γάρ» φησι «φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα· Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.» Εἶτα διδάσκων ὁ κύριος τοὺς Ἰουδαίους, ὡς οἰκονομικῶς προσήνεγκε τὴν εὐχήν, ἔφη· «Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη ἐγένετο ἀλλὰ δι' ὑμᾶς, ἵνα ὑμεῖς πιστεύσητε.» Εἰ δὲ δι' αὐτοὺς ἡ φωνὴ ἐγέν ετο, δι' αὐτοὺς καὶ ἡ εὐχὴ ἐγένετο. Καὶ οὐ σμικρύνει ταῦτα τοῦ μονογενοῦς τὴν θεότητα· δῆλος γὰρ τῆς ο ἰκο νομίας ὁ λόγος. Ὁ μέντοι προφητικὸς λόγος προαγορεύσας τοῖς πεπεδη μένοις τὴν λύσιν καὶ τοῖς ἐν σκότει καθημένοις τοῦ φωτὸς τὴν ἀπόλαυσιν, καὶ τὴν εὐαγγελικὴν προθεσπίζει χάριν· Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. Οὐδὲ γάρ, καθάπερ τὴν παλαιὰν λατρείαν τῷ ἐν Ἱεροσολύμοις ναῷ περιέγραψεν, οὕτω καὶ τὴν καινὴν λειτουργίαν ἑνὶ περιορίζει χωρίῳ, ἀλλὰ καὶ ἐν πόλεσι καὶ ἐν ἀγροῖς καὶ ἐν ὄρεσι καὶ ἐν παντὶ τόπῳ τοῖς θείοις προβάτοις τὴν τροφιμωτάτην προσφέρει νομήν. 10Οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων οὐδὲ ὁ ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Τῷ μὲν Ἰσραὴλ ἠπ εί λησε τὸν τοῦ λόγου λιμὸν καὶ τὴν τῶν νεφελῶν ἀνυδρίαν· Ἐπάξω γάρ φησι «λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου», καὶ πάλιν· «Ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ <μὴ> βρέξαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπ' αὐτὸν ὑετόν.» Ἐνταῦθα δὲ τὴν ἀφθονίαν τοῖς εἰς αὐτὸν πεπιστευκόσι τῆς θείας τροφῆς καὶ τῆς θείας πόσεως ἐπαγγέλλεται καὶ τῶν σωτηρίων πηγῶν τὴν ἀέναον χορηγίαν. 11Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Κατὰ ταὐτὸν καὶ τὴν εὐκολίαν ἐσήμανε καὶ τὴν ἄδειαν τῆς νομῆς. 12Ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσι καὶ οὗτοι ἀπὸ βορρᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Τὰ τέσσαρα τῆς οἰκουμένης δεδήλωκε τμήματα· διὰ μὲν γὰρ τῶν Περσῶν τὸ ἑῷον, διὰ δὲ τῆς θαλάττης τὸ ἑσπέριον, εἶτα τὸ βόρειον ἐναργῶς καὶ αἰνιγμα τωδῶς τὸ νότιον· τοῦτο γὰρ διὰ τοῦ πόρρωθεν κέκληκεν. Ἄδηλα γὰρ ἡμῖν τὰ νοτιώτερα, ἐπειδὴ μᾶλλον τοῖς |162 b| βορειοτέ ροις πελάζομεν. 13Εὐφραίνεσθε οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτω τὰ ὄρη εὐφροσύνην καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέησε κύριος τὸν λαὸν αὐτοῦ καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. Ἐπιστῆσαι δεῖ ὡς ἐνταῦθα οὔτε τοῦ Ἰσραὴλ οὔτε τοῦ Ἰακὼβ ἐμνημόνευσεν ἀλλὰ λαὸν ὠνόμασεν οὓς πανταχόθεν συνήγαγε καὶ τῆς σωτηρίας ἠξίωσεν. Ἐκάλεσε δὲ πάλιν τὴν κτίσιν εἰς κοινωνίαν τῆς εὐφροσύνης, ἐπειδὴ καὶ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρειν ὁ κύριος ἔφη τῶν ἀγγέλων τοὺς δήμους. 14Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με κύριος, καὶ ὁ θεὸς ἐπελάθετό μου. Ταῦτα μὲν οὖν φησι μακροῖς ἔσται χρόνοις, καὶ ποιήσει ταῦτα ὁ ἐξ Ἰουδαίων κατὰ σάρκα βλαστήσας. Οἱ δὲ τοῦτον τὸν θησαυρὸν ἐν ἑαυτοῖς ἔτι κεκρυμμένον ἔχοντες ἐγκαταλελεῖφθαι νομίζουσι καὶ τῆς ἐμῆς ἐστερῆσθαι προνοίας. Σιὼν γὰρ τοὺς ἐν Σιὼν οἰκοῦντας καλεῖ. Εἶτα παραβολικῶς· 15Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Ἔδειξε διὰ τῆς συγκρίσεως, ἣν ἔχει φιλοστοργίαν. Διὰ μέντοι τῶν ἐπαγομένων τὴν ὑπερβολὴν διδάσκει· Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι, λέγει κύριος. Οὐ γὰρ μόνον μιμοῦμαι μητέρας ἀλλὰ καὶ νικῶ μητέρας τῇ εὐσπλαγχνίᾳ. 16Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διὰ παντός. Βαβυλώνιοι τὴν πόλιν ἑλόντες τὰ τείχη κατέλυσαν. Τούτων τὴν οἰκοδομίαν προλέγει καὶ διδάσκει ὡς αὐτὸς οἷόν τις ἀρχιτέκτων διαγράφει τὴν τῶν περιβόλων οἰκοδομίαν. Ἀντὶ γὰρ τοῦ ἐζωγράφησα ὁ μὲν Σύμμαχος «ἐχάραξα» τέθεικεν, ὁ δὲ Θεοδοτίων «διέγραψα», ὁ δὲ Ἀκύλας «ἠκρίβωσα». 17 Καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης. Ὁ Βαβυλωνίων κατέλυσε βασιλεύς, ὁ δὲ Περσῶν οἰκοδομηθῆναι προσέταξεν. Ἀλλὰ καὶ οὗτοι πάλαι τοῖς Ἀσσυρίοις ὑπακούοντες σὺν αὐτοῖς εἷλον τὴν πόλιν. Ὅθεν τοὺς αὐτοὺς καὶ καταλῦσαι καὶ οἰκοδομῆσαι ἔφη. Καὶ οἱ ἐρημώσαντές σε ταχὺ ἐκ σοῦ ἐξελεύσονται. Ἁμαρτημάτων τίνοντες δίκας ταῖς τῶν πολε μίων χερσὶ παρεδόθησαν. Αἴτιοι δὲ τῶν ἁμαρτημάτων οἱ δαίμονες οἷς ἐλάτρευον ἀποκαλοῦντες αὐτοὺς θεούς. Προλέγει τοίνυν καὶ τῆς τῶν εἰδώλων θεραπείας τὴν παῦλαν καὶ τὴν τῆς πλάνης ἀπαλλαγήν. 18Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε πάντας τοὺς υἱούς σου, ἰδοὺ συνήχθησαν καὶ ἦλθον πρὸς σέ. Ζῶ ἐγώ, λέγει κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσῃ ὡς στολὴν καὶ περιθήσῃ αὐτοὺς ὡς κόσμον νύμφης. Ὅρκῳ βεβαιοῖ τὴν πρόρρησιν ὁ δεσπότης πείθων τοὺς ἀπειθεῖς ὡς ἀκο λ ουθήσει τῷ λόγῳ τὸ ἔργον. Προεῖπε δὲ τὴν τῶν αἰχμαλώτων ἐπάνοδον πρὸς τὴν τῆς πόλεως δι αλεγόμενος ἐρημίαν καὶ διδάσκων ὅτι πάλιν τὸν οἰκεῖον ἀπολήψεται κόσμον· κοσμοῦσι δὲ πόλιν οἱ ἐνοικοῦντες. 19Ὅτι τὰ ἔρημά σου καὶ τὰ διεφθαρμένα καὶ τὰ πεπτωκότα νῦν στενοχωρήσει ἀπὸ τῶν οἰκούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ κατα πίνοντές σε. Τῶν μὲν γὰρ πολεμίων πόρ ρω γ ενήσῃ, τῶν δὲ οἰκητόρων ὑποδέξῃ τὸ πλῆθος ὡς τὴν νῦν ἔρημον φαινομένην πρὸς τοὺς ἐ νοικοῦντας ὀφθῆναι σμικράν. 20Ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου οὓς ἀπώλε σας· Στενός μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω. Προσωποποιίᾳ πάλιν ὁ προφητικὸς κέχρηται λόγος εἰς πλείονα σαφήνειαν τῶν λεγομένων. 21Καὶ ἐρεῖς τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι σὺν τούτοις; Ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, πάροικος καὶ ἐκκεκλεισμένη· τούτους δὲ τίς ἐξέθρεψέ μοι; Ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποῦ ἦσαν; Τὸ ἐκκεκλεισμένη «αἰχμάλωτος» ὁ Σύμμαχος ἡρμήν ευ σεν· εἰώθασι δὲ τοὺς αἰχμαλώτους καθείργειν καὶ φρουρεῖν. Χηρείαν δὲ καλεῖ τῆς βασιλείας τὴν στέρησιν, ἀτεκνίαν δὲ τοῦ ἄλλου πλήθους τὴν ἐρημίαν. 22Οὕτως |163 a| λέγει κύριος· Ἰδοὺ ἀρῶ εἰς τὰ ἔθνη τὴν χεῖρά μου καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσιν· 23καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου. Ταῦτα οὐδαμῶς ἁρμόττει τοῖς ἀπὸ Βαβυλῶνος ἐπανελθοῦσιν· οὐδὲ γὰρ βασιλεῖς ἐκείνων καὶ ἄρχοντες ἐγένοντο τιθηνοὶ καὶ τροφοί. Προστέθεικε τοίνυν ὁ προφητικὸς λόγος τοῖς ἤδη τεθεσπισμένοις τὰ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησιν γεγενημένα. Διὰ γὰρ τῶν ἱερῶν ἀποστόλων καὶ οἱ τὰς νήσους καὶ οἱ τὰς ἠπείρους οἰκοῦντες τὸ σωτήριον ἐδέξαντο κήρυγμα. Σύσσημον δὲ αὐτοῦ καλεῖ τοῦ σωτηρίου σταυροῦ τὸ σημεῖον· τοῦτο γὰρ πανταχοῦ κηρύξαντες οἱ θεῖοι ἀπόστολοι οὐ μόνο ν τοὺς ἐξ ἐθνῶν ἀλλὰ καὶ τοὺς ἐξ Ἰουδαίων πιστεύοντας τῷ δεσπότῃ προσέφερον. Καὶ πάντες μέχρι καὶ τήμερον εἰς τὴν Ἱερουσαλὴμ συντρέχουσι, τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως τοὺς τριποθήτους τόπους ἰδεῖν ἱμειρό μενοι. Ταύτης τοίνυν τῆς ἐκ πάσης γῆς καὶ θαλάττης συνειλεγμένης ἐκκλησίας ἐγένοντο βασιλεῖς τιθηνοὶ καὶ οἱ ἄρχοντες τροφοί, οἱ μὲν ἀπαρχὰς οἱ δὲ δεκάτας προσφέροντες. Αὐτοὶ δὲ οὗτοι οἱ βασιλεῖς καὶ σιτηρέσιον ἀπένειμαν τοῖς ἀφιερωμένοις τῷ τῶν ὅλων θεῷ. Καὶ τὰ ἑξῆς δὲ σαφέστερον ταῦτα διδάσκει· Ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί ςοι καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος, καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με. Ταῦτα καθ' ἑκάστην ἡμέραν ὁρῶμεν γιγνόμενα· ἐν γὰρ ἁπάσαις ταῖς ἐκκλησίαις τὰ μέτωπα τῷ ἐδάφει πελάζοντες καὶ τὰ χείλη τοῖς προθύροις προσφέ ροντες δηλοῦσιν, ἣν περὶ τὸν θεὸν ἔχουσι τιμήν . Διαφε ρόντως δὲ ἔστιν ἰδεῖν πληρουμένην τὴν προφητείαν ἐν τοῖς Ἱεροσολύμοις, ἔνθα καὶ τὸν χοῦν ὡ ς οὐ ράνιον ἁρπάζουσι δῶρον καὶ τοῦτον περιλιχμῶνται καὶ φάρμακον ψυχῆς ἡγοῦνται καὶ σώ ματος . Εἶτα διδάσκει πῶς τοῖς πεπιστευκόσι τῆς σωτηρίας μετέδωκε καὶ ὅπως αὐτοὺς τῆς τοῦ διαβόλου δ ου λείας ἀπαλλάξας τῆς ἐλευθερίας ἠξίωσεν· 24Μὴ λήψεταί τις παρὰ γίγαντος σκῦλα; Καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, εἰ σωθήσεται; Γίγαντα καλεῖ τὸν διάβολον ὡς τύραννον. Οὗτος ἡμᾶς δουλωσάμενος παν οπλίαν οἰκείαν εἰργάσατο· διὰ γὰρ τῶν ἡμετέρων ἡμῖν πολεμεῖ μελῶν. Ἀδίκως δὲ ἡμᾶς ᾐχμαλώτευσεν οὐ δεμίαν ἐγκαλῶν ἀδικίαν. 25Οὕτως λέγει κύριος· Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα· λαμβάνων δὲ παρ' ἰσχύοντος, εἰ σωθήσεται; Ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ καὶ ἐγὼ τοὺς υἱούς σου ῥύσομαι. Ὁ περι γενόμενός φησι τοῦ γίγαντος δύναται αὐτὸν σκυλεῦσαι καὶ τῆς πανοπλίας γυμνῶσαι. Οὐ παντὶ δὲ τοῦτο ῥᾴδιον δρᾶσαι· ἐγὼ δὲ μόνος αὐτὸν εὐπετῶς καταλύσω καὶ τοὺς ἀδίκως ὑπ' αὐτ οῦ κατεχομέν ους σώσ ω. Ταῦτα καὶ ἐν τοῖς θείοις εὐαγγελίοις ὁ κύριος ἔφη· «Ἐὰν μή τις εἰσέλθῃ εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ δήσῃ τὸν ἰσχυρόν, πῶς τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσει;» 26Καὶ φάγονται οἱ θλίβοντές σε τὰς σάρκας αὐτῶν καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν καὶ μεθυσθήσονται. Ἐκπεσόντες γὰρ τῆς προτέρας δυναστείας οἱ δαίμονες καὶ βλάψαι μηκέτι τοὺς ἀν θρώπους ὁμοίως δυνάμενοι σφᾶς αὐτοὺς κατεσθίουσιν ὡς ἐξ ἀνοίας ἐκπεσόντες τῆς τυ ραν νίδος . Τὸν γὰρ σωτῆρα τῷ σταυρῷ προσηλώσαντες τοῖς ὑπ' αὐτῶν κατασκευασθεῖσιν ἀνῃρέθ ησαν ὅ πλοις. Καὶ γνώσεται πᾶσα σὰρξ ὅτι ἐγώ εἰμι κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος σῆς Ἰακώβ. Τούτου δὲ γενομένου δήλη πᾶσιν ἀνθρώποις ἡ ἐμὴ γενήσεται πρό νοια, καὶ πάντες τὴν ἐμὴν δεσποτείαν μαθήσονται. Τὸ δέ· ἀντιλαμβανόμενος ἰσχύος σῆς Ἰακώβ, οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν· «Καὶ γνώσεται πᾶσα σὰρξ ὅτι ἐγὼ κύριος σῴζων σε καὶ ὁ λυ τρούμενός σε δυνάστης Ἰακώβ»· ὡσαύτως δὲ καὶ ὁ Θεοδοτίων καὶ ὁ Ἀκύλας. Οὐ τοίνυν πρὸς τοὺς ἐξ |163 b| Ἰακὼβ ταῦτ α λέγει, ἀλλὰ πρὸς τοὺς ἐξ ἀλλοφύλων συνειλεγμένους ἐθνῶν, οὓς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σκῦλα τοῦ διαβόλου γεγενημένους ἥρπασε καὶ τῆς σωτηρίας ἠξίωσεν. Γνώσονται τοίνυν φησὶν ἅπαντες ὅτι ἐγὼ ταῦτα εἰργασάμην ὁ δυνάστης τοῦ Ἰακώβ, ὁ ἐξ Αἰγύπτου τοῦ Ἰακὼβ τοὺς ἀπογόνους ἐξ αγαγών, ὁ τὴν Ἐρυθρὰν Θάλατταν διελών, ὁ τὰ μυρία θαύματα ἐργασάμενος. «Ἐγὼ» γάρ εἰμί φησι «θεὸς πρῶτος καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι.» Τοῦτον ἡμεῖς ὑμνήσωμεν· οὗτος γὰρ ἡμᾶς τῆς σωτηρίας ἠξίωσεν, οὗτος ἡμᾶς τῆς προτέρας ἠλευθέρωσε πλάνης, οὗτος ἡμῖν καὶ τὴν τῶν οὐραν ῶν ὑπέσχετο βασιλείαν, ἧς ἡμᾶς ἀπολαῦσαι γένοιτο αὐτοῦ χάριτι τοῦ σεσωκότος, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν. 16 ΤΟΜΟΣ Ιη΄ 501Οὕτως λέγει κύριος· Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ἐν ᾧ ἐξαπέστειλα αὐτήν; Τὴν τελευταίαν πολιορκίαν προλέγει καὶ τὴν ἐσχάτην τοῦ ναοῦ ἐρημίαν ἣν Ῥωμαίων αὐτοῖς ἐπιστρατευσάντων ὑπέμειναν. Καὶ παντελῶς τῆς θείας ἐγυμνώθησαν προμηθείας τὸν δεσπότην ἐσταυρω κότες. Κέχρηται δὲ πάλιν προσωποποιίᾳ καὶ ἑαυτὸν μὲν ἄνδρα καλεῖ, τὴν δὲ πόλιν γυναῖκα, αὐτοὺς δὲ υἱοὺς οὐκέτι αὐτοῦ ἀλλ' ἐκείνης· βιβλίον δὲ ἀποστασίου, ὃ καλεῖν εἰώθασιν οἱ πολλοὶ ῥεπούδιον, ὀνομάζει. Ἐρευνή σα τέ φησι καὶ μάθετε τὴν αἰτίαν τοῦ χωρισμοῦ. Ἢ τίνι ὑπόχρεως ὢν πέπρακα ὑμᾶς; Ἆρα χρέ ος ὀφείλων ἀπεδόμην ὑμᾶς, ὅπερ τινὲς ποιεῖν εἰώθασιν ἑτέρωθεν ἐκτῖσαι οὐ δ υνάμενοι; Ταῦτα κατ' ἐρώτησιν εἰρηκὼς διδάσκει αὐτὸς τὰς αἰτίας· Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. Διὰ τὴν ὑμετέραν ἀσέβειαν καὶ παρανομίαν καὶ ἡ ὑμετέρα μήτηρ, τουτέστιν ἡ πόλις καὶ ὁ νεώς, τὴν ἐρημίαν ὑπέμειναν, καὶ ὑμεῖς τῆς ἐμῆς γυμνωθέντες κηδεμονίας Ῥωμαίοις δουλεύετε. Δι δάσκει δὲ τῆς παρανομίας τὸ εἶδος· 2Διότι ἦλθον καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος. Ἤνεγκα πολλάκις ὑμᾶς εἰδώλοις πεπιστευκότας, μυρία ἕτερα παράνομα δεδρακότας· ἀλλὰ τὸ νῦν ὑφ' ὑμῶν τολμηθὲν οὐδεμίαν ἔχει συγγνώμην, ἀνήκεστον δέ ἐστι καὶ ἀνίατον. Οὐκέτι γὰρ διὰ τῶν προφητῶν εἰργασάμην ἀλλὰ καὶ δούλου μορφὴν ἀναλαβὼν συνεπολιτευσάμην ὑμῖν ὡς ἄνθρωπος καὶ πολλάκις ὑμᾶς καλέσας καὶ παρακαλέσας οὐκ ἔπεισα. Μαρτυρεῖ τούτοις καὶ τῶν θείων εὐαγγελίων ἡ ἱστορία· Ἰησοῦς γάρ φησιν ἔκραξε καὶ ἔλεγεν· «Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω», καὶ πάλιν· «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς», καὶ πολλὰ τοιαῦτα ἕτερα οἱ θεῖοι διδά σκουσιν ἡμᾶς εὐαγγελισταί. Οὕτω τοι γαροῦν ἡμᾶς ὁ προφητικὸς ἐδίδαξε λόγος ὡς τὴν ἐσχάτην αὐτοῖς πανω λεθρίαν ἡ κατὰ τοῦ δεσ πότου μανία προὐξένησεν. Εἶτα πάλιν κατ' ἐρώτησιν· Μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; Ὑπολαμβά νετέ μέ φησι δι' ἀσθένειαν ἡττηθῆναι ὑπὸ τῶν πολεμίων; Οὐκ ἔστιν οὐ δενὶ συνιδεῖν ὡς ῥᾴδιον ἦν μοι καὶ εὐπετὲς πάντων ὑμᾶς ἀποφῆναι κρείττους; Ἔπειτα αὐτοὺς τῶν ὑπ' αὐτοῦ γεγενημένων ἀναμιμ νῄσκει· Ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλατταν καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ καὶ ἀπολοῦνται ἐν δίψει. Ταῦτα δὲ ὁ Σύμμαχος ὡς ἤδη γεγενημένα τέθεικεν· «Ἰδοὺ ἐν τῇ ἐπιτιμήσει μου ἐξήρανα θάλατταν ἐποίησα ποταμοὺς ἔρημον, καὶ ἐσάπησαν οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ.» Ταῦτα δὲ πεποίηκεν ὁ τῶν ὅλων θεὸς τῆς Αἰγυπτίων αὐτοὺς ἀπαλλάξας δουλείας· τότε γὰρ καὶ τὴν Ἐρυθρὰν διεῖλε Θάλατταν καὶ τὸν Ἰορδάνην διέκοψε ποταμὸν καὶ τοὺς κατὰ τὸν πόρον εὑρεθέντας ἰχθύας νεκροὺς ἔδειξεν ὡς τῶν τροφίμων γυμνωθέντας ὑδάτων. |164 a| Εἰ δὲ καὶ ἐπὶ μέλλοντος χρόνου ταῦτα κατὰ τοὺς Ἑβδομήκοντα νοηθείη, οὐδὲν λυμανεῖται τῇ διανοίᾳ· διδάσκει γὰρ ἀπὸ τῶν μειζόνων ὅτι καὶ τὰ ἐλάττω ποιῆσαι δυνήσεται· ῥᾴδιον γάρ μοί φησι καὶ τὴν θάλατταν ξηρᾶναι καὶ τῶν ποταμῶν ἀφανίσαι τὰ ῥεύματα, πολλῷ δὲ τούτων ῥᾴδιον ἦν τὴν ἐπελ θοῦσαν ὑμῖν στρατιὰν καταλῦσαι. 3Ἐνδύσω τὸν οὐρανὸν σκότος καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. Τοῦτο καὶ πεποίηκε καὶ ποιήσει. Πεποίηκε μὲν ἡνίκα ἐσταυρώθη· «Ἀπὸ γὰρ ἕκτης ὥρας ἕως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνάτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν οἰκουμένην», ποιήσει δὲ τοῦτο πάλιν κατὰ τὸν τῆς συντελείας καιρόν· «Ὁ ἥλιος» γάρ φησι «σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς.» Οὕτω διὰ τούτων ὑποδείξας τὴν δύναμιν διδάσκει τὴν αἰτίαν δι' ἣν αὐτὸς οὐκ ἐπήμυνεν· 4Κύριος κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον, ἔθηκέ με πρωὶ νοεῖν, πρωὶ προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία 5κυρίου ἀνοίγει μου τὰ ὦτα. Ταῦτα ἀνθρω πίνως ὁ δεσπότης λέγει Χριστός. Πολλὰ δὲ τοιαῦτα καὶ ἐν τοῖς θείοις εὐαγγελίοις εὑρίσκομεν· «Ἰησοῦς» γάρ φησι «προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις.» Πρωὶ δὲ καλεῖ τῆς ἡλικίας τὸ νέον· τοῦτο δὲ καὶ ἐν τοῖς πρόσθεν ὁ προφήτης ἐδίδαξεν, τῆς γὰρ παρθένου προαγορεύσας τὸν τόκον ἐπήγαγεν· «Πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν», καὶ ὁ εὐαγγελιστὴς δὲ ὡσαύτως· «Τὸ παιδίον» φησὶν «ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτῷ.» Τὸ δέ· Ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ ὦτα, οὐ περὶ ἑαυτοῦ οἶμαι εἰρῆσθαι ἀλλὰ περὶ τῶν πεπιστευκότων αὐτῷ μαθητῶν· ὦτα γὰρ αὐτοῦ τ οὺς ἀκροατὰς ὀνομάζει, οἷς τοὺς θείους λόγους προσέφερε, πρὸς οὓς ἔλεγεν ὡς ἐκ τῶν ἱερῶν εὐαγγε λίων μανθάνομεν· «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.» Ἐγὼ δὲ οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω. Ἑαυτὸν γὰρ τοῖς ὡς αὐτὸν παραγενομένοις παρέδωκεν εἰρηκώς· «Ἐγώ εἰμι ὃν ζητεῖτε.» 6Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Ταῦτα πάντα διδάσκει τῶν θείων εὐαγγελίων ἡ ἱστορία. Ὁ μὲν γὰρ τοῦ ἀρχιερέως οἰκέτης ἐπὶ κόρρης αὐτὸν ἐπάταξεν, οἱ δὲ «ἐκολάφιζον αὐτὸν λέγοντες· Προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε; Οἱ δὲ ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ», ὁ δὲ Πιλᾶτος φραγελλώσας αὐτὸν παρέδωκε σταυρωθῆναι. Ταῦτα δὲ πάντα διὰ τῆς προφητείας προλέγει τὴν οἰκείαν διδάσκων μακροθυμίαν. 7Καὶ κύριος ἐγενήθη βοηθός μου. Διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσω πόν μου ὡς στερεὰν πέτραν καὶ ἔγνω<ν> ὅτι οὐ μὴ αἰσχυνθῶ, 8ὅτι ἐγγίζει ὁ δικαιώσας με. Καὶ ταῦτα ἀνθρω πίνως εἴρηκεν· ἀνθρωπίνης γὰρ ἀρετῆς φιλοσοφία καὶ καρτερία καὶ μέντοι καὶ ἡ ἐπὶ τὸν δίκαιον κριτὴν ἐλπίς. Τίς ὁ κρινόμενός μοι; Ἐγγισάτω μοι. 9Ἰδοὺ κύριος βοηθεῖ μοι· τίς κακώσει με; Τοῦτο κἀν τοῖς ἱεροῖς εὐαγγε λίοις ὁ κύριος ἔφη· «Ἐγὼ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. Ἐγὼ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων», καὶ ἐν ἑτέρῳ δὲ χωρίῳ πρὸς αὐτοὺς ἔφη· «Πολλὰ ἔργα ἔδειξα ὑμῖν παρὰ τοῦ πατρός μου· διὰ ποῖον αὐτῶν λιθάζετέ με;» Οὕτως ἔοικε τοῖς εὐαγγε λικοῖς λογίοις τὰ προφητι κὰ θεσ πίσματα. Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. Λίαν πρόσφορος ἡ παραβολή· ὁ γὰρ σὴς ἐκ τῶν ἱματίων τικτόμενος ἀναλίσκει ταῦτα, καὶ ἡ ἁμαρτία ἐξ ἡμῶν τικτομένη διαφθείρει τοὺς φύσαντας. 10Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; Ὑπακουσάτω τῇ φωνῇ τοῦ παιδὸς αὐτοῦ. Παῖδα ἑαυτὸν πάλιν ὡς ἄνθρωπον ὀνομάζει· ἐν μορφῇ γὰρ θεοῦ ὑπάρχων μορφὴν ἔλαβε δούλου. Οὕτω καὶ ἐν τοῖς θείοις εὐαγγελίοις ἐντολὴν εἰληφέναι λέγει τί εἴπῃ καὶ τί λαλήσῃ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς. Καὶ γὰρ ἀνατείλαντος τοῦ φωτὸς αὐτοὶ τὸ σκότος ἠγάπησαν. Πεποίθατε ἐπὶ τῷ ὀνόματι |164 b| κυρίου καὶ ἀντιστηρίζεσθε ἐπὶ τῷ θεῷ ὑμῶν. Εἰ τῷ ὄντι φησὶν εἰλικρινῆ καὶ γνησίαν ἔχετε πρὸς τὸν θεὸν τὴν ἐλ πίδα, αὐτὸς ἐρειδέτω καὶ στηριζέτω. 11Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατισχύετε φλόγα. Καὶ τὸ Ῥωμαϊκὸν πῦρ ὑμεῖς καθ' ἑαυτῶν ἐπισπᾶσθε καὶ τῆς γεέννης τὴν φλόγα κατισχῦσαι ὑμῶν παρα σκευάζετε. Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Ἐπειδὴ τὸ ἐμὸν οὐχ ὑπεδέξασθε φῶς, τὸ τῶν πολεμίων ὑποδέξασθε πῦρ, ᾧπερ ὑμεῖς κεχορηγήκατε τὴν τροφήν. Εἶ τα σαφέστερον· Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε. Καὶ τὴν αἰτίαν ἔδειξε τῶν κακῶν καὶ τὸ τούτων διηνεκές· μέχρι γὰρ θανάτου ταῖς προειρημέναις παραδοθήσεσθε συμφοραῖς. 511Ἀκούσατέ μου οἱ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διώκοντες τὸ δίκαιον καὶ ζητοῦντες τὸν κύριον. Τοὺς ἀπιστήσαντας ἐνταῦθα καταλιπὼν τοῖς πεπιστευκόσι προσφέρει τοὺς λόγους· τούτους γὰρ καὶ τοῦ θεοῦ καὶ τῆς δικαιοσύνης ἐραστὰς ὀνομάζει. Ψυχαγωγεῖ δὲ αὐτοὺς ὡς ὀλίγους ὄντας καὶ ἀποβλέπειν εἰς τοὺς προγό νους παρα κελ εύεται καὶ τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας ἀναμιμνῄσκει καὶ τῶν πολλῶν ἐξ ἐκείνων βλα στου σῶν μυριάδων. Τοῦτο δὲ κἀν τοῖς θείοις εὐαγγελίοις πεποίηκεν· «Μὴ φοβοῦ» γάρ φησι «τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν βασιλείαν.» Οὕτω κἀνταῦθα. Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἐξ ἧς ἐλατομήθητε καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ἐξ οὗ ὠρύχθητε. Στερεὰν πέτραν τοῦ Ἀβραὰμ τὸ γῆρας ὀνομάζει, τὴν δὲ Σάρραν οὐ λάκκον ἀλλὰ βόθυνον λάκκου διὰ τὸ ἄνυδρον· «Ἐξέ λιπε» γάρ φησι «Σάρρᾳ γίνεσθαι τὰ γυναικεῖα.» Οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν», παρ' ἐλπίδα μὲν διὰ τὸ γῆρας καὶ τὴν φύσιν τῆς Σ άρρας –στερίφη γὰρ ἦν–, ἐπ' ἐλπίδι δὲ τῆς θείας ἐπαγγελίας. Καὶ πάλιν· «Οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρω μένον ἑκατονταετής που ὑπάρχων καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐν<ε>δυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπαγγέλλεται δυνατός ἐστι καὶ ποιῆσαι.» Οὕτω κἀνταῦθα εἰρηκὼς ὁ προφητικὸς λόγος· Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἐξ ἧς ἐλατομήθητε καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ἐξ οὗ ὠρύχθητε, σαφέστερον τὸν λόγον διὰ τῶν ἐπαγομένων πεποίηκεν· 2Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν καὶ Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν καὶ ἐκάλεσα αὐτὸν καὶ ηὐλόγησα αὐτὸν καὶ ἠγάπησα αὐτὸν καὶ ἐπλή θυνα αὐτόν. Οὐδὲν ἐμποδὼν τῇ ἐμῇ δ υνάμει ἐγένετο· οὐ τὸ μόνον εἶναι τὸν κληθέντα, οὐ τὸ ἐπικείμενον γῆρας, οὐχ ἡ φυσικὴ τ ῆς Σάρρας ἀσθέν εια· ἀλλ' ηὐξήθη τὸ γένος ὡς ἠβουλήθην. Μηδὲ ὑμεῖς τοίνυν ἀπιστήσητε· εὐαρ ιθμή τους γὰρ ὑμᾶς ὄντας ἀριθμοῦ κρείττους ἐργά σομαι. Τοῦτο γὰρ ἐπήγαγεν· 3Καὶ σὲ νῦν παρακαλέσω Σιὼν καὶ παρακαλέσω πάντα τὰ ἔρημα αὐτῆς <καὶ θήσω πάντα τὰ ἔρημα αὐτῆς> ὡς τὸν παράδεισον τρυφῆς καὶ τὰ πρὸς δυσμαῖς αὐτῆς ὡς τὸν παράδεισον κυρίου. Οὐ τὰ οἰκού μενα ἀλλὰ τὰ ἔρημα, οὐδὲ τὰ πρὸς ἕω ἀλλὰ τὰ πρὸς ἑσπέρ αν κείμενα. Ἴσασι δὲ οἱ αὐτόπται τῆς πόλεως ὡς ὁ μὲν Ἰουδαίων νεὼς πρὸς ἕω ἔκειτο τῆς πόλεως, ὁ δὲ σταυρὸς καὶ ἡ ἀνάστασις πρὸς ἑσπέραν. Καὶ αὐτὰ δὲ ταῦτα πάλαι ἔξω τῶν περιβόλων ὄντα ἐτύγχανεν· καὶ μάρτυς ὁ θεῖος ἀπόστολος λέγων· «Διὸ καὶ Ἰησοῦς ἔξω τῆς πύλης ἔπαθεν. Ἐξερχώμεθα τοίνυν πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες.» Προλέγ ει τοίνυν· Ὅσαπερ ἦν τῆς πόλεως ἔρημα καὶ πρὸς ἑσπέραν διακείμενα, ταῦτα τῷ τοῦ θεοῦ παρ αδείσῳ προσόμοια ἔσται· ταῦτα γὰρ ἀληθῶς ἔχει τὸ ξύλον τῆς ζωῆς. Εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομο λόγησιν καὶ φωνὴν αἰνέσεως. Καὶ ταῦτα ὁρῶμεν κα τὰ ταύτην τὴν ἡμέραν πληρούμενα· ἀντὶ γὰρ τοῦ καπνοῦ καὶ τῆς κνίσης καὶ τῆς κατὰ νόμον |165 a| λατρείας, ἣν οὐδὲ πάλαι καταθύμιον ἔσχε τῶν ὅλων ὁ κύριος, νύκτωρ καὶ μεθ' ἡμέραν ὕμνους ἡ Σιὼν ἀναπέμπει τῷ τῶν ὅλων θεῷ· τῶν γὰρ ὑμνούντων πεπλήρωται. 4Ἀκούσατέ μου ἀκούσατέ μου λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίζεσθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. Καὶ ταῦτα τῷ νέῳ προθεσπίζει λαῷ καὶ δηλοῖ τῶν βασιλέων τὸ πλῆθος· πρὸς πολλοὺς γὰρ ἀλλ' οὐ πρὸς ἕνα διαλέγεται. Δηλοῖ δὲ καὶ τοῦ καινοῦ νόμου ἡ μνήμη, ὃν οὐκ Ἰουδαίοις ἀλλὰ τοῖς ἔθνεσιν ἐπαγγέλ λεται δώσειν καθάπερ ἡλιακὴν αὐτοῖς καταπέμπων ἀκτῖνα καὶ τῆς ἀγνοίας ἀφανίζων τὸ σκό τος . 5Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ ἐν τῷ βραχίονί μου ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομε νοῦσι καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν. Βραχίονα τὴν δύναμιν καλεῖ· μεγίστη γὰρ ἀπόδειξις αὕτη τῆς θείας δυνάμεως τὸ διὰ σταυροῦ καὶ ἀτιμίας καὶ θανάτου τῆς οἰκουμένης κρατῆσαι, τὸ ἁλιέας καὶ τελώνας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ σκυτοτόμους διδασκάλους ἐπιστῆσαι φιλοσόφοις καὶ ῥήτορσι, τὸ δι' ἀνδρῶν δυοκαίδεκα πᾶσαν γεωργῆσαι τὴν οἰκουμένην καὶ δι' ἀνθρώ πων οὕτως εὐαριθμήτων πᾶσαν γῆν καὶ θάλατταν ἐμπλῆσαι τοῦ θείου κηρύγματος. 6Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἐμβλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοι κοῦντες αὐτὴν ὥσπερ ταῦτα ἀπολοῦνται. Καὶ ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῶν ἄνω καὶ ἀπὸ τῶν κάτω τὴν ἐμὴν καταμάθετε δύναμιν. Μετὰ πολλῆς γὰρ εὐκολίας καὶ παρήγαγον ταῦτα καὶ πάλιν ἀφανιῶ. Τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, καὶ ἡ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ. Τοῦτο καὶ ἐν τοῖς ἱ εροῖς εὐαγγελίοις ὁ κύριος ἔφη· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.» 7Ἀκούετέ μου οἱ ἰδόντες κρίσιν, λαός μου <οὗ> ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν. Ἔτι τοῖς εἰς αὐτὸν πεπιστευ κόσι διαλέγεται παρεγγυῶν φυλάττειν ὃν ἐδέξαντο νόμον. Τούτου δὲ καὶ πρὸ βραχέος ἐμνήσθη· «Νόμος» γὰρ ἔφη «παρ' ἐμοῦ ἐξελεύσεται καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν.» Οὕτω κἀν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ κύριος ἔφη· «Θέσθε ὑμεῖς τοὺς λόγους τούτους εἰς τὴν διάνοιαν ὑμῶν.» Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων καὶ ἐν τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. 8Ὡς γὰρ ἱμάτιον βρωθήσονται ὑπὸ χρόνου καὶ ὡς ἔρια καταβρωθήσονται ὑπὸ σητός, ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν. Ταῦτα καὶ ἐν τοῖς θείοις εὐαγγελίοις ὁ κύριος ἔφη· «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι», καὶ πάλιν· «Μὴ οὖν φοβηθῆτε αὐτούς», καὶ ἑτέρωθι· «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.» Οὕτω κἀνταῦ θα ὁ προφητικὸς ἔδειξε λόγος τοὺς ὀνειδί ζοντας καὶ προπηλακίζοντας τῆς ἀληθείας τοὺς κ ήρυκας ἱματίοις καὶ ἐρίοις ἐοικότας ὑπὸ σητὸς δαπανωμένοις, τὴν δὲ τῶν ὀνειδιζομένων σωτηρί αν καὶ δικαιοσύνην ἄπειρον καὶ ἀνώλεθρον. Ἐνταῦθα συμπεράνας τὴν περὶ τοῦ νέου λαοῦ πρό ρρησιν εἰς ἑτέραν ὑπόθεσιν μεταφέρει τὸν λόγον καὶ προλέγει τῇ Ἱερουσαλὴμ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον . Ἰστέον μέντοι ὡς οὐχ ὁμοῦ ταῦτα κἀκεῖνα προηγόρευτο ἀλλὰ ποτὲ μὲν ἐκεῖνα ποτὲ δὲ ταῦτ α καὶ ὕ στερον συντ εθέ ντα μία βίβλος ἐγένετο. 9Ἐξεγείρου ἐξεγείρου Ἱερουσαλὴμ καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου. Ὡς πεπτωκυίᾳ καὶ κειμένῃ ταῦτα προσφέρει τὰ ῥήματα καὶ παρεγγυᾷ τὴν προτέραν ἀναλαβεῖν δύναμιν. Ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμερῶν, ὡς γενεὰ αἰῶνος. Ἀνακαινίσθητί φησι καὶ γενοῦ πάλιν οἵαπερ ἦσθα λαμπρὰ καὶ περίβλεπτος. Οὐ σὺ εἶ ἡ κατακόψασα ἀλαζονείαν, |165 b| ἡ κατα στρώσασα δράκοντα; Ἔνια τῶν ἀντιγράφων ἀντὶ τοῦ· ἡ κατακόψασα ἀλαζονείαν, «ἡ λατομήσασα πλάτος» ἔχει , οὕτω δὲ καὶ ὁ Θεοδοτίων ἐξέδωκεν, ὁ δὲ Ἀκύλας· «Μήτι οὐ σὺ εἶ αὐτὸς ὁ λατομήσας ὅρμημα;» Μετήνεγκε γὰρ ἀπὸ τῆς πόλεως πρὸς τὸν λαὸν τὸν λόγον. Ἀλαζονείαν δὲ καὶ ὅρμημα καὶ δράκοντα τὸν Φαραὼ καλεῖ. Καὶ τὸν Σενναχηρὶμ δὲ εἴ τις νοήσοι, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας· καὶ γὰρ ἐκεῖνος ἔλεγεν· «Οὐκ οἶδα τὸν κύριον καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ», καὶ οὗτος πάλιν μεμηνὼς ἐβόα· «Μή σε ἀπατάτω ὁ θεός σου <ἐφ' ᾧ σὺ πέποιθας> ἐπ' αὐτῷ», ὅτι ῥύσεται τὸν Ἰσραὴλ ἐκ χειρός μου. Ἀλλ' ὅμως κἀκεῖνον καὶ τοῦτον τιμωρίᾳ παρέδωκεν. Καὶ τὸ πλάτος δὲ τὴν ἀλαζονείαν σημαίνει· καὶ γὰρ ὁ αὐτὸς προφήτης περὶ τοῦ Ἀσσυρίου ἐκ προσώπου τοῦ θεοῦ ἔφη· «Ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν, τὸν βασιλέα τῶν Ἀσσυρίων.» 10Οὐ σὺ εἶ ἡ ἐρημώσασα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; Θάλασσαν τὸ τῶν Αἰγυπτίων πλῆθος καλεῖ. Εἰ δὲ καὶ τοὺς Ἀσσυρίους τις οὕτω ὠνομάσθαι βούλοιτο, οὐ πόρρω τῆς ἀληθείας ὁ λόγος. Ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης, ὁδὸν διαβάσεως ἐρρυσμένοις 11καὶ λελυτρωμένοις; Περὶ τῆς Ἐρυθρᾶς Θαλάττης ταῦτα ἔφη, ἧς διχῇ διαιρεθείσης ὁ Ἰσραὴλ τῆς σωτηρίας ἀπήλαυσεν. Ἀναμι μν ήσκει δὲ τούτων αὐτούς, θαρρῆσαι περὶ τῶν μελλόντων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρεγγυῶν. Τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς· Ὑπὸ γὰρ κυρίου ἀποστραφήσονται καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου· ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις, καὶ εὐφρο σύνη καταλήψεται αὐτούς, ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Καὶ τὴν ἐπάνοδον προεδήλωσε καὶ τὴν καταλη ψομένην τοὺς πιστεύοντας ἀγαλλίασιν καὶ εὐφρο σύν ην μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησιν. Ἀπὸ γὰρ τῶν εἰς αὐτὸν γνησίως πεπιστευκότων ἀ πέ δρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. Εἶτα ἀπὸ τῆς τοῦ προσώπου ποιότητος τὸ θάρσος ἐντίθησιν. 12Ἐγώ εἰμι ἐγώ εἰμι ὁ παρακαλῶν σε αὐτός, ὁ τὰ πρότερα ἐκεῖνα πεποιηκὼς τὰ παράδοξα, ὁ τὸν Φαραὼ σὺν τῇ στρατιᾷ παραδεδωκὼς τῇ θαλάττῃ, ὁ τὰς πολλὰς τῶν Ἀσσυρίων μυριάδας δι' ἑνὸς ἀγγέλου κατακοντίσας. Εἶτα τῆς εὐγενείας αὐτὴν ἀναμιμνῄσκει καὶ τὴν θείαν κηδεμονίαν εἰς νοῦν λαβεῖν παρεγγυᾷ καὶ ἀπορρῖψαι τὸ δέος· Γνῶθι τίς οὖσα ἐφοβήθης ὑπὸ ἀνθρώπου θνητοῦ καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν, 13καὶ ἐπελάθου τὸν θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν θεμελιώσαντα, καὶ ἐφοβοῦ ἀεὶ πάσας τὰς ἡμέρας τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε, ὃν τρόπον ἐβουλεύσατο τοῦ ἆραί σε. Σύ φησι συνήργησας τοῖς πολεμίοις καὶ τὸν ἐκείνων πεπλήρωκας σκοπόν, ἐκείνους μὲν δείσασα ἐμοῦ δὲ ἀμνημονήσασα ὃς τῶν ἁπάντων ὑπάρχω δημιουργός, παρ' οὗ μυρί α τῆς δυ νά μεως ἐνέχυρα δέδεξαι. Καὶ ἄνθρωπον μὲν θνητὸν καὶ φθαρτὸν ἐφοβήθης, εἰς δὲ τὴν οἰκεία ν οὐ κ ἀπ έ βλε ψας ἀξίαν οὐδὲ τὴν ἐμὴν ἐπικουρίαν ἐζήτησας. Καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; 14Ἐν γὰρ τῷ σῴζεσθαί σε οὐ στήσεται οὐδὲ χρονιεῖ. Σοὶ μὲν γὰρ ὀρέξω τὴν σωτηρίαν, ἐκεῖνον δὲ παραδώσω πανωλεθρίᾳ. Καὶ οὐ θανατώσει εἰς διαφθοράν. Οὐ γὰρ συγχωρήσω παντελεῖ σε τιμωρίᾳ παραδοθῆναι, ἀλλ' ἐγὼ «πατάξω κἀγὼ ἰάσομαι». Καὶ οὐ μὴ ὑστερήσῃ ὁ ἄρτος αὐτοῦ. 15ὅτι ἐγώ εἰμι κύριος ὁ θεός σου ὁ ταράσσων τὴν θάλασσαν καὶ ἠχῶν τὰ κύματα αὐτῆς, κύριος Σαβαὼθ ὄνομά μοι. Τό· οὐχ ὑστερήσει ὁ ἄρτος αὐτοῦ, παρὰ μὲν τοῖς Ἑβδομήκοντα μετὰ ἀστερίσκου πρόσκειται. Ση μαίνει δὲ ὁ λόγος ὅτι καὶ ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ τῆς θείας κηδεμονίας ἀπήλαυον, ἀνενδεῶς αὐτοῖς τοῦ θεοῦ τὰς χρείας πορίζοντος. Ἐγὼ γάρ φησι καὶ τὴν θάλατταν ταράττω καὶ τὰ κύματα διεγείρω. Ὁ δὲ ταῦ τα ποιῶν καὶ τῶν Βαβυλωνίων κυκήσω τὴν θάλατταν καὶ ἐπαναστήσω αὐτοῖς τῶν πολεμίων τὰ κύματα. 16Θήσω τοὺς λόγους μου εἰς τὸ στόμα σου. Ἔργοις σε διδάξω τὴν τῶν λόγων ἀλήθειαν. Καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα τὴν γῆν, καὶ ἐρῶ τῇ Σιών· λαός μου |166 a| εἶ σύ. Ἱκανὴ τῆς δημιουργίας ἡ μνήμη δεῖξαι τῆς ἐνεργείας τὴν δύναμιν, ἧς μεταδώσειν αὐτοῖς ἐπηγγείλατο· χεῖρα γὰρ τὴν ἐνέργειαν κέκληκεν. 17Ἐξεγείρου ἐξεγείρου ἐξανάστηθι Ἱερουσαλὴμ ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ· τὸ γὰρ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου ἐξέπιες καὶ ἐξεκένωσας, 18καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου ἀπὸ πάντων τῶν υἱῶν σου ὧν ὕψωσας. Ποτήριον τὴν τιμωρίαν καλεῖ· καρωτικὴ γὰρ καὶ αὐτὴ καθάπερ ἡ μέθη. Τοῦ ποτηρίου τούτου καὶ ὁ μακάριος μέμνηται Δαυίδ, φησὶ δὲ οὕτως· «Ὅτι ποτήριον ἐν χειρὶ κυρίου οἴνου ἀκράτου, πλῆρες κεράσματος· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο»–ποτὲ γὰρ τούτους κολάζει ποτὲ δὲ ἐκείνους–, «πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.» Μέμνηται ταῦτα καὶ ὁ θεῖος Ἱερεμίας· «Εἶπε» γάρ φησι «κύριος ὁ θεὸς πρός με· λάβε τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου καὶ ποτιεῖς αὐτὸ σύμπαντα τὰ ἔθνη, πρὸς ἃ ἐγὼ ἐξαποστελῶ σε πρὸς αὐτά, καὶ πίονται καὶ ἐξεμοῦνται καὶ ἐκμανήσονται.» Καὶ διδάσκων τί προσαγορεύει ποτή ριον, ἐπήγαγεν· «Ἀπὸ προσώπου τῆς μαχαίρας μου ἧς ἀποστελῶ ἀνὰ μέσον αὐτῶν.» Εἶτα ἐπάγει ὅτι «ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς κυρίου καὶ ἐπότισα πάντα τὰ ἔθνη, πρὸς ἃ ἀπέστειλέ με κύριος πρὸς αὐτά, τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα καὶ τοὺς βασιλεῖς αὐτῆς καὶ τοὺς ἄρχοντας αὐτῆς τοῦ θεῖναι αὐτὴν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον καὶ εἰς συριγμὸν καὶ εἰς κατάραν κατὰ τὴν ἡμέραν ταύτην» καὶ τὰ ἑξῆς. Κἀνταῦθα τοίνυν ὁ θεὸς διὰ τοῦ προφήτου φησίν· Τὸ ποτήριον τῆς πτώσεως ἐξέπιες καὶ ἐξεκένωσας, τουτέστι· Μεγίστην τιμωρίαν ὑπέμεινας καὶ οὐδὲν ὤνησάν σε οὐ βασιλ εῖς , οὐ στρατηγοί, οὐ τῆς στρατιᾶς τὸ πλῆθος, οἷς διετέλεις θαρροῦσα. 19Δύο ταῦτα ἀντικείμενά σοι· τίς σοι συλλυπηθήσεται; Δύο καλεῖ τῶν πολεμίων τὴν ἀνδρείαν καὶ τῶν ἐπικουρούντων τὴν ἐρημίαν· οἱ μὲν γὰρ γενναίως ἐπίασιν, οἱ δὲ ἀνάνδρως φεύγουσιν. Πτῶμα καὶ σύντριμμα. Πάλιν δύο εἰσήγαγε, καὶ τὸ πεσεῖν καὶ τὸ συντριβῆναι. Ἔστι γὰρ ὅτε καταπίπτει μέν τις, οὐ πλήττεται δέ. Λιμὸς καὶ μάχαιρα. Πάλιν διπλῆ τιμωρία· οἱ μὲν γὰρ ἔξωθεν ἐπολιόρκουν, τῶν δὲ πολεμίων χαλεπώτερος ἦν ὁ λιμὸς ἔνδοθεν αὐτοὺς διαφθείρων. Τίς σε παρακαλέσει; 20Οἱ υἱοί σου οἱ ἀπορούμενοι οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου ὡς σεῦτλον ἡμίεφθον; Ἔδειξεν αὐτῶν διὰ μὲν τοῦ ὕπνου τὸ ῥᾴθυμον διὰ δὲ τοῦ λαχάνου τὸ ἄνανδρον. Τῶν δὲ προειρημένων τὰ ἐπαγόμενα χαλεπώτ ερα · Οἱ πλήρε<ι>ς θυμοῦ κυρίου, ἐκλελυμένοι διὰ κυρίου τοῦ θεοῦ σου. Διὰ μὲν γὰρ τῆς παρανομίας τὴν ὀργὴν ἐπισπῶνται, διὰ δὲ τὴν ὀργὴν ἔρημοι τῆς ἐμῆς γινόμενοι προμηθείας πάσης ἰσχύος γυμνοῦνται. 21Διὰ τοῦτο ἄκουε τεταπεινωμένη καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου. Μείζων ἡ κατηγορία· χαλεπωτέρα γὰρ τῆς ἀσεβείας ἡ μέθη. 22Οὕτως λέγει κύριος ὁ θεός σου ὁ κρίνων τὸν λαὸν αὐτοῦ. Διὰ τῶν τῆς οἰκειότητος ὀνομάτων ψυχαγωγεῖ. Ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό. Τὴν τῶν Βαβυλωνίων καθαίρεσιν προδηλοῖ. Ἐπειδὴ γὰρ τετράκις αὐτοῖς ἐπῆλθεν ὁ Ναβουχοδονόσορ–πρῶτον μὲν ἐν τῷ τρίτῳ ἔτει Ἰωακὶμ τοῦ υἱοῦ Ἰωσίου, δεύτερον δὲ ἐν τῷ ἑνδεκάτῳ τοῦ αὐτοῦ βασιλέως, τρίτον δὲ ἐπὶ Ἰεχονίου τοῦ υἱοῦ Ἰωακίμ, τὸ δὲ τέταρτον ἐπὶ Σεδεκίου–, ἐπαγγέλλεται μηκέτι προσοίσειν αὐτοῖς διὰ τῶν Βαβυλω νίων τὸ τῆς τιμωρίας ποτήριον. Ὅτι γὰρ διὰ τούτων ἔπιον καὶ τὸ τελευταῖον διὰ Ῥωμαίων, ἡνίκα καὶ παντελῶς τῆς θείας ἐγυμνώθησαν κηδεμ ονίας , καὶ αἱ ἱστορίαι διδάσκουσι καὶ τὰ πράγματα μαρτυρεῖ. Οὐκοῦν τό· Οὐ προσθήσῃ πιεῖν αὐτό, διὰ τῶν Βαβ υλωνίων λέγει. Δηλοῖ δὲ καὶ τὰ ἐπαγόμενα· 23Καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν ταπεινωσάντων σε. Τούτῳ ἔοικε τὸ ὑπὸ τοῦ μακαρίου εἰρημένον Δαυίδ· «Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο.» Κἀνταῦθα· Οὐκέτι σὺ πίῃ ἀλλ' ἐκεῖνοι· σὺ μὲν γὰρ ἐπανήξεις, ἡ δὲ ἐκείνων καταλυθήσεται βασιλεία . |166 b| Οἳ εἶπον τῇ ψυχῇ σου· Κύψον ἵνα παρέλθωμεν· καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μετάφρενά σου ἔξω τοῖς παραπορευομένοις. Καὶ τὸν ἐκεί νων ἔδειξε τῦφον καὶ τὴν ταύτης ταλαιπωρίαν. Εἰ γὰρ τὴν ἐμήν φησιν ἐκάλεσας συμμαχίαν, κρείττων ἂν ἐγένου τῶν πολεμούντων· ἐπειδὴ δὲ τοῦτο δρᾶσαι οὐκ ἠβουλήθης, ἄχρις αὐτῆς ἐταπεινώθης τῆς γῆς. 521Ἐξεγείρου ἐξεγείρου Σιών, ἔνδυσαι τὴν ἰσχύν σου Σιών, καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου Ἱερουσαλὴμ ἡ πόλις ἡ ἁγία, οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος. Ἱερουσαλὴμ τὴν κάτω πόλιν καλεῖ, Σιὼν δὲ τὴν ἄνω· εἰς μίαν δὲ πόλιν ἐτέλουν ἀμφότεραι. Ἀμφο τέραις τοιγαροῦν τὴν ἀνανέωσιν ἐπαγγέλλεται καί, ἐπειδὴ τῶν οἰκητόρων αἰχμαλώτων γεγενημένων ἀδεῶς δι' αὐτῆς τὰ ἀλλόφυλα ἔθνη διῄει, τὴν τούτων ἀπαλλαγὴν ὑπισχ ν εῖται. 2Ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι καὶ κάθισον Ἱερουσαλήμ. Ἢ ὡς καταλελυμένῃ ταῦτα παρεγγυᾷ ἢ ὡς πενθούσῃ καὶ χοῦν καταπεπασμένῃ τὴν κεφαλήν. Ἔκλυσον τὸν δεσμὸν τοῦ τραχήλου σου ἡ αἰχμάλωτος θυγάτηρ Σιών. Τῶν δορυ αλώτων ἴδια τὰ δεσμά. Τὴν ἐλευθερίαν τοίνυν διὰ τῆς τῶν δεσμῶν ἀπαλλαγῆς προδεδήλωκεν. 3Ὅτι τάδε λέγει κύριος· Δωρεὰν ἐπράθητε καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. Ταῖς γὰρ ἁμ αρτίαις αὐτῶν ἐπρά θησαν, τῇ δὲ τοῦ θεοῦ φιλανθρωπίᾳ τῆς λύσεως ἔτυχον. 4Ὅτι οὕτως λέγει κύριος· Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρότερον παροικῆσαι ἐκεῖ, καὶ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀσσυρίους δὲ βίᾳ ἀνδραποδίσαντες αὐτὸν ἀπήγαγον. 5Καὶ νῦν τί ὧδέ ἐστε; Τῇ ἐρωτήσει σχηματίζει τὸν λόγον τοῦ γεγενημένου δεικνὺς τὸ παράδοξον· Οὐκ εἰς Αἴγυπτόν φησιν ἀπεληλύθειτε; Πῶς οὖν ἐπανήκατε; Τάδε λέγει κύριος· Ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν, θαυμάζετε καὶ ὀλολύζετε. Ἐκπλήττεσθέ φησιν ὀλοφυρό μενοι τὴν αἰχμαλωσίαν, ὅτι ἐμὸς λαὸς χρηματίζοντες ὑπεμείνατε ταῦτα. Ἀλλὰ μὴ θαυμάζετε, σκοπήσατε δὲ ὡς δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. Οὐχ οὕτως ἀνιαρὸν τὸ ὑμᾶς ἐνδίκως ταῦτα παθεῖν ὡς τὸ ἐμὲ δι' ὑμᾶς βλασφημεῖσθαι καὶ νομίζειν τὰ ἔθνη διὰ τὴν ἐμὴν ἀσθένειαν ὑμᾶς ταῦτα ὑπομεμενηκέναι. 6Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν πάρειμι. Ἡμέραν καλεῖ τὴν τῆς ἀνακλήσεως. Τεύξεσθέ φησι ταύτης οὐ διὰ τὴν ὑμετέραν ἀξίαν ἀλλὰ διὰ τὴν τῶν ἐθνῶν βλασφημίαν. Ἐκείνοις γὰρ δεῖξαι βουλόμενος τὴν ἐμὴν δύναμιν τῆς δουλείας ὑμᾶς ἐλευθερώσω. Αὐτίκα δὲ τοῦτο ποιήσω καὶ ἐπιθήσω τῷ λόγῳ τὸ πέρας. 7Ὡς ὡραῖοι ἐπὶ τῶν ὀρέων πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, εὐαγγελιζομένου ἀγαθά. Τοῦτο τυπικῶς μὲν ἐδέξατο πέρας, ἡνίκα τοῖς τὴν Ἱερουσαλὴμ κατοικοῦσιν ἀπηγγέλθη τῶν αἰχμαλώτων ἡ ἄφεσις· ἀληθῶς δὲ καὶ κυρίως ἁρμόττει τοῖς ἱεροῖς ἀποστόλοις ἡ προφητεία· τούτων γὰρ ὡραῖοι οἱ πόδες, οὓς αἱ δεσποτικαὶ χεῖρες ἀπένιψάν τε καὶ ἔρρωσαν ὥστε πᾶσαν τὴν οἰκουμένην διαδραμεῖν καὶ τῆς θείας εἰρήνης διαπορθμεῦσαι τὰ εὐαγγέλια καὶ μηνῦσαι τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν. Ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου λέγων τῇ Σιών· Βασι λεύσει σου ὁ θεός. Καὶ ταῦτα ὡσαύτως τοῖς ἱεροῖς μᾶλλον ἀποστόλοις ἁρμόττει· δι' ἐκείνων γὰρ ἡ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀνεκηρύχθη βασιλεία. Πρὸ γὰρ ἐκείνων οὐδὲ ἡ αἰσθητὴ Σιὼν ἠθέλησεν ὑπὸ τοῦ θεοῦ βασιλεύεσθαι. 8Φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται, ὅτι ὀφθαλμοῖς πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ κύριος τὴν Σιών. Οἱ αὐτοὶ καὶ κηρύττουσι καὶ φυλάττουσι καὶ προξενοῦσι τὴν εὐφροσύνην· αὐτόπται γὰρ ἐγένοντο τοῦ σωτῆρος, ἡνίκα ἐνανθρωπήσας τῇ Σιὼν ἐπεφάνη. Οὕτω δὲ καὶ ὁ μ ακάριος λέγει Δαυίδ· «Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ», καὶ πάλιν· «Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών.» 9Ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλήμ, ὅτι ἠλέησε κύριος τὸν λαὸν |167 a| αὐτοῦ καὶ ἐλυτρώσατο τὴν Ἱερουσαλήμ. Πάλιν τοῖς ἐρήμοις τῆς Ἱερουσαλὴμ τόπ οις ὑ πισχνεῖται εὐ φρο σύ νην, ἅπερ ἐν τοῖς πρόσθεν πρὸς ταῖς δυσμαῖς εἴρηκε διακεῖσθαι, ἃ καὶ τῷ παραδ είσῳ τοῦ θεοῦ παραβάλλεσθαι ἔφη. Πῶς δὲ ἔσται ταῦτα, διδάσκει· 10Ἀποκαλύψει κύριος τὸν βραχίονα αὐτοῦ τὸν ἅγιον ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψεται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν. Δείξει φησὶ τὴν ἑαυτοῦ δύναμιν ὁ τῶν ὅλων θεὸς πᾶσι τοῖς ἔθν εσιν–βρ αχίονα γὰρ τὴν δύναμιν ὀνομάζει–, καὶ γνώσονται ἅπαντες τῆς σωτηρίας τὸν χορηγόν. 11Ἀπόστητε ἀπόστητε ἐξέλθετε ἐκεῖθεν καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς. Τοῖς πεπιστευκόσιν ὁ προφητικὸς διακελεύεται λόγος χωρισθῆναι τῶν ἀπίστων. Ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη κυρίου. Σκεύη καλεῖ τοὺς τῆς ἐκλογῆς ἠξιωμένους. Οὕτω καὶ τὸν μακάριον ὠνόμασε Παῦλον· τῷ γὰρ Ἀνανίᾳ φησίν· «Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ.» Καὶ αὐτὸς δὲ ὁ θεῖος ἀπόστολος οὕτω φησίν· «Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τῶν τοιούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον». Κἀνταῦθα τοίνυν· Οἱ σκεύη ἑαυτούς φησι τοῦ κυρίου κατασκευάσαν τες ἐξέλθετε ταῦτα φέροντες. 12Ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε οὐδὲ φυγῇ πορεύ σεσθε· πορεύσεται γὰρ πρότερον ὑμῶν κύριος καὶ ὁ ἐπισυνάγων ὑμᾶς θεὸς Ἰσραήλ. Ἡνίκα ἔμελλον ἐπιστρατεύειν Ῥωμαῖοι τῇ Ἱερουσαλήμ, ἅπαντες οἱ τὸ κήρυγμα δεξάμενοι εἰς ἑτέρας ἐξεδήμησαν πόλεις· ἐμεμαθήκε σαν γὰρ τὰς καταληψομένας αὐτὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμφοράς. Καὶ αὐτὸς δὲ αὐτοῖς ὁ κύριος τοῦτο δρᾶσαι παρεκελεύσ ατο · «Ὅταν» γάρ φησιν «ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς», καὶ πάλιν· «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. Ταῦτα τοίνυν προεγνωκότες ἀνεχώρησαν καὶ τῶν τῆς πολιορκίας ἀπηλλάγησαν συμφορῶν, αὐτοῦ τοῦ σωτῆρος ἡγουμένου καὶ πρὸς τὰ ἔθνη ποδηγοῦντος καὶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν συνάγοντος. Ταῦτα τοίνυν καὶ ἡμεῖς μεμαθηκότες φύγ ωμεν τὴν ἀπιστίαν, τῇ δὲ πίστει προσμείνωμεν καὶ τὰς θείας φυλάξωμεν ἐντολὰς καὶ τὴν ἀπλανῆ πορείαν ὁδεύσωμεν ἡγεμόνα τῆς ὁδοῦ τὸν κύριον ἔχοντες Ἰησοῦν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ πνεύματ ι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 17 ΤΟΜΟΣ ΙΖ´ 13Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα. Τὸ δεσποτικὸν λοιπὸν ἀκριβέστερον προλέγει πάθος. Κατὰ τάξιν δὲ ἅπαντα ἔδειξε τὰ ἀνθρώπινα· τὴν σοφίαν, τὴν θαυματουργίαν, τὸ παρὰ πάντων σέβας. Τὸ γάρ· Συνήσει ὁ παῖς μου, ἔοικε τῷ εὐαγγελικῷ ἐκείνῳ ῥητῷ· «Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ», τὸ δέ· Ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα, σημαίνει τὴν ἐπὶ τοῖς θαύμασιν ἔκ στασιν τῶν θεωμένων· ποτὲ μὲν γὰρ αὐτὸν καὶ βασιλέα ἠβουλήθη<σαν> ποιῆσαι κατὰ τὴν εὐαγγελ ικὴν ἱ στορίαν, ποτὲ δὲ ἐβόων· «Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.» Ἀλλὰ μετὰ τὰ θαύματα τὸ πάθος. Διά τοι τοῦτο καὶ ὁ προφήτης οὕτω καὶ τὴν πρόρρησιν ἔταξε καί φησιν· 14Ὃν τρόπον ἐκστήσονται πολλοὶ ἐπὶ σέ, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου καὶ ἡ δόξα σου ἀπὸ υἱῶν τῶν ἀνθρώπων. Σταυρῷ προσηλώθη, ἀκάνθας αὐτοῦ τῇ κεφαλῇ περιέθεσαν, καλάμῳ τύπτοντες ἔλεγον· «Προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε.» Εἶτα μετὰ τὴν ἀτιμίαν ἐκείνην τῆς οἰκουμένης προλέγει τὴν ἔκστασιν · 15Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ. Οὐ γὰρ πάντες ἐπίστευσαν, οἱ δὲ πεπιστευκότες |167 b| ὑπε ρηγάσθησαν τὸ τῆς εὐσεβείας μυστήριον. Καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν. Οἱ πάλαι διώκοντες καὶ βλασφη μεῖν τολμῶντες ἐναργῶς θεωροῦντες αὐτοῦ τὴν δύναμιν ἀποστήσουσι τῆς λοιδορίας τὴν γλῶτταν. Εἶτα σαφέστερον· Ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσιν. Οἱ γὰρ τὰς προφητικὰς οὐ δεξάμενοι προρρήσεις ἀλλὰ τοῖς εἰδώλοις δουλεύοντες ὄψονται διὰ τῶν κηρύκων τῆς ἀληθείας τοῦ κηρυττομένου τὸ κράτος καὶ γνώσονται αὐτοῦ τὴν δύναμιν. Οὕτω ταῦτα περὶ τῶν ἐθνῶν προθεσπίσας καὶ τὴν Ἰουδαίων ἀπιστίαν προλέγει· 531Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; Τὰ ἔθνη φησὶ μηδὲν περὶ αὐτοῦ παρ' ἡμῶν τῶν προφητῶν προακούσαντα ἐδέξατο προθύμως τὸ κήρυγμα, οὗτοι δὲ καὶ ἀκηκοότες παρ' ἡμῶν πολλάκις καὶ πεῖραν αὐτοῦ τῆς δυνάμεως ἐσχηκότες ἐπέμειναν ἀπιστοῦντες καὶ ἀντιλέγοντες. 2Ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ, τουτέστι τοῦ λαοῦ τούτου τοῦ νῦν ἀντιλέγοντος. Τί δαὶ ἀνηγγείλατε; Ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. Κατὰ δὲ τὸν Ἀκύλαν· «ὡς ῥίζα ἀπὸ γῆς ἀβάτου.» Προείπαμέν φησι τὴν ἐκ παρθένου γέννησιν· αὐτὴν γὰρ ἄβατον καὶ διψῶσαν προσηγόρευσεν ὡς ἴχνος ἀνδρὸς καὶ γαμικὸν ὑετὸν οὐδαμῶς δεξαμένην. Καὶ τοῦτο δὲ ἀνηγγείλαμεν ὡς οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα, τουτέστι παρὰ τὸν τοῦ πάθους καιρόν· πολλὴ γὰρ ἦν ἡ ἀτιμία καὶ ἡ ὕβρις. Καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ 3ἄτιμον, ἐκλεῖπον τὸ εἶδος αὐτοῦ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Μεγίστη τοῦ παναγίου πνεύματος ἡ ἐνέργεια· τὰ γὰρ μετὰ πολλὰς γενόμενα γενεὰς οὕτω τοῖς ἁγίοις προφήταις προέδειξεν ὡς μὴ λέγειν ἐκείνους· ἠκούσαμεν, ἀλλ'· εἴδομεν. Εἶτα διδάσκει τῆς ἀτιμίας καὶ ἀδοξίας τὰ εἴδη· Ἄνθρωπος ἐν πληγῇ ὤν. Ἔδειξε τὴν φύσιν τὴν δεξαμένην τὸ πάθος· τὸ σῶμα γὰρ τῷ σταυρῷ προσηλώθη, ἡ δὲ θεότης ᾠκειοῦτο τὸ πάθος. Καὶ εἰδὼς φέρειν μαλακίαν. Καὶ τοῦτο κατὰ τὸ ἀνθρώπινον εἴρηται· τὸ γὰρ καρτερεῖν καὶ φιλοσοφεῖν οὐ θείας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύ σεως ἀλλ' ἀνθρωπείας. Ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλο γίσθη. Τοῦτο οἱ Τ ρεῖς οὕτως ἡρμήνευσαν· «Καὶ ὡς ἀποκρυβὴ προσώπου ἀπ' αὐτοῦ, ἐξουδενωμένος καὶ οὐκ ἐλογί σ θη αὐτό<ς>.» Τουτέστιν· ἀπέκρυψε τὴν θείαν ἐνέργειαν, γνώμῃ τὸ πάθος δεξάμενος καὶ τοὺς ἐσταυρωκό τας οὐκ ἀμυνόμενος· καὶ γὰρ σταυρούμενος ἔλεγεν· «Πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν.» Διδάσκει δὲ καὶ τ ὰς τοῦ πάθους αἰτίας· 4Οὗτος τὰς μαλακίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται. Ὁ δὲ Σύμ μαχος οὕτως· «Ὄντως τὰς νόσους ἡμῶν αὐτὸς ἀνέλαβε καὶ τοὺς πόνους ἡμῶν ὑπέμεινεν.» Ἡμῶν γὰρ ὑπὲρ ὧν ἡμάρτομεν ὀφειλόντων θάνατον καὶ διὰ τοῦτο ταύτην δεξαμένων τὴν ψῆφον, αὐτὸς τὸν ὑπὲρ ἡμῶν κατεδέξατο θάνατον· καὶ ἡμῶν ὑποκειμένων ταῖς κατάραις διὰ τὴν τοῦ νόμου παράβασιν «αὐτὸς ὑπὲρ ἡμῶν ἐγένετο κατάρα. Γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.» Καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ ὑπὸ θεοῦ καὶ ἐν κακώσει. Τοῦ λαοῦ τὴν ἄγνοιαν ὁ προφήτης ᾠκειώσατο καί φησιν ὑπειληφέναι αὐτὸν οἰκείων ἕνεκα ταῦτα πάσχειν ἁμαρτημάτων. 5Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἀνομίας καὶ μεμαλά κισται διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἡμεῖς ὑπεκείμεθα τιμωρίαις ἡμαρτηκότες, αὐτὸς δὲ καθαρὸς ὢν ἁμαρτημάτων ὑπὲρ ἡμῶν τὰς τιμωρίας ὑπέμεινεν· Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν. Ἡμαρτηκότες ἐξεπολεμήθημεν τῷ θεῷ, ἔδει δὲ ἡμᾶς παιδευθέντας οὕτω τυχεῖν τῆς εἰρήνης, ἀλλ' αὐτὸς εἰς ἑαυτὸν τὴν παιδείαν δεξάμενος τῆς εἰρήνης ἡμᾶς ἠξίωσεν. Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Καινὸς καὶ παράδοξος ἰατρείας τρόπος· ὁ ἰατρὸς ἐδέξατο τὴν τομήν, καὶ ὁ ἄρρωστος ἔτυχε τῆς ἰάσεως. 6Πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Οὔτε γὰρ ἴσα πάντων τὰ πλημμελήματα, οὐδὲ εἷς τῆς ἀσεβείας |168 a| ὁ τρόπος· ἄλλα γὰρ τὰ Αἰγυπτίων εἴδωλα καὶ ἄλλα τὰ Φοινίκων καὶ τὰ Ἑλλήνων ἕτερα καὶ ἄλλα τὰ Σκυθῶν. Ἀλλ' ὅμως, εἰ καὶ διάφοροι τῆς πλάνης οἱ τρόποι, πάντες ὁμοίως τὸν ὄντα θεὸν κατα λελοιπότες ἐῴκειμεν πλανωμένοις προβάτοις καὶ προκειμένοις λύκοις. Καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. Ὑπὲρ παντός φησι προσηνέχθη τοῦ τῶν ἀνθρώπων γένους. 7Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Τοῦτο καὶ ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκει· πρὸ γὰρ τοῦ πάθους νύκτωρ καὶ μεθ' ἡμέραν διαλεγόμενος καὶ τὴν ὀνησιφόρον διδασκαλίαν προσφέρων κατὰ τὸν τοῦ πάθους ἐσίγησε καιρόν. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ 8ἐν τῇ ταπεινώσει. Σαφῶς ἔδειξεν ὅτι κατὰ τὸν τοῦ πάθους ἐ σίγησε καιρόν· ἐν γὰρ τῇ ταπεινώσει ἐῴκει προβάτῳ κειρομένῳ καὶ σφαττομένῳ μετὰ σιγῆς. Διὰ μέντ οι τῶν εἰρημένων ἀμφότερα ἔδειξεν· καὶ τὸ παθητὸν τῆς ἀνθρωπότητος καὶ τὸ ἀπαθὲς τῆς θεότητος· οὐ γὰρ μό νον σφαγὴν ἀλλὰ καὶ κουρὰν τὸ πάθος ἐκάλεσεν· ἡ μὲν γὰρ ἀνθρωπότης ἐσφάττετο, ἡ δὲ θεότης ἐδόκει πως ἀποκείρεσθαι τὸν τῆς ἀνθρωπότητος πόκον οὐ χωριζομένη ταύτης οὐδὲ κατὰ τὸν τοῦ πάθους καιρὸν οὔτε μὴν αὐτὴ δεχομένη τὸ πάθος. Ἡ κρίσις αὐτοῦ ἤρθη. Ὁ δὲ Σύμμαχος οὕτως· «Καὶ ἀπὸ κριτηρίου ἐλήφθη», οὕτω δὲ καὶ οἱ Ἄλλοι. Τὸ γὰρ παράνομον τῶν Ἰουδαίων κριτήριον ταύτην ἐξήνεγκε κατ' αὐτοῦ τὴν ψῆφον. Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ἀπερινόητος γὰρ ἡ θεία φύσις. Ἐπειδὴ γὰρ πολλὰ εἶπεν ἀνθρώπεια, ἀναγκαίως ὑπέδειξε καὶ τὴν θείαν μεγαλοπρέπειαν. Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Οὐ γὰρ μεμένηκεν ἐπὶ τοῦ τάφου , ἀλλὰ καὶ ἀνέστη καὶ εἰς οὐρανοὺς ἀνελήφθη. Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἥκει εἰς θάνατον. Ὁ χρη ματίζων μου λαὸς ταῦτα κατ' αὐτοῦ τετόλμηκε συνήθως παρανομῶν. Εἶτα προλέγει τὰ τούτοις αὖ συμβησόμενα· 9Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. Τὸ δώσω οἱ Τρεῖς «δώσει» ἔφασαν· αὐτὸς γὰρ ὁ ταῦτα παθὼν τῷ Ῥωμαϊκῷ αὐτοὺς παραδώσει πολέμῳ. Πλουσίους δὲ τοὺς Φαρισαίους καὶ γραμματέας καὶ ἀρχιερέας ἐκάλεσεν, ὡσαύτως δὲ καὶ πονηρούς·



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὗτοι γὰρ τὰ πάντων ἐσφετερίζον. Καὶ τοῦτο διδάσκων ὁ κύριος ἔλεγεν· «Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν.» Ὅτι ἀνομίαν οὐκ ἐποίησεν οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ. Οὔτε γὰρ δι' ἔργων οὔτε διὰ λόγων ἐξήμαρτεν, ἀλλ' ἀκηλίδωτον καὶ ἁμαρτημάτων ἐλευθέραν καὶ τὴν ἀνθρωπείαν διεφύλαξε φύσιν, οἱ δὲ ὡς παράνομον τῷ ξύλῳ προσήλωσ αν . 10Καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, τουτέ στιν ἀθῷον δεῖξαι καὶ μὴ ὑποκείμενον θανάτῳ. Οὕτω καὶ ὁ μακάριος ἔφη Πέτρος· «Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεὸς λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.» Οὕτω τοῦ λαοῦ τὴν παρανομίαν προαγορ εύσας τὴν περὶ μετανοίας αὐτοῖς προσφέρει παραίνεσιν–προεώρα γὰρ τοὺς ἐξ αὐτῶν μετὰ τ αῦτα πιστεύοντας· ἐκ τούτων γὰρ ἦν καὶ ὁ θειότατος Παῦλος, ἐκ τούτων οἱ τρισχίλιοι καὶ αἱ πολλαὶ μ υριά δες–καί φησιν· Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Ἐὰν ὁμολογή σητε τὴν ἀσέβειαν καὶ τὴν σωτηρίαν αἰτήσητε, τεύξεσθε τῆς αἰωνίου ζωῆς· ταύτην γὰρ μακρόβιον κέκληκεν. Καὶ βούλεται κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν 11ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς. Τὴν λύσιν ἔδ ειξε τοῦ θανάτου δι' αὐτοῦ τοῦ κυρίου γεγενημένην· ἐν γὰρ χειρὶ αὐτοῦ, τουτέστι τοῦ πεπονθότος, καὶ τοῦ θανάτου τὸν πόνον ἔλυσε καὶ τὸ τῆς ἀναστάσεως ὑπέδειξε φῶς καὶ οἱονεὶ πλάσιν νέαν διέπλασεν ἄφθαρτον καὶ ἀθ άνα τον καὶ ἐδικαίωσεν οὐχ ἁμαρτωλὸν ὄντα ἀλλὰ δίκαιον τουτέστιν ἀθῷον ὄντα ἁμαρτημάτων . |168 b| Τὸ δέ· εὖ δουλεύοντα πολλοῖς, τῷ εὐαγγελικῷ συμβαίνει ῥητῷ· αὐτὸς γὰρ ὁ κύριος ἔφη· «Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.» Διά τοι τοῦτο καὶ «λέντιον διέζωσεν ἑαυτὸν» καὶ ἔνιψε «τοὺς πόδας τῶν μαθητῶν». Καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Ὁ δὲ Ἀκύλας ἀντὶ τοῦ ἀνοίσει «βαστάσει» τέθεικεν, ὁ δὲ Θεοδοτίων «ὑπήνεγκεν». Αὐτὸς γὰρ ἦν κατὰ τὸν θεσπέσιον Ἰωάννην «ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». 12Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, τουτέστι πάντα τὰ ἔθνη· οὕτω γὰρ καὶ ὁ μακάριος Δαυὶδ ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς ἔφη· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.» Καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. Ἰσχυροὺς καλεῖ τοὺς δαίμονας, σκῦλα δὲ τοὺς ἀνθρώπους. Σκῦλα δὲ καλεῖται τῶν ἀνῃρημένων τὰ ὅπλα. Ὅπλα δὲ τῶν δαιμόνων πάλαι ἦσαν οἱ ἄνθρωποι· διὰ γὰρ τῶν ἡμετέρων ἡμῖν ἐπολέμουν μελῶν. Ἀλλὰ τούτους καταλύσας ὁ δεσπότης Χριστὸς τὰ τούτων σκῦλα τοῖς ἀποστόλοις διένειμε, τοὺς μὲν Ῥωμαίων, τοὺς δὲ Αἰγυπτίων, τοὺς δὲ Ἰνδῶν διδασκάλους χειροτονήσας. Ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ. Ἡ γὰρ νομιζομένη τοῦ πάθους ἀτιμία αὕτη τὸ παρὰ πάντων αὐτῶν προσοίσει σέβας. Καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη. Οὐ γὰρ μόνον τὴν τοῖς παρανόμοις ἀπονενεμημένην ὑπέμεινε τιμω ρίαν ἀλλὰ καὶ μετὰ λῃστῶν ἐσταυρώθη. Τοῦτο δὲ καὶ ὁ εὐαγγελιστὴς τέθεικεν· εἰρηκὼς γὰρ ὅτι συνεσταύρωσαν αὐτῷ δύο λῃστάς, ἔφη πληρωθῆναι τὴν γραφὴν τὴν λέγουσαν· «Καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη.» Καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. Ὁ δὲ Σύμμαχος οὕτως· «Αὐτὸς δὲ ἁ μα ρτίας πολλῶν ἀνέλαβε καὶ τοῖς ἀθετοῦσιν ἀντέστη», οὕτω δὲ καὶ οἱ Λοιποί. Ἐκεῖνοι μέν φησι τοῖς ἀν όμοις αὐτὸν συνέζευξαν λῃσταῖς, αὐτὸς δὲ τὰς ἁπάντων ἁμαρτίας εἰς ἑαυτὸν ἀναλαβὼν τὸ πάθος ὑπέμεινε, τοῖς ἀθετήσασιν ἀνθιστάμενος δαίμοσιν. Οὕτω προθεσπίσας τὸ πάθος, τῆς ἐκκλησίας τῆς πάλαι στείρας τὴν πολυπαιδίαν προλέγει· 541Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα. Οὐ γὰρ ἔτικτεν εὐσέβειαν πάλαι, τῇ δὲ τῶν εἰδώλων δουλείᾳ προσήδρευεν. Εἶτα ὡς ἐπὶ γυναικὸς δυστο κούσης· Ῥῆξον καὶ βόησον καὶ τέρπου ἡ οὐκ ὠδίνουσα. Τέθεικε δὲ τὸ μὲν ῥῆξον ἐπὶ τῆς βιαίας γεννήσεως, ὡσαύτως δὲ καὶ τὸ βόησον· φασὶ γὰρ καὶ τὰς μαίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρακελεύεσθαι ταῖς δυστοκούσαις καὶ βιάζεσθαι καὶ βοᾶν. Τὸ δὲ τέρπου ἐπὶ τῆς παρ' ἐλπίδα δωρηθείσης πολυπαιδίας. Ἐναντίον δέ πως εἶναι δοκεῖ τὸ ῥῆξον τῷ τέρπου, ἀμφότερα δὲ ὅμως συνέβη· καὶ γὰρ παρ' ἐλπίδα γεγέννηκεν· τοιαῦται γὰρ τοῦ παναγίου πνεύματος αἱ ὠδῖνες. Ὅτι πολλὰ <τὰ> τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἔρημος ἦν πάλαι ἡ ἐξ ἐθνῶν ἐκκλησία· διὸ καὶ ἐν τοῖς πρόσθεν αὐτῇ ἐλέγετο· «Εὐφράνθητι ἔρημος διψῶσα», καὶ πάλιν· «Ἔσται ἡ ἔρημος ὡς ὁ Χερμέλ», καὶ αὖθις· «Ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ.» Τὸν δὲ ἄνδρα εἶχεν ἡ Ἰουδαίων πληθύς. Σαφέστερον δὲ τὰ περὶ τοῦδε τοῦ γάμου διδάσκει ὁ προφήτης Ἰεζεκιήλ· δι' ἐκ είνου γὰρ ὁ τῶν ὅλων θεὸς πρὸς τὸν πρότερον λαὸν ὡς πρὸς γυναῖκα διαλεγόμενος ἔφη· «Καὶ εἶδόν σε πεφυρμένην ἐν τῷ αἵματί σου καὶ εἶπά σοι· Ἐν τῷ αἵματί σου ζωή, πληθύνου. Καὶ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα, καὶ περιέβαλα τὰς πτέρυγάς μου ἐπὶ σὲ καὶ συνεκάλυψα τὴν ἀσχημοσύνην σου καὶ εἶδόν σε, καὶ ἰδοὺ καιρός σου καὶ καιρὸς καταλυόντων, καὶ εἰσῆλθον πρὸς σὲ ἐν διαθήκῃ μου, καὶ ἐγένου μοι» καὶ ἐγέννησάς μοι υἱοὺς καὶ θυγατέρας. Καὶ διὰ πάντων δὲ τῶν προφητῶν τοῦτο ἡμᾶς διδά σκει ὁ τῶν ὅλων θεός, ὡς ὑπερβαλλούσῃ φιλανθρωπίᾳ χρώμενος οὐ μόνον δεσπότην ἑαυτὸν καὶ πατέρα ........... ἀλλὰ καὶ ἄνδρα καὶ νυμφίον ἑαυτὸν ἀποκαλεῖ. Αὕτη μέντοι ἡ προφητεία |169 a| δι δάσκει ὡς τῆς ἐρήμου τὰ τέκνα πολλαπλάσια τῆς ἐχούσης τὸν ἄνδρα. Εἶπε γὰρ κύριος· 2Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τὰς δέρρεις τῶν αὐλαιῶν σου πῆξον, μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου καὶ τοὺς πασσάλους κατίσχυ σον· 3ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. Δέρρεις καὶ αὐλαίας τῷ Μωυσῇ προσέταξεν ὁ θεὸς κατασκευάσαι, ἡνίκα αὐτῷ ποιῆσαι παρεκελεύσατο τὴν σκηνήν. Τούτων τοίνυν ἐπὶ τοῦ παρόντος τῶν ὀνομάτων ἐμνήσθη δεικνὺς ὡς αὐτὸς κἀκεῖνα καὶ ταῦτα πεποίηκεν. Παρακελεύεται δὲ τῇ στείρᾳ τῶν εὐκτηρίων οἴκων τὴν οἰκουμένην ἐμπλῆσαι καὶ εἰς τὰ ἀριστερὰ καὶ εἰς τὰ δεξιά, τουτέστιν εἰς τὰ νότια καὶ εἰς τὰ βόρεια, τοῦτο δρᾶσαι. Πασσάλους δὲ οὐκ ἄν τις ἁμάρτοι τοὺς ἁγίους προφήτας καὶ ἀποστόλους καὶ μάρτυρας ὀνομάζων· οὗτοι γὰρ ἐν τῇ γῇ κεκρυμμένοι καθάπερ οἱ πάσσαλοι κατέχουσι τὴν τῆς ἐκκλησίας σκηνὴν οἷόν τισι σχοινίοις τῇ διδασκαλίᾳ ταύτῃ προσηρμοσμένοι. Οὗτοι καὶ θεμέλιοι <προσαγορεύονται. Οὕτω γὰρ ὁ μακάριος ἔφη Παῦλος· «Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ> τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ.» Ἐκληρονόμησε δὲ τὰ ἔθνη τῆς ἐκκλησίας τὸ σπέρμα· οἱ γὰρ ταύτης τρόφιμοι τὴν πνευματικὴν τῶν ἐθνῶν ἡγεμονίαν ἐδέξαντο καὶ τὰς ὑπὸ τῆς ἀσεβείας διαφθαρείσας πόλεις τοῖς τῆς εὐσεβείας ἀνῳκοδόμησαν δόγμασιν. 4Μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης. Ὠνείδιζον Ἰουδαῖοι πάλαι τοῖς ἔθνεσι τὴν ἀσέβειαν ὡς ἡ Φενάννα τῇ Ἄννῃ τὴν ἀτεκνίαν. Ὑπισχνεῖται τοίνυν ὁ προφητικὸς λόγος αὐτῇ τὴν τοῦ ὀνείδους ἀπαλλαγήν. Ἐπάγει γάρ· Ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ ἔτι. Καὶ τὴν αἰτίαν τούτων διδάσκει σαφέστερον· 5Ὅτι κύριος ὁ ποιῶν σε <κύριος> Σαβαὼθ ὄνομα αὐτῷ, καὶ ὁ ῥυσάμενός σε αὐτὸς θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται. Τοῦτον γὰρ ἡμεῖς οἱ εἰς αὐτὸν ἠλπικότες καὶ πεπιστευκότες καὶ θεὸν Ἰσραὴλ καὶ θεὸν Ἀβραὰμ ὀνομάζομ εν καὶ τῆς ἐκείνων γενέσθαι μερίδος ἀντιβολοῦμεν. Οὗτός φησιν ὁ τοῦ Ἰσραὴλ θεὸς ἔσται σου νυμ φίος καὶ τῆς χηρείας καὶ τῆς ἀτεκνίας τὰ ὀνείδη παύσει· 6Οὐχ ὡς γυναῖκα ἐγκαταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ κύριος, ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην; Τοῦτο κατ' ἐρώτησιν ἀναγνωστέον. Οὐκ ἐῴκεις φησὶ γυναικὶ διά τινας παρανομίας ἐκβεβλημένῃ καὶ διηνεκῶς ὀδυνωμένῃ καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς μεμισημένῃ; Κατὰ ταύτην δὲ τὴν διάνοιαν καὶ οἱ Λοιποὶ ἡρμήνευσαν· ὁ μὲν γὰρ Ἀκύλας καὶ ὁ Θεοδοτίων οὕτως ἔφασαν· «Ὅτι ὡς γυναῖκα ἐγκατα λελειμμένην καὶ κατώδυνον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματι ἐκάλεσέ <σε> κύριος», ὁ δὲ Σύμμαχος οὕτως· «Ὡς γὰρ γυναῖκα ἐγκαταλελειμ μένην καὶ κατώδυνον πνεύματι ἐκάλεσέ <σε> κύριος καὶ γυναῖκα νεότητος ὅταν ἀποστῇ.» Ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπέστη τοῦ θεοῦ τῶν ἀνθρώπων ἡ φύσις, ἀλλ' ὅμως αὐτὴν πάλιν ἀνεκαλέσατο· τοῦτο γὰρ καὶ ὁ προφητικὸς ἔφη λόγος · Εἶπεν ὁ θεός· 7Χρόνον μικρὸν κατέλιπόν σε καὶ μετ' ἐλέου μεγάλου ἐλεήσω σε, 8ἐν θυμῷ μικρῷ ἀπέ στρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ καὶ ἐν ἐλέῳ αἰωνίῳ ἐλεήσω σε. Μικρὸν ἔφη τὸν τῆς ἐγκαταλείψεως χρόνον , τοῖς ἀπεί ροις αἰῶσι τοῦτον παραμετρῶν. Εἶπεν ὁ ῥυσάμενός σε κύριος· 9Ἀπὸ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί ἐστιν· καθότι ὤμοσα αὐτῇ ἐν τῷ καιρῷ ἐκείνῳ τῇ γῇ μὴ θυμωθήσεσθαι ἔτι ἐπ' αὐτῇ μηδὲ ἀπειλῇ μου 10τὰ ὅρια αὐτῆς μεταστῆσαι, οὐδὲ οἱ βουνοὶ αὐτῆς μετακινηθήσονται, οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη μου οὐ μὴ μεταστῇ. Ἀναμνή σθητί φησι τῶν γεγενημένων μοι συνθηκ ῶν πρὸς τὸν Νῶε καὶ βλέπε τούτων τὸ ἀληθές· ἐπαγγειλάμενος γὰρ μηκέτι τοιαύτῃ πανωλε θρίᾳ παρα δώσειν τὴν γῆν, ἅπερ ὑπεσχόμην πεπλήρωκα. Ἔχουσα τοίνυν ἐνέχυρον τὴν προτέραν διαθή κην πίστευσον ὡς καὶ σὺ διηνεκῶς τῆς ἐμῆς φιλανθρωπίας ἀπολαύσῃ, καὶ βεβαίαν σοι τὴν εἰρ ήνην φυλάξω καὶ οὐκέτι τοῦτο διαλύσω τὸ συνοικέσιον. Εἶπε γὰρ κύριος ἵλεώς σοι· 11Ταπεινὴ |169 b| καὶ ἀκατά στατος οὐ παρεκλήθης. Ὁ δὲ Σύμμαχος οὕτως· «Εἶπεν ὁ οἰκτείρων σε κύριος· Ταπεινή, καταιγισθεῖσα, μὴ παρη γορημένη.» Ἵλεώς σοι γεγένημαι· εἶδον γάρ σε πεπλανη μένην καὶ τῇδε κἀκεῖσε καθάπερ ὑπό τινων καταιγίδων τῶν τῆς ἀπάτης πνευμάτων †περικειμένην καὶ ἀκατάστατον ἔχουσαν τὴν γνώμην. Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου καὶ τὰ θεμέλιά σου σάπφειρον 12καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν καὶ τὰς πύλας σου λίθους κρυστάλλου καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς. Τὸ εὐσεβὲς πολίτευμα πόλιν καλεῖ. Διά φορα δὲ τῶν ἁγίων τὰ κατορθώματα, ἀρεστὰ δὲ ὅμως ἅπαντα τῷ θεῷ· οὗ δὴ χάριν καὶ ἅπ αντας λίθους ὀνομάζει τιμίους, εἰ καὶ διάφορον ἔχουσι τὴν ἰδέαν. Ἄνθρακα δὲ ὑποληπτέον τὸν περὶ τὸν θεὸν διάπυρον ἔρωτα· σάπφειρον δὲ τὸν τὴν ἀρετὴν κατακρύπτοντα, βαθεῖα γὰρ ἡ τοῦ σαπ φείρ ου χροιά· ἴασπιν δέ, ἢ «καρχηδόνιον» κατὰ τὸν Σύμμαχον, τὸ λαμπρὸν τῆς θαυματουργίας ὀνο μά ζεσθαι νομίζω. Διὰ τοῦτο καὶ τὰς ἐπάλξεις ἐκ τούτου προλέγει οἰκοδομηθήσεσθαι, ἐκ δὲ τῆς σαπφείρου τὰ θεμέλια, τὰς δὲ πύλας ἐκ κρυστάλλου· σαφοῦς γὰρ τοῖς εἰσαγομένοις διδασκα λί ας δεῖ. Ταῦτα μὲν οὖν περὶ τῶν τῆς ἐκκλησίας ἡγεμόνων ἔφη, οὓς καὶ θεμέλια καὶ ἐπάλ ξεις καὶ πύλας ὠνόμασεν· καὶ ὁ λοιπὸς δὲ τῶν πιστῶν ὅμιλος ἐκλεκτὸς προσηγορεύθη, ἅπαντα γάρ σού φησι τὸν περίβολον ἐκ πολυτίμων καὶ ἐκλεκτῶν δομήσομαι λίθων. Εἶτα τὸ τροπικὸν καταλιπὼν σχῆ μα ἐπὶ τὸ σαφέστερον τὸν λόγον μετήνεγκεν· 13καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου, 14καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ. Ἔδειξας <...> λίθους τὰ τῆς ἀρετῆς εἴδη τροπικῶς προσηγόρευσεν. Εἰρήν ην δὲ ἐνταῦθα τὴν πρὸς θεὸν ὑπισχνεῖται. Ταύτης τῆς οἰκοδομίας καὶ ὁ μακάριος μέμνηται Παῦλος, λέγ ει δὲ οὕτως· «Ἐγὼ ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος ἐποικοδομεῖ, ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον ὅς ἐστιν Ἰησοῦς Χριστός. Εἰ δέ τι ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν ἄργυρον λίθους τιμίους ξύλα χόρτον καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται.» Ἄπεχε ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. Ταύτης ἀπο λαύσασα τῆς εὐεργεσίας μὴ γένῃ περὶ τὸν εὐεργέτην ἀχάριστος· οὕτω γὰρ κρείττων ἔσῃ τῶν πολεμούντων. 15Ἰδοὺ προσήλυτοι προσελεύσονται δι' ἐμὲ καὶ παροική σουσί σοι καὶ ἐπὶ σὲ καταφεύξονται. Προσηλύτους καλεῖ τοὺς καθ' ἑκάστην ὡς ἔπος εἰπεῖν ἡμέραν ἐκ τῶν ἐθνῶν ἀγρευομένους καὶ τῷ θείῳ προσιόντας βαπτίσματι. Καὶ ταύτης τοίνυν τῆς προφητείας ὁρῶμεν τὸ τέλος. Εἶτα δι δάσκει τῆς νέας δημιουργίας τὸν τρόπον·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

16Ἰδοὺ ἐγὼ κτίζω σε οὐχ ὡς χαλκεὺς φυσῶν ἐν πυρὶ ἄνθρακας καὶ ἐκφέρων σκεῦος εἰς ἔργον. Τὸ ἄπονον καὶ λίαν εὐπετὲς τῆς δημιουργίας δεδήλωκεν· οὐ γὰρ δέομαί φησιν ὀργάνων τινῶν καὶ πυρὸς καὶ φυσῶν τοῖς χαλκεῦσι παραπλησίως, ἀλλ' ἀρκεῖ μοι λόγος εἰς ποίησιν. Ἐγὼ δὲ ἔκτισά σε οὐκ εἰς ἀπώλειαν φθεῖραι. Ἐπειδὴ «ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός», ἐδέξατο δὲ καὶ τοῦ θανάτου τὴν ψῆφον, ὑπισχνεῖται ὁ τῶν ὅλων δημιουργὸς εἰς ἀφθαρ σίαν νεουργεῖν τῶν ἀνθρώπων τὴν φύσιν. 17Πᾶν σκεῦος φθαρτὸν ἐπὶ σὲ οὐκ εὐοδωθήσεται. Οἱ δὲ ταύτην τὴν ἀφθαρσίαν ἐνδύσασθαι μὴ βουλόμενοι ἀλλ' ἐπὶ τῆς προτέρας φθορᾶς διαμέ νοντες οὐ περιέσονταί σου πολεμεῖν σοι πειρώμενοι. Τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς σαφέστερον δηλοῖ· Καὶ πᾶσα φωνὴ ἣ ἀναστήσεται ἐπὶ σέ, εἰς κρίσιν πάντας αὐτοὺς ἡττήσεις. Ὁ δὲ Ἀκύλας οὕτως· « Καὶ πᾶσαν γλῶσσαν ἱσταμένην σὺν σοὶ εἰς κρίσιν καταδικάσεις.» Τοὺς γὰρ ἐξ ἁπάντων τῶν ἐθνῶν ἀντιτείνοντάς σοι καὶ κατακρινεῖς καὶ ἡττήσεις. Οἱ δὲ ἔνοχοι ἔσονται ἐν λύπῃ. Δρέπονται λύπην οἱ τὰς κατὰ σοῦ τεκταινόμενοι μηχανάς, σὺ δὲ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσεις. |170 a| Τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς· Ἔστι κληρονομία τοῖς θεραπεύουσι κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει κύριος. Τοῦτο καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἐδίδαξεν· «Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρο νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου.» Δίδωσι δὲ ταύτην τοῖς τὴν νενομοθετημένην δικαιοσύνην προφέρουσιν· «Ἐπείνασα γάρ» φησι «καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με» καὶ τὰ ἑξῆς. Τοῦτο κἀνταῦθα δείξας τὴν τῆς δικαιοσύνης ὁδὸν ἐπι δείκνυσιν· 551Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. Διὰ γὰρ τοῦ παναγίου βαπτίσματος «δικαιούμεθα δωρεὰν» κατὰ τὸν θεῖον ἀπόστολον «διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ». Τοῦτο γὰρ καὶ ὁ προφητικὸς ᾐνίξατο λόγος· Καὶ ὅσοι μὴ ἔχετε ἀργύριον βαδίσαντες ἀγοράσατε καὶ φάγεσθε καὶ πορεύεσθε καὶ ἀγοράσατε καὶ πίεσθε ἄνευ ἀργυρίου. Ἀργύριον δὲ τὴν δικαιοσύνην πολλάκις ἡ θεία γραφὴ προ<σ>αγορεύει· «Τὰ λόγια» γάρ φησι «κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ.» Καὶ τοὺς παρανομίᾳ συζῶντας «ἀργύριόν» φησιν «ἀποδεδο κιμασμένον καλέσατε, ὅτι ἀπεδοκίμασεν αὐτοὺς κύριος ὁ θεός». Ὑπισχνεῖ ται τοίνυν ὁ φιλάνθρωπος δεσπότης καὶ τοῖς οὐ κεκτημένοις τὸ καλούμενον ἀργύριον, τουτέστι τὴν δικαιοσύν ην , προῖκα δώσειν τὸ τριπόθητον ὕδωρ· τοὺς γὰρ τῷ παναγίῳ προσιόντας βαπτίσματι οὐκ εὐθύνας ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων εἰσπράττεται ἀλλὰ τὴν τούτων ἄφεσιν ἐπαγγέλλεται. Οἶνον καὶ στέαρ 2ἵνα <τί> τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν; Τὰς νομικὰς ἐνταῦθα θυσίας ἐξέβαλεν. Διαφερόντως γὰρ πάλαι τῶν ἱερείων τὸ στέαρ τῷ βωμῷ προσφέρειν ἐκέλευσεν, οὗ δὴ χάριν καὶ μεταλαμβάνειν στέατος ἀπηγόρευσεν· καὶ οἶνον δὲ σπένδειν εἰώθεσαν. Δι δάσκει δὲ ὁ προφητικὸς λόγος ὡς οὐδεμίαν ταῦτα τροφὴν προσέφερε τῇ ψυχῇ· τοῦτο γὰρ εἶπεν· ἐν οὐκ ἄρτοις καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν, ἀντὶ τοῦ ἀκερδής, ἀνόνητος, οὐδὲν ἔχων πνευματικόν. Οὕτω ς ἐπι θεὶς τῇ παλαιᾷ διαθήκῃ τὸ πέρας ὑποδείκνυσι τὴν καινήν· Ἀκούσατέ μου καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν· 3προσέχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου, εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαυὶδ τὰ πιστά. Τῷ Δαυὶδ ὁ θεὸς ἐπηγγείλατο ὅτι «τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.» Ταύτας τοίνυν τὰς συνθήκας τὰς πρὸς ἐκεῖνον γεγενημένας ἐφ' ὑμῶν πληρώσω, τὴν μὲν ἀνθρωπείαν φύσιν ἐ κ τοῦ Δαυιτικοῦ γένους κατὰ τὴν ὑπόσχεσιν ἐνδυόμενος, τὴν δὲ καινὴν διαθήκην εἰσφέρων. 4Ἰδοὺ μαρτύριον ἐν ἔθνεσι δέδωκα αὐτόν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. Τὸν γὰρ ὑπὸ Ἰουδαίων ἐσταυρω μένον πᾶσα γῆ καὶ θάλαττα προσκυνεῖ καὶ τοὺς τούτου νόμους ἀσπάζεται. Μαρτύριον δὲ αὐτὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλεῖ, ἢ κατὰ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον «μάρτυρα», ὡς περὶ τῆς μελλούσης διαμαρτυρόμενον κρίσεως καὶ τῆς γεέννης ἀπειλοῦντα τὴν φλόγα. 5Ἰδοὺ ἔθνη ἃ οὐκ οἴδασί σε ἐπικαλέσονταί σε, λαοὶ οἳ οὐκ ἐπίστανταί σε ἐπὶ σὲ καταφεύξονται ἕνεκεν κυρίου τοῦ θεοῦ <σου> καὶ τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασά σε. Τίνι ταῦτα προσαρμόζουσιν Ἰουδαῖοι; Τίνα τὰ ἔθνη ἐπεκαλέσατο; Ἐπὶ τίνα δὲ κατέφυγον οἱ λαοί; Ἀλλ' ἐκεῖνοι μὲν οὐ δύνανται δεῖξαι, ἡμεῖς δὲ ὁρῶμεν τὰ πράγματα καὶ τὸν ἀγνοούμενον ὑπὸ τῶν ἐθνῶν ἀσπασίως ὑπ' αὐτῶν προσκυνούμενον. Τὸ δέ· ἕνεκεν κυρίου τοῦ θεοῦ σου ὅτι ἐδόξασέ σε, ἀνθρωπίνως εἴρηται· καὶ γὰρ αὐτὸς ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίο ις προσευ χόμενος ἔλεγεν· «Πάτερ δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε.» Τοῦτ ο περὶ τῶν ἐθνῶν προθεσπίσας καὶ τὴν ἐκείνων πίστιν σαφῶς ἐπιδείξας προσφέρει καὶ Ἰουδαίοις τὸν λόγον · 6Ζητήσατε τὸν θεόν. Τουτέστιν· Ἐπίγνωτε ὃν ἠγνοήσατε. Καὶ ἐν τῷ ὑμᾶς εὑρίσκειν αὐτὸν ἐπικαλέ σασθε. Ἐπίγν ωτ ε , μὴ ἀπαγορεύσητε τὴν σωτηρίαν ὡς προσηλώσαντες, ἀλλ' αἰτήσατε συγγν ώμην . Ἡνίκα |170 b| δ' ἂν ἐγγίζῃ ὑμῖν, 7ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ καὶ ἐπιστρα φήτω πρὸς κύριον καὶ ἐλεηθήσεται καὶ πρὸς τὸν θεὸν ἡμῶν, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Ὅταν φησὶ ζητήσαντες εὕρητε καὶ ἐπικαλεσάμενοι τύχητε συγγνώμης, φεύγετε τὴν προτέραν τῆς ἀσεβείας καὶ παρανομίας ὁδὸν καὶ δότε τῷ θεῷ τὰ πρόσωπα καὶ μὴ τὰ νῶτα. Μεταδώσει γὰρ ὑμῖν ἐλέου καὶ τῶν ἁμαρτημάτων δωριεῖται τὴν ἄφεσιν. 8Οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥςπερ αἱ βουλαὶ ὑμῶν οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, λέγει κύριος. 9Ἀλλ' ὥσπερ ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Πολύ φησιν ἀλλήλων ἀφεστήκαμεν καὶ τοσοῦτον ὅσον ὁ οὐρανὸς γῆς· ὑμεῖς μὲν γὰρ μισεῖτε, ἐγὼ δὲ φιλῶ· ὑμεῖς φεύγετε, ἐγὼ καλῶ· ὑμεῖς πολεμεῖτε, ἐγὼ εὐεργετῶ. 10Ὡς γὰρ ἐὰν καταβῇ ὑετὸς ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ καὶ οὐ μὴ ἀποστραφῇ ἐκεῖ ἕως ἂν μεθύσῃ τὴν γῆν, ἐκτέκῃ καὶ ἐκβλαστήσῃ καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν, 11οὕτως ἔσται τὸ ῥῆμά μου ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενόν, ἕως ἂν συντελέσῃ πάντα ὅσα ἐλάλησα, καὶ εὐοδώσω τὰς ὁδούς μου καὶ τὰ ἐντάλματά μου. Καθάπερ φησὶν ὑετὸς καὶ χιὼν ἀρδείας χάριν χορηγεῖται τῇ γῇ, ὥστε τοὺς γηπόνους ἀπολαβεῖν τοὺς πόνους τὰ δράγματα καρπουμένους καὶ ἐντεῦθενποριζομένους τροφήν, οὕτως ὁ ἀποφαντικός μου λόγος ἐνεργέστατός ἐστι καὶ πρακτικώτατος πάντα πληρῶν ὅσα βούλομαι. 12Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε καὶ ἐν χαρᾷ δι<δα>χ θήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἐπικροτήσει τοῖς κλάδοις. Τῆς τοῦ διαβόλου τυραννίδος ἀπαλλαττόμενοι καὶ τῆς ἐκείνου δυναστείας ἐλευθερούμενοι πάσης εὐφρο σύνης ἐμπλησθήσεσθε. Εἶτα, τῆς θυμηδίας δεικνὺς τὴν ὑπερβολήν, καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς καὶ τὰ ξύλα ἔδειξεν εὐφραινόμενα. Τοῦτο γὰρ καὶ ὁ μακάριος ἔφη Δαυὶδ τὴν ἐξ Αἰγύπτου ἔξοδον τοῦ λαοῦ διηγούμενος· «Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.» Τούτῳ δὲ τῷ εἴδει κέχρηται ἡ θεία γραφὴ τῷ ἔθει τῶν ἀνθρώπων ἀκολουθοῦσα. Εἰώθαμεν γὰρ λέγειν· Πᾶσα ἡ πόλις εὐφραίνεται, πᾶσα ἡ πόλις ἑορτάζει, οὐ τοὺς τοίχους νοοῦντες πόλιν ἀλλὰ τοὺς ἐνοικοῦντας. Εἰ δὲ καὶ τροπικῶς τις νοεῖν βούλοιτο ὄρη μὲν καὶ βουνοὺς τὰς ἐπουρανίους δυνάμεις, ξύλα δὲ ἀγροῦ τοῖς κλάδοις δεικνύντα τὴν ἡδονὴν τοὺς ἁγίους–περὶ ὧν εἴρηται· «Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται», καί· «Ἐγὼ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου»–, εὑρήσει καὶ οὕτως τὴν τῆς προφητείας ἀλήθειαν. 13Καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη· καὶ ἔσται κυρίῳ εἰς ὄνομα καὶ εἰς σημεῖον αἰώνιον καὶ οὐκ ἐκλείψει. Ἔδειξε διὰ τούτων τῶν ἀλλοφύλων ἐθνῶν τὴν μεταβολήν. Οἱ γὰρ πάλαι ἀχρήστοις βοτάναις καὶ χαμαιζήλοις ἐοικότες οὗτοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετὰ τὴν ἐπίγνωσιν τοῦ σωτῆρος τῆς κυπαρίσσου τὸ ὕψος καὶ μυρσίνης τὸ εὐῶδες μεμίμηνται καὶ κηρύττουσι διὰ τῶν πραγμάτων τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν δύναμιν, οἷόν τι σημεῖον καὶ τέρας μέγα καὶ παράδοξον καὶ διαρκὲς ἐπιδεικνύντες τὴν οἰκείαν μεταβολήν. Τοῦτο δὲ τὸ σημεῖον αἰώνιον ἔσται καὶ οὐκ ἐκλείψει, καθάπερ τῶν Ἰουδαίων ἐξέλιπεν ἡ δόξα. [Ἐπιδείξωμεν τοίνυν ἑαυτοὺς τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν σημεῖον θεοπρεπές, μὴ μόνον τοῖς ὑγιέσι προσέ χοντες δόγμ ασιν ἀλλὰ καὶ τὸν κατάλληλον ἀσπαζόμενοι βίον, ἵνα γνόντες «τὰ καλὰ ἔργα» ἡμῶν οἱ ἄνθρωποι «δοξάσωσι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς», ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ μεγαλοπρέπεια σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 18 ΤΟΜΟ Σ ΙΗ΄

56ιΤάδε λέγει κύριος· Φυλάσσεσθε κρίσιν καὶ ποιεῖτε δικαιοσύνην, ἤγγικε γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. Οἱ θεσπέσιοι προφῆται οὐ μόνον τὰ ἐσόμενα προθεσπίζειν ἀλλὰ καὶ παραινέσεις προσφέρειν εἰώθεσαν δογματικάς τε καὶ ἠθικάς. Καὶ γὰρ καὶ τὴν κρίσιν καὶ τὴν σωτηρίαν τοῖς πάλαι προηγόρευον, ὥστε καὶ τῇ τῶν ἀγαθῶν ὑποσχέσει |171 a| καὶ τῇ τῶν ἀλγεινῶν ἀπειλῇ κακίας μὲν αὐτοὺς ἀποτρέπειν, ἐπ' ἀρετὴν δὲ προτρέπειν. Τοῦτο ἐκ τουτωνὶ τῶν ῥητῶν καταμαθεῖν εὐπετές. Συμβουλεύσας γὰρ ὁ προφητικὸς λόγος ἔχεσθαι δικαιοσύνης καὶ ἀκλινὲς ἔχειν τῆς ψυχῆς τὸ κριτήριον, συνῆψε τῆς σωτηρίας τὴν πρόρρησιν καὶ τοῦ ἐλέου τὴν ἀποκάλυψιν. Ἀμφότερα δὲ σημαίνει τὴν δεσποτικὴν παρου σίαν. 2Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα καὶ ἄνθρωπος ὁ ἀντεχό μενος αὐτῶν καὶ φυλάσσων τὰ σάββατα μὴ βεβηλοῦν καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἀδικήματα. Τῇ τῶν ἀγαθῶν ἐργασίᾳ συνέζευξε τὸν μισθόν, μισθὸς δὲ μέγιστος ὁ μακαρισμός. Τῆς δὲ τῶν σαββάτων φυλακῆς ἐπιμελεῖσθαι προσέταξεν ὡς ἔτι κρατοῦντος τοῦ νόμου. Ἐδίδαξε δὲ καὶ πῶς δεῖ τιμῆσαι τὸ σάββατον· ἀθῴους γάρ φησι προσήκει τὰς χεῖρας ἀδικίας φυλάττειν, οὕτω γὰρ οὐ βεβηλοῦται τὸ σάββατον. Βέβηλον δέ ἐστι τὸ μὴ ἅγιον, τουτέστι τὸ κοινόν. Ἐπειδὴ τοίνυν εἰς τὴν τῶν θείων ἐργασίαν ἀφιερώθη τὸ σάββατον, ἐάν φησι παραβῇς τὸν κείμενον νόμον, κοινὴν αὐτὸ ἡμέραν ἀποφανεῖς, τουτέστι βέβηλον. Ταύτην δὲ τὴν διαφορὰν καὶ ἐν ἑτέροις ἡμᾶς ἡ θεία διδάσκει γραφή· «Ἀφοριεῖτε» γάρ φησιν «ἀνὰ μέσον ἁγίου καὶ βεβήλου.» Ἅγιον δὲ κα λεῖ τὸ τῷ θεῷ προσῆ κον , βέβηλον δὲ τὸ κοινόν. 3Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος πρὸς κύριον λέγων· Ἀφορισμῷ ἀφοριεῖ με ἄρα κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ. Τὸν Ἰουδαϊκὸν ἐν τούτοις καταστέλλει τῦφον· ἐπειδὴ γὰρ ὠλιγώρουν μὲν ἀρετῆς, μέγα δὲ ἐφρόνουν ἐπὶ τῇ ῥίζῃ τοῦ Ἀβραάμ, διδάσκει ὁ τῶν ὅλων θεὸς ὡς ἀρετὴν ἀλλ' οὐ γένος ζητεῖ. Καὶ μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι ἐγώ εἰμι ξύλον ξηρόν. Κἀν τούτῳ παραπλησίως καὶ τοὺς εὐνούχους ἐπ' ἀρετὴν προτρέπει καὶ τῶν ἐπὶ πολυπαιδίᾳ μεγαλαυχουμένων τὴν ὀφρῦν καταλύει. 4Ὅτι τάδε λέγει κύριος τοῖς εὐνούχοις τοῖς φυλασσομέ νοις τὰ σάββατά μου καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω καὶ ἀντεχομένοις τῆς διαθήκης· 5Δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν καὶ ὄνομα ἀγαθὸν κρεῖττον υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει. Ἀψευδὴς ἡ ὑπόσχεσις. Καὶ μαρτυροῦσιν οἱ περὶ τὸν θεσπέσιον Δανιὴλ καὶ Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ· ἀφαιρεθέντες γὰρ ὑπὸ τῶν πολεμίων τὸ γενέσθαι πατέρες, πολυθρύλητοι μᾶλλον ἢ οἱ πολλῶν παίδων πατέρες ἐγένοντο, καὶ ἄσβεστον αὐτῶν διαμένει τὸ κλέος. Οὕτω τὸν Ἀβδεμέλεχ καὶ ἀλλογενῆ καὶ εὐνοῦχον ὄντα–Αἰθίοψ γὰρ ἦν–ἀοίδιμον διὰ τὴν εὐσέβειαν ἀπέφηνεν ὁ θεός. 6Καὶ τοῖς ἀλλογενέσι τοῖς προσκειμένοις κυρίῳ δουλεύειν αὐτῷ καὶ ἀγαπᾶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ὄνομα κυρίου τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας καὶ πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου μὴ βεβηλοῦν καὶ ἀντεχομένους τῆς διαθήκης μου 7εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου, τὰ ὁλοκαυτώματα αὐτῶν καὶ αἱ θυσίαι ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου, ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν. Ἔδειξεν ὡς οὐκ Ἰουδαίων μόνων ἐστὶ θεὸς ἀλλὰ καὶ ἐθνῶν ὁ τῶν ὅλων θεός· πάντων γὰρ ὑπάρχων δημιουργὸς πάντων προμηθεῖται παραπλησίως. Διά τοι τοῦτο καὶ νομοθετῶν ἔλεγεν Ἰουδαίο ις κα ὶ ἀγαπ ᾶν «τὸν προσήλυτον, ὅτι προσήλυτοι ἦτε ἐν γῇ Αἰγύπτῳ.» Ἐνταῦθα μέντοι διὰ τῶν ἀλλογ ενῶν τῶν κατὰ τὸν παλαιὸν πολι τευομένων νόμον πᾶσι τοῖς ἔθνεσιν ἀνοίγνυσι τῆς σωτηρίας τὴν θύραν. Οὕτω τοῖς ἀλλογενέσι καὶ τοῖς εὐνούχοις ἐπαγγειλάμενος προλέγει Ἰουδαίοις τὴν ἐσχάτην πολιορκίαν τὴν ὑπὸ Ῥωμαίων γεγενημένην. 8Εἶπε κύριος ὁ συνάγων τοὺς διεσπαρμένους τοῦ Ἰσραήλ, ὅτι συνάξω ἐπ' αὐτὸν συναγω γήν, 9πάντα τὰ θηρία τὰ ἄγρια. Σαφῶς ἔδειξεν ὡς τὴν ἐσχάτην προαγορεύει πολιορκίαν· μετὰ γὰρ τὴν τῶν διεσπαρμένων συναγωγὴν καὶ τὴν ἐπάνοδον τὴν τῶν θηρίων ἠπείλησε στρατιάν· ἄγρια δὲ θηρία καλεῖ διὰ τὴν προτέραν ἀσέβειαν· αἰνίττεται δὲ καὶ τὸ ὠμὸν αὐτῶν καὶ ἀνήμερον. Καὶ ὁ μακάριος Δανιὴλ τὸ τελευταῖον θηρίον φοβερὸν λέγει εἶναι καὶ ἔκθαμβον περισσῶς, τοὺς ὀ δόντας φοβεροὺς ἔχον καὶ τοὺς ὄνυχας χαλκοῦς, ἐσθίον καὶ λεπτῦνον καὶ τὰ λοιπὰ τοῖς ποσὶ συμπ ατοῦν . Δεῦτε φάγετε πάντα τὰ θηρία τοῦ δρυμοῦ. Ἐκ διαφό ρων ἐθνῶν ἡ Ῥωμαϊκὴ συνείλεκτο στρατιά· τῆς γὰρ Εὐρώπης ἁπάσης τηνικαῦτα κρατοῦντες καὶ τῆς Ἀσίας ὑποχείρια τὰ πλεῖστα πεποιηκότες πανταχόθεν εἶχον συνειλεγμένους λογάδας. Διὰ τοῦτό φησιν ὁ προφητικὸς λόγος· Δεῦτε φάγετε πάντα τὰ θηρία |171 b| τοῦ δρυμοῦ. Τινὲς μέντοι εἰς τὸν Γὼγ καὶ Μαγὼγ ταῦτα ἔλαβον, οὐ προσεσχηκότες ὅτι ἐκεῖνοι μὲν θε ηλάτοις πληγαῖς ἐν τοῖς τῆς Ἰουδαίας καταναλώθησαν ὄρεσιν οἱ δὲ νῦν καλούμενοι εἰς τὸ φαγεῖν ἑτέρους ἐγείρονται. Εἶτα τὸν παράνομον τῶν Ἰουδαίων ἐξηγεῖται βίον· 10Ἴδετε ὅτι ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν φρόνησιν. Τοσαύτη δὲ αὐτῶν ἡ τυφλότης ὡς ἐν σταθηρᾷ μεσημβρίᾳ μὴ ἐπιγνῶναι τῆς δικαιοσύνης τὸν ἥλιον. Πάντες κύνες ἐνεοί, οὐ δυνάμενοι ὑλακτεῖν. Κατὰ μὲν γὰρ τῶν δαιμόνων οὐχ ὑλάκτουν ἀλλὰ περισαίνοντες τοὺς πολεμίους ὡς εὐεργέτας ἐδέχοντο, κατὰ δὲ τοῦ τροφέως καὶ σωτῆρος ὑλάκτουν. Ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυσταγμόν. Ἐπέμεινε τῇ τροπῇ τὸ ῥάθυμον ἐξελέγχων τῆς γνώμης. 11Καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ καὶ οὐκ εἰδότες πλησμονήν. Ἐναντίον εἶναί πως δοκεῖ· εἰ γὰρ οὐχ ὑλακτοῦσιν ἀλλὰ διηνεκῶς καθεύδουσιν, πῶς ἀναίδειαν ἔχουσιν; Ἀλλ', ὅπερ ἔφην, κατὰ μὲν τῶν πολεμίων οὐχ ὑλάκτουν, κατὰ δὲ τοῦ δημιουργοῦ τὴν ἀναίδειαν ἔδειξαν κόρον οὐ λαμβάνοντες τῆς πονηρίας. Καί εἰσι πονηροὶ καὶ οὐκ εἰδότες σύνεσιν, πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ πλεονέκτημα ἀπ' ἄκρου αὐτοῦ. Τὸ πλεονέκτημα Ἀκύλας καὶ Θεοδοτίων καὶ Σύμμαχος «πλεονεξίαν» ἡρ μήν ευσαν. Κατηγορεῖ δὲ αὐτῶν ὁ λόγος ὅτι τὴν θείαν καταλιπόντες ὁδὸν εἰς πολυσχιδεῖς ἐπλανήθησαν ἀτραπούς· ἕκαστος γὰρ ὥδευεν ὡς ἐβούλετο τὴν πλεονεκτικὴν αἱρούμενος γνώμην. 12Δεῦτε λάβωμεν οἶνον καὶ οἰνοφλυγήσωμεν μέθῃ, καὶ ἔσται τοιαύτη ἡμέρα αὔριον μεγάλη περισσῶς σφόδρα. Ταῦτα αὐτοὶ π ρὸς ἀλλήλους ἔλεγον οἰνοφλυγίᾳ καὶ γαστρι μαργίᾳ δουλεύοντες καὶ νομίζοντες τὴν τρυφὴν πάν των αὐτοῖς πρόξενον ἔσεσθαι ἀγαθῶν. 571Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἀνὴρ ἐκδέχεται τῇ καρδίᾳ. Τὸν δεσποτικὸν ἐνταῦθα σταυρὸν προεσήμηνεν· δίκαιον γὰρ τὸν δεσπότην ὀνομάζει Χριστόν, ὃς «ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ». Σημαίνει δὲ κατὰ ταὐτὸν καὶ τῆς τῶν ἐσταυρωκότων καρδίας τὴν πώρωσιν· οὐδεὶς γὰρ αὐτῶν φησι συνιδεῖν ἐβουλήθη τὸ ἔγκλημα. Καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Μετὰ γὰρ τὸν δεσπότην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Χριστὸν καὶ κατὰ τῶν ἱερῶν ἀποστόλων παραπλησίως ἐλύττησαν καὶ τὸν μὲν θεσπέσιον κατέλευσαν Στέφανον, ἀπέτεμον δὲ τὸν θειότατον Ἰάκωβον, τὸν δὲ ἐπ' ἄκρᾳ δι καιοσύνῃ , τὸν πολυθρύλητον, τὸν μέγαν Ἰάκωβον ὦσαν μὲν ἀπὸ τοῦ πτερυγίου τοῦ ναοῦ, κατενεχθέντα δὲ ξύλοις παίοντες τῷ θανάτῳ παρέδωκαν. Ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος· 2ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ μέσου. Περὶ τοῦ δεσπότου ταῦτα λέγει Χριστοῦ καὶ δηλοῖ κατὰ ταὐτὸν τό τε ἄδικον τῆς σφαγῆς καὶ τὴν μετὰ θάνατον νίκην· ὁ γὰρ θάνατος αὐτοῦ τὰς πρὸς τὸν θεὸν ἡμῖν καταλλαγὰς ἐδωρήσατο, αὐτὸς δὲ τὸν τάφον καταλιπὼν εἰς οὐρανοὺς ἀνελήφθη. 3Ὑμεῖς δὲ προσ<αγ>άγετε ὧδε υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. Ἐξέβαλεν αὐτοὺς τῆς συγγενείας τοῦ Ἀβραάμ. Τοῦτο καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖ ς εὐαγγε λίοις πεποίηκεν· λεγόντων γὰρ ἐκείνων· «Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ» ὑπολαβὼν ὁ κύριος ἔφη · «Εἰ τέκνα Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ πατρός μου· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν», καὶ πάλιν· «Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς.» Οὕτω κἀνταῦθα σπέρμα μοιχῶν καὶ πόρνης αὐτοὺς ὀνομάζει· καὶ γὰρ ἐν τοῖς προοιμίοις τῆς προφητείας πόρνην τὴν πόλιν ὠ νόμασεν · «Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών.» Κατηγορεῖ δὲ αὐτῶν μοιχείαν οὐ μόνην τὴν τῶν γάμων ἀλλὰ καὶ τὴν τῶν δογμάτων διαφθοράν· τῷ γὰρ θεῷ συνῆφθαι δοκοῦντες λάθρᾳ τοῖς δ αίμοσιν ἐδού λευον, καὶ μοιχεία ἦν ἄντικρυς τὸ γινόμενον. 4Ἐν τίνι ἐτρυφήσατε; Καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; Καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Σαφῶς διὰ τῶν εἰρημένων τὰς ὑπ' αὐτῶν γεγενημένας κατὰ τοῦ δεσπότου βλασφημίας ἐλέγχει· πλάνον γὰρ αὐτὸν ἐκάλουν καὶ δαιμονῶντα καὶ Σαμαρίτην καὶ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν τὰ δαιμόνια. Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον, 5οἱ παρακαλοῦντες ἐπὶ τὰ εἴδωλα ὑπὸ δένδρα δασέα, |172 a| σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάρα<γ>ξιν ἀνὰ μέσον τῶν πετρῶν 6καὶ ἐν τοῖς μέρεσι τῆς φάραγγος; Ἐπειδὴ γὰρ ὡς ἀντίθεον δῆθεν τὸν δεσπότην τῷ ξύλῳ προσήλωσαν ζῆλον ὡς ἐνόμιζον ὑπὲρ τοῦ τεθεικότος τὸν νόμον ὑποδεικνύ μενοι, εἰς καιρὸν αὐτοὺς τῆς δεισιδαιμονίας ἀνέμνησεν· Οὐ διηνεκῶς φησι τοῖς εἰδώλοις διατελεῖτε λατρεύοντες καὶ τὰ ἄλση περινοστοῦντες καὶ ἐν ταῖς φάραγξι τὰ τέκνα τοῖς δαίμοσι καταθύοντες; Νῦν τῷ ὑπὲρ τοῦ νόμου ἐπυρσεύθητε ζήλῳ καὶ κατὰ τοῦ νομοθέτου κεκινήκατε τοῦτον οἱ ἐπὶ τῶν εἰδώλων «κύνες ἐνεοί», ἐπὶ τοῦ ςωτῆρος καὶ εὐεργέτου «κύνες ἀναιδεῖς τῇ ψυχῇ». Ἐκείνη σου ἡ μερίς, οὗτός σου ὁ κλῆρος, κἀκείνοις ἐξέχεας σπονδὰς καὶ τούτοις ἀνήνεγκας θυσίας· ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; λέγει κύριος. Τὴν πολύθεον αὐτῶν ἐναργῶς ἐδήλωσε πλάνην· οὐ γὰρ δύο φησὶν ἢ τρισὶν ἀλλὰ παμπόλλοις ἐδουλεύσατε δαίμοσι καὶ ἐκείνοις μὲν σπονδὰς τούτοις δὲ θυσίας προσενηνόχατε καὶ τὸν θεῖον κλῆρον καταλιπόντες ἐκείνους ἔχειν ἠβουλήθητε κλῆρον. Διὰ τοῦτο δικαίαν ὑμῖν τιμωρίαν ἐποίσω. 7Ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον ἐκεῖ σου ἡ κοίτη. Τὰς προσεδρείας καὶ τὴν ἀνάπαυλαν κοίτην ὠνόμασεν. Καὶ ἐκεῖ ἀνεβίβασας θυσίας 8καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνόν σου. Τὴν πολλὴν αὐτῶν ἀσέβειαν καὶ διὰ τούτων διδάσκει· οὐ γὰρ μόνον ἐν τοῖς ὄρεσιν ἐπλανῶντο, ἀλλὰ καὶ ἐν ταῖς οἰκίαις τοῖς εἰδώλοις ἐδούλευον. Μνημόσυνον δὲ καλεῖ τὸ τῆς κατηγορίας ἀνά γραπτον. Ὤου ὅτι, ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλέον τι ἕξεις. Τοῦτο σαφῶς ἡμᾶς ὁ μακάριος Ἱερεμίας διδάσκει· εἰσάγει γὰρ τὰς γυναῖκας αὐτῶν καὶ αὐτοὺς λέγοντας ὅτι, ἐξ οὗ ἀπέστημεν τῆς τῶν εἰδώλων δουλείας, κατέλαβεν ἡμᾶς τὰ κακά. Ἐπλάτυνας τὴν κοίτην σου καὶ ἔθου σαυτῇ παρ' αὐτῶν. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· Ἐπλάτυνας τὴν κοίτην σου καὶ συνδιαθήκους ἐποίησάς σ οι .» Ἀντὶ τοῦ· πολλοῖς συνήφθης δαίμοσι καὶ τοῖς ἐκείνων ἠκολού θησας νόμοις καὶ συνέθου δουλεύειν ἑκάστῳ. Καὶ αὐτὸς δὲ ὁ τῶν ὅλων θεὸς τὸν ἔννομον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξηγούμενος γάμον διὰ τοῦ προφήτου Ἰεζεκι ήλ φησιν· «Καὶ εἰσῆλθον ἐν διαθήκῃ μου πρὸς σέ» ἀντὶ τοῦ· Προικῶν γραμματεῖον μεταξὺ ἡμῶν διετέλεσ α · καλεῖ δὲ διαθήκην τὸν νόμον. Ἠγάπησας τοὺς κοιμωμένους μετὰ σοῦ 9καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν. Ὡς ἐπὶ γυναικὸς ἀκολάστου καὶ ταῦτα εἴρηκε τὴν πολλὴν αὐτῆς διδάσκων ἀσέβειαν. Καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ. Ὁ δὲ Σύμ μαχος καὶ ὁ Θεοδοτίων οὕτως· «Καὶ ἐπλήθυνας τὰ μυρέψιά σου.» Οὕτω δὲ προσηγόρευσε τὴν τῶν εἰδώλων κατασκευήν· καθάπερ γὰρ τὸ συγκείμενον μύρον ἐκ πολλῶν εἰδῶν ἐρανίζεται διὰ τῆς τέχνης τὴν εὐκοσμίαν, οὕτω καὶ τὰ εἴδωλα ἐκ πολλῶν ὑλῶν καὶ τεχνῶν δέχεται τὴν κατα σκευήν. Καὶ οἱ Ἑβδομήκοντα δὲ εἰκότως μακρὰν ὠνόμασαν· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; Πόρρω δὲ αὐτοὺς καὶ ὁ νόμος ἐποίει. Καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου. Ποτὲ μὲν γὰρ Αἰγυπτίοις ποτὲ δὲ Ἀσσυρίοις προσέ φευγον. Καὶ ἐταπεινώθη<ς> ἕως ᾅδου. Τοῦτον ἔσχες ἐκ τῆς τῶν εἰδώλων θεραπείας καρπόν. 10Ταῖς πολυοδίαις σου ἐκοπίασας καὶ οὐκ εἶπας· Παύσομαι ἐνισχύουσα. Ἐπὶ πολύ φησιν ἐπλανήθης καὶ παῦλαν τῆς πλάνης λαβεῖν οὐκ ἠθέλησας. Ἔπραξας ταῦτα, διὰ τοῦτο οὐ κατεδεήθης μου. Ἐμὲ κατέλιπες, τοὺς δαί μονας ἐθεράπευσας, ἀνθρωπίναις ἐπικουρίαις ἐθάρρησας καὶ κόρον οὐκ εἴληφας τῶν κακῶν. 11Τίνα εὐλαβηθεῖσα ἐφοβήθης καὶ ἐψεύσω με καὶ οὐκ ἐμνήσθης μου οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιάν σου οὐδὲ εἰς τὴν καρδίαν σου; Ἡνίκα τοῖς εἰδώλοις ἐδούλευες, οὐκ ἐδεδίεις τὸν νομοθέτην· ὅτε δὲ παρεγενόμην ἐγώ, ἐφοβήθης φόβον, οὗ οὐκ ἦν φόβος, καὶ τὰς περὶ ἐμοῦ προρρήσεις λαβεῖν εἰς νοῦν οὐκ ἠθέλησας. Καὶ ἐγώ σε ἰδὼν παρορῶ. Πολιορκουμένῃ γάρ σοι οὐδε μίαν παρέξω βοήθειαν. Καὶ ἐγώ εἰμι ὁ ἀπ' αἰῶνος. Οὐδὲ γὰρ ἄλλος εἰμὶ παρ' ἐκεῖνον τὸν τῆς Αἰγυπτίων σε δουλείας ἐλευθερώσαν τα , τ ὸν διὰ θαλάττης πεζεῦσαι παρα σκευάσαντα, τὸν τὰ μυρία ἐργασάμενον θαύματα. 12Καὶ ἐγὼ ἀπαγγελῶ |172 b| τὴν δικαιοσύνην μου καὶ τὰ κακά σου ἃ οὐκ ὠφελήσει σε. Καὶ τὰς ἐμὰς εὐεργεσίας δείκνυμι καὶ τὴν σὴν ἀγνωμοσύνην ἐλέγξω. 13Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας ἄνεμος λήψεται, καὶ ἀποίσει καταιγίς. Οὐ γὰρ μόνον σοὶ βοηθείας οὐ μεταδώσουσιν ἀλλὰ καὶ αὐτοὶ φροῦδοι ἔσονται, τουτέστι τὰ εἴδωλα. Οἱ δὲ ἀντεχόμενοί μου κτήσονται τὴν γῆν καὶ κληρονομή σουσι τὸ ὄρος μου τὸ ἅγιον. Καὶ μαρτυρεῖ τοῖς λόγοις τὰ πράγματα· οἱ γὰρ εἰς αὐτὸν πεπιστευκότες καὶ τὴν Ἱεροσολύμων κατέχουσι πόλιν καὶ ἐν ἁπάσαις ταῖς πόλεσιν ἀξιοῦνται τιμῆς. 14Καὶ ἐροῦσιν· Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδοὺς καὶ ἐξάρατε τὰ σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. Οἱ γὰρ τῆς ἀληθείας κήρυκες λείαν ἐργάσονται τοῖς πιστεύουσι τὴν εὐθεῖαν ὁδόν, καὶ τὰ ἀρέσκοντα τῷ θεῷ ἐπιδεικνύντες καὶ τῶν ἐναντίων ἀποτρέ ποντες. Ταῦτα γὰρ ἐκάλεσε çκῶλα, ὁ δὲ Σύμμαχος ταῦτα ἔφη «προσκόμματα». 15Ὅτι τάδε λέγει ὁ ὕψιστος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, ὁ αἰώνιος, ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, κύριος ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν καὶ ζωὴν διδοὺς τοῖς συντετριμμένοις τὴν καρδίαν καὶ ζωῶσαι καρδίας τεθλασμένων. Τὴν παν τοδαπὴ<ν> αὐτοῦ κηδεμο νίαν ἔδειξεν· ἐν ὑψηλοῖς γὰρ κατοικῶν τὰ ταπεινὰ ἐφορᾷ καὶ ἅγιος ὢν ἀνα παύ εται μὲν ἐν ἁγίοις, τοῖς δὲ ὀλιγοψύχοις προσφέρει παραψυχὴν καὶ τοὺς τὰς καρδίας συντετριμμένους εἰς ζ ωὴν ἐπανάγει. Οὐ γὰρ μόνον δικαίων ἐπιμελεῖται ἀλλὰ καὶ τοὺς εἰς τὸ βάραθρον τῆς κακίας ἐκ κομι σθέντας ἀνακαλεῖται καὶ τοῖς κακῶς τὰς ψυχὰς διακειμένοις ἰατρείαν προσφέρει παντο δαπή ν. 16Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν. Πλεῖστοι τῶν τὸν κύριον ἐσταυρωκό των διὰ τοῦ κηρύγματος τῶν ἀποστόλων ἐπίστευσαν καὶ τῆς σωτηρίας ἀπήλαυσαν. Τούτου χάριν καὶ σταυρούμενος ὁ κύριος ἔφη· «Πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν.» Ἐκ τούτων ὁ μακάριος Παῦλος, ἐκ τούτων οἱ τρισχίλιοι καὶ αἱ πολλαὶ μυριάδες· τούτοις ὑπισχνεῖται συγγνώμην. Πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. Τοῦ ἐμφυσήματος ἐμνημόνευσε δι' οὗ τοῦ Ἀδὰμ ἐδημιούργησε τὴν ψυχήν· «Ἐνεφύσησε» γάρ φησιν «εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.» Ἐπειδὴ τῶν ἁπάντων φησ ὶν ὑπάρχω δημιουργός, φιλανθρώπως τοὺς ὑπ' ἐμοῦ γεγενημένους οἰκονομῶ. 17Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν καὶ ἐπάταξα αὐτὸν καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς τῆς καρδίας αὐτοῦ. 18Τὰς ὁδοὺς αὐτοῦ ἑώρακα καὶ ἰασάμην αὐτὸν καὶ παρεκάλεσα αὐτὸν καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινὴν καὶ τοῖς παθεινοῖς αὐτοῦ 19κτίζων καρπὸν χειλέων. Ὁ δὲ Σύμμαχος καὶ ὁ Ἀκύλας ἀντὶ τοῦ· τοῖς παθεινοῖς, «τοῖς πενθοῦσιν αὐτόν» εἰρήκασιν. Τῆς μετανοίας ὁ δεσπότης θεὸς ἔδειξε τὴν ἰσχύν. Θεασάμενος γάρ φησι τὴν μεταμέλειαν καὶ τῶν λογισμῶν τὴν μεταβολὴν καὶ τοῦ προσώπου τὸ σκυθρωπὸν καὶ αὐτοὺς ψυχαγωγίας ἠξίωσα καὶ τοὺς πενθοῦντας αὐτούς· ἐπένθουν δὲ αὐτοὺς τῆς ἀληθείας οἱ κήρυκες, ὁ δὲ μακάριος Παῦλος καὶ ἀνάθεμα ηὔχετο ὑπὲρ τούτων γενέσθαι. Ταῦτα δ ὲ πεποίηκεν ὁ κτίζων καρπὸν χειλέων, τουτέστιν ὁ τὴν θυσίαν τῆς αἰνέσεως ἀντὶ τῆς νομικῆς λατρείας ἅπαι τῶν. Εἰρήνην ἐπ' εἰρήνην τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι, καὶ εἶπε κύριος· Ἰάσομαι αὐτούς. Τούτοις μὲν οὖν τὴν πρὸς αὐτοὺς εἰρήνην ἐπαγγέλλεται καὶ ταύτην ὑπισχνεῖται ποιήσειν μόνιμόν τε καὶ διαρκῆ καὶ τῆς ἰάσεως αὐτοῖς χαριεῖσθαι τὸ δῶρον, τοῖς δὲ ἐπὶ τῆς προτέρας μεμενηκόσιν ἀδικί ας ἀπειλεῖ χαλεπά· 20Οἱ δὲ ἄδικοι ὡς θάλασσα ἀναβρασσομένη οὕτως κλυδωνισθήσονται καὶ ἀναπαύσα σθαι οὐ μὴ δύνωνται. Τοῦτον αὐτῶν τὸν κλύδωνα λίαν ἀκριβῶς ὁ Ἰώ σηπος ἱστορεῖ. Ὅτι ἀποβάλλεται τὸ ὕδωρ αὐτῆς καταπάτημα καὶ πηλός. Ὕδωρ καλεῖ τὴν δι δασκα λ ίαν. Ἐπειδὴ τοίνυν τἀναντία τοῖς προφήταις ἐδίδασκον καὶ τὸ διειδὲς τῶν πνευματικῶν ναμάτων ἐθόλ ουν, πηλῷ ταύτην παραπλησίως ἔσεσθαι ἀπειλεῖ. 21Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν |173 a| ὁ θεός. Ταῦτα δὲ ποιῶ, ἐπειδήπερ οὐ δίκαιον τῆς δικαιοσύνης τὸν νομοθέτην ἴσου ἀξιοῦν τούς τε τῆς εὐσεβείας τροφίμους καὶ <τοὺς> τῇ δυσσεβείᾳ προστετηκότας. Ἐντεῦθεν εἰς ἑτέραν ὑπόθεσιν ὁ προφητικὸς μεταβαίνει λόγος καὶ τοῖς τηνικαῦτα οὖσιν ἀνθρώποις παραινεῖ τὰ συνοίσοντα· 581Ἀναβόησον ἐν ἰσχύι καὶ μὴ φείσῃ καὶ ὡς σάλπιγγος ὕψωσον τὴν φωνήν σου καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν καὶ τῷ οἴκῳ Ἰσραὴλ τὰς ἀνομίας αὐτῶν. Τὰς τοῦ λαοῦ παρανομίας ἐλέγξαι τῷ προφήτῃ παρεγγυᾷ τῶν ὅλων ὁ κύριος καὶ μὴ κρύβδην τοῦτο καὶ λάθρᾳ ποιῆσαι ἀλλ' ἀναφανδὸν δρᾶσαι παρακε λεύεται μεγάλῃ χρώμενον τῇ φωνῇ. 2Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι καὶ γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν ὡς λαὸς δικαιοσύνην πεποιηκὼς καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. Πονηρίᾳ συζῶντες τῆς παρ' ἐμοῦ τυχεῖν ἀξιοῦσι προνοίας καὶ οὐ λογίζονται ὡς ἀναξίους σφᾶς αὐτοὺς τῆς ἐμῆς καταστήσαντες κηδεμονίας ταύτης οὐκ ἀπολαύσονται. Αἰτοῦσί με νῦν κρίσιν δικαίαν καὶ ἐγγίζειν θεῷ ἐπιθυμοῦσι 3λέγοντες· Τί ὅτι ἐνηστεύσα μεν καὶ οὐκ εἶδες, ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ οὐκ ἔγνως; Ἄκραν νομίζουσιν ἀρετὴν τῶν βρωμάτων τὴν ἀποχὴν καὶ ἐπιμέμφονταί μοι μὴ παραυτίκα πάσης αὐτοὺς ἀξιοῦντι προνοίας. Τὸ δέ· Ἐγγίζειν θεῷ ἐπιθυμοῦσιν, ὁ Σύμμαχος οὕτως ἔφη· «Ἐγγύτητα θεοῦ θέλουσιν», ὁ δὲ Ἀκύλας· «Ἐγγισμὸν θεοῦ βούλονται.» Δηλοῖ δὲ ὁ λόγος ὡς οὐκ αὐτοὶ ἐγγίζειν ἐπεθύμουν τῷ θεῷ ἀλλ' αὐτὸν αὐτοῖς ἐγγίζειν διὰ τῆς προμηθείας καὶ κηδεμονίας ἐβούλοντο ἀνάξιον αὐτοῦ βίον αἱρούμενοι. Εἶτα διαρρήδην αὐτῶν τὰς παρανομίας ἐλέγχει· Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε. Τὴν γὰρ τῆς νηστείας σχολὴν οὐκ ἀφορμὴν ποιεῖσθε μεταμελείας ἀλλὰ ταύτην εἰς τὴν τῶν ὀφειλόντων εἴσπραξιν ἀναλίσκετε. Οὕτω γὰρ καὶ ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· «Καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ἀπαιτεῖτε.» 4Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε πυγμαῖς ταπεινόν, ἵνα τί μοι νηστεύετε ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; Ἔοικε κατ' αὐτὸν τῆς προφητείας τὸν καιρὸν τοιοῦτόν τι γενέσθαι. Τοῦτο γὰρ καὶ ὁ λόγος αἰνίττε ται· ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν. 5Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. Οὐ τοῦτον οἶδα νηστείας ὅρον ἐγώ· ἄλλως γὰρ νηστεύει ν ἐνομοθέτησα. Ἀναμνήσθητε τῶν διὰ τοῦ θεράποντός μου Μωυσῆ εἰρη μένων· «Κακώσατε» γὰρ εἶπον «τὰς ψυχὰς ὑμῶν.» Ὁ δὲ ταπεινούμενος οὐ κατεπαίρεται τῶν ταπεινῶν οὐδὲ καταδυναστεύει τῶν ἀδυνάτων. Οὐδ' ἂν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου καὶ τοῦ κλοιοῦ τὸ καμπύλον μιμήσῃ καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' ὣς καλέσετε νηστείαν καὶ ἡμέραν δεκτὴν τῷ κυρίῳ. 6Οὐχὶ τοιαύτη ἡ νηστεία, ἣν ἐγὼ ἐξελεξάμην; λέγει κύριος. Οὐ τὸ ἔξωθέν φησι φαινόμενον σχῆμα ζητῶ· «Θυσία» γὰρ «τῷ θεῷ πνεῦμα συντετριμμένον.» Οὕτως ἐλέγξας τὰ παρανόμως γιγνόμενα τὸ πρακτέον νομοθετεῖ· Ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων. Διάρρηξον τοὺς τῆς ἀδικίας δεσμούς· ὅσα τῶν συμβολαίων οὐκ ἔχει τὸ δίκαιον ὡς ἐπιζήμια λῦσον. Ἀπόστελλε τεθραυσμένους <ἐν ἀφέσει καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. Τὸ τεθραυσμένους> «τεθλασμένους» ὁ Σύμμαχος εἴρηκεν. Τουτέστι· τοὺς πενίᾳ συζῶντας ἐλευθέρωσον φροντίδος, δὸς τὴν ἄφεσιν καὶ λῦσον τὴν μέριμναν. 7Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλε καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψῃ. Τῶν ἀδίκων κερδῶν ἀπαγορεύσας τοὺς πόρους τῶν δικαίως συνειλεγμένων τὴν οἰκονομίαν διδάσκει καὶ λέγει τοῖς μὲν τροφὴν χορηγεῖν τοῖς δὲ στέγης μετα διδόναι τοὺς δὲ περιβάλλειν καὶ μνημονεύειν τῆς φύσεως καὶ τὴν συγγένειαν εἰς νοῦν λαμβ άνειν . 8Τότε |173 b| ῥαγήσεται πρώιμον τὸ φῶς σου. Ποθεινὸν μέν ἐστι τὸ φῶς, ποθεινότερος δὲ ὁ ὄρθρος μετὰ τὴν νύκτα φαινόμενος. Τοῦτο πρώιμον προσηγόρευσε φῶς. Οὕτω γὰρ καὶ ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος ἔφασαν· «Τότε ῥαγήσεται ὡς πρωία τὸ φῶς σου», ὁ δὲ Ἀκύλας· «Τότε σχισθήσεται ὡς ὄρθρος φῶς.» Καθάπερ γὰρ ὁ ὄρθρος τὴν ζοφώδη τῆς νυκτὸς διαρρήγνυσιν ἀμπεχόνην, οὕτω φησὶ τὴν νύκτα τῶν συμφορῶν οὗτος ὁ ἔννομός σου διαλύσει βίος καὶ τῆς ἐμῆς σοι προνοίας χορηγήσει τὸ φῶς. Καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. Ὀξεῖαν γάρ σοι χορηγήσω τὴν ἴασιν. Καὶ προπο ρεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε. Ἔδειξεν ὡς τὰ θεῖα τοῖς ἡμετέροις ἔργοις ἀκολουθεῖ. Τῆς γὰρ ἡμετέρας ἡγουμένης δικαιοσύνης ἕπεται τοῦ θεοῦ τῶν ὅλων ἡ δόξα περιβλέπτους ἡμᾶς ἀποφαίνουσα. 9Τότε βοήσῃ, καὶ ὁ θεὸς εἰσακούσεταί σου. Ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι. Μέγας ὁ τῆς δικαιοσύνης μισθός· τὴν γὰρ πρὸς τὸν θεὸν ἡμῖν παρρησίαν χαρίζεται. Τὸ δέ· Ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι, οὐ φωνήν τινα σημαίνει ἀλλὰ τὴν διὰ τῶν πραγμάτων ἐνέργειαν· δι' αὐτῶν γάρ φησι μαθήσῃ τῶν πραγμάτων ὅτι πάρεστί σοι ὁ παρακληθεὶς παρὰ σοῦ θεός. Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ 10καὶ δῷς πεινῶντι ἄρτον ἐκ ψυχῆς σου καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς. Σύνδεσμον τὰς ἀδί κους καλεῖ πλοκάς, χειροτονίαν δὲ τὴν ἄδικον τῶν χειρῶν κίνησιν ἢ ἐπὶ πληγαῖς γιγνομένην ἢ ἐπὶ γράμμασιν. Τὸν δὲ γογγυσμὸν καὶ ὁ μακάριος ἀπαγορεύει Παῦλος· «Πάντα» γάρ φησι «ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν.» Τοῦτο δὲ καὶ ὁ προφητικὸς ἡρμήνευσε λόγος· Ἐὰν δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, τουτέστι μὴ βιαίως μὴ ἀναγκαστικῶς μηδὲ δυσχεραίνων μη δὲ διὰ δόξαν κενὴν ἀλλὰ διὰ τὴν περὶ τὸν πέλας φιλοστοργίαν. Τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου καὶ τὸ σκότος σου ὡς μεσημβρίαν. Μεταβαλῶ γάρ σου τὰς συμφορὰς καὶ ἐν αὐτῷ τῷ ζόφῳ καθαρόν σοι δείξω τὸ φῶς. 11Καὶ ἔσται ὁ θεός σου μετὰ σοῦ διὰ παντός, καὶ ἐμπλησθήσῃ καθὰ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται. Ἕξεις ἐπίκουρον τὸν θεὸν παρέχοντά σοι τῶν ἀ γα θῶν τὴν μετάληψιν. Ὀστᾶ δὲ τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λογισμοὺς τροπικῶς ἡγοῦμαι κεκλῆσθαι· οὗτοι γὰρ δέχονται τὴν εὐφροσύνην. Εἰ δὲ καὶ ἐπὶ τῶν ὀστῶν λάβοι τις τὴν θείαν ὑπόσχεσιν, οὐκ ἂν ἁμάρτοι τοῦ τῆς προφητείας σκοποῦ· διὰ γὰρ τῆς κατὰ ψυχὴν εὐφροσύνης καὶ τὸ σῶμα πιαίνεται· «Καρδία» γάρ φησιν «εὐφραινομένη θάλλει πρόσωπον.» Καὶ ἔσῃ ὡς κῆπος μεθύων καὶ ὡς πηγὴ ὕδατος ἣ<ν> μὴ ἐξέλιπεν ὕδωρ. Ἔδειξε διὰ τῶν εἰκόνων σαφέστερον τῶν ἀγαθῶν τὴν ὑπόσχεσιν. 12Καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια, γενεαῖς γενεῶν ἀναστήσεις. Οἰκοδομίαν οὐ τὴν αἰσθητὴν ἐνταῦθα καλεῖ ἀλλὰ τὴν πνευματικήν· πῶς γὰρ ἂν γένοιτο αἰσθητὴ οἰκοδομία αἰώνιος, τῶν ὁρωμένων μεταβαλλομένων ἁπάντων κατὰ τὸν τῆς συντελείας καιρόν; Τοῦτο δὲ καὶ τὸ ἀναστήσεις αἰνίττεται· αὕτη γὰρ ἡ οἰκοδομία μετὰ τὴν ἀνάστασιν δείκνυται. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Εἰ δέ τι ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν ἄργυρον λίθους τιμίους ξύλα χόρτον καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει.» Καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν ἢ κατὰ τοὺς Λοιποὺς Ἑρμηνευτὰς «διακοπῆς». Καὶ τὰς τρίβους τὰς ἀνὰ μέσον παύσεις. Ὁ γὰρ τῆς πλάνης τὰς ἀτραποὺς ἀποφράττων καὶ τὰς τοιαύτας ἀποτειχίζων διακοπὰς καὶ πάντοθεν ἑαυτὸν τειχίζων καὶ περιφράττων εἰκότως οἰκοδόμος φραγμῶν ὀνομάζεται. 13Ἐὰν ἀποστρέψῃς ἀπὸ τῶν σαββάτων τὸν πόδα ςου τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ καὶ καλέσῃς τὰ σάββατα τρυφερά, ἅγια τοῦ θεοῦ, δεδοξασμένα καὶ δοξάσῃς αὐτά, οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ σου οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου |174 a| 14καὶ ἔσῃ πεποιθὼς ἐπὶ κύριον. Τὸ φιλόνεικον καὶ ἐριστικὸν τῆς τῶν Ἰουδαίων γν ώμης ἐνταῦθα μανθάνομεν. Ἡνίκα γὰρ ἔδει φυλάττειν τὸν νόμον, ἀδεῶς τοῦτον παρέβαινον. Καὶ τοῦτο ἐλέγχει τῆς προφητείας ὁ λόγος· ὡς γὰρ μὴ τιμῶσιν ἀργίᾳ τὸ σάββατον τοῦτο κελεύει ποιεῖν. Νῦν δὲ τοῦ νόμου λυθέντος φυλάττειν φιλονεικοῦσι τὸν νόμον, ὥσπερ διὰ τοῦτο καὶ παραβαίνοντες καὶ φυλάττοντες, ἵνα παροξύνωσι τὸν θεόν. Τούτου χάριν διὰ μὲν τοῦ Ἰεζεκιὴλ φησιν ὁ θεός· «Ὁ δὲ οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσιν», διὰ δὲ τοῦ Ὡσηέ· «Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾶν νεῖκος», τουτέστιν ἐρι στική, φιλόνεικος, τὸν ζυγὸν οὐ δεχομένη. Τρυφερὰ μέντοι καλεῖ τὰ σάββατα ὡς σωματικῶν πόνων ἀπηλλαγμένα. Διδάσκει δὲ καὶ τῆς ἀργίας τὸν τρόπον· Οὐ λαλήσεις γάρ φησι λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου καὶ ἔσῃ πεποιθὼς ἐπὶ κύριον· ὥστε τῇ τῶν κακῶν ἀργίᾳ τιμᾶσθαι κελεύει τὸ σάββατον, προσέχειν δὲ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ. Οὗ δὴ χάριν καὶ τοῖς ἱερεῦσι διπλάσιον ἐπιτίθησι πόνον· διπλᾶ γὰρ προσέφερον τὰ θύματα· ἀνάγκη δὲ ἦν καὶ θύειν τὰ ἱερεῖα καὶ πλύνειν τὰ κρέα καὶ τῷ βωμῷ προσφέρειν καὶ πῦρ ἅπτειν καὶ τῷ πυρὶ ὀρέγειν τὴν τῶν ξύλων τροφήν. Καὶ ἡ ἀνάγνωσις δὲ τῶν θείων λογίων πλεῖον ἐγίγνετο καὶ ἡ ὑμνῳδία καὶ ἡ προσευχή. Καὶ δι' ἁπάντων δείκνυται ὡς τῶν αἰσθητῶν αὐτοὺς ἀπάγων ὁ νόμος τοῖς πνευματικοῖς κατὰ τὴν ἡμέραν τῶν σαββάτων προσῆγεν· οὐ γὰρ ἠδύναντο τοῦτο διηνεκῶς δρᾶν σαρκικώτερον ζῶντες καὶ τῇ τοῦ σώματος θεραπείᾳ προστετηκότες. Καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς καὶ ψωμιεῖ σε τὴν εὐλογίαν Ἰακὼβ τοῦ πατρός σου. Καὶ ἡ βεβαίωσις τῶν εἰρημένων · Τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Ἀψευδής φησιν ὁ ὑποσχόμενος· δώσει σοι πάντως τῶν ἀγαθῶν τὴν μ ετάληψιν , καὶ τῆς προγονικῆς ἀπολαύσῃ προνοίας. 591Μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ ῥύσασθαι, ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; Τί φησιν ὑπολαμ βάνετε ἀσθενῆ με εἶναι ἢ ἀπηνῆ; Οὐ δύναμαι ἐπαμῦναι ἢ οὐ βεβούλ ημαι; 2Ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι. Ὁ παράνομος ὑμῶν βίος οὐκ ἐᾷ τῆς θείας ὑμᾶς ἀπολαῦσαι προνοίας. Εἶτα τούτου διδάσκει τὰ εἴδη· 3Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁμαρτίαις, τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. Διὰ πάντων τὰ κατὰ τοῦ σωτῆρος τυρευθέντα προλέγει. Τοῖς γὰρ χείλεσιν ἐμελέτησαν τὸν ἄδικον φόνον –»συμβούλιον» γάρ φησιν «ἔλαβον, ὅπως αὐτὸν ἀπολέ σωσιν»–, ταῖς δὲ χερσὶ συνεπέραναν τὴν βουλήν– συλλαβόντες γὰρ αὐτὸν παρέδωκαν τῷ Πιλάτῳ. 4Οὐθεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι χρίσις ἀληθινή, πεποί θασιν ἐπὶ ματαίοις καὶ λαλοῦσι κενά. Ἔρημοι καὶ δικαιοσύ νης καὶ ἀληθείας εἰσὶ καὶ θρασύτητι μόνῃ θαρροῦσι καὶ ματαίοις πρὸς ἀλλήλους κέχρηνται λόγοις. Ὅτι κύουσι πόνον καὶ τίκτουσιν ἀνομίαν. Κύησιν καλεῖ τοὺς λογισμούς, τόκον δὲ τὴν πρᾶξιν. Παράνομά φησι λογίζονται καὶ παρανόμως σπουδάζουσιν ἃ παρανόμως λογίζονται. Ἔνια μέντοι τῶν ἀντιγράφων οὕτως ἔχει· «Ὅτι κύουσι πόνον καὶ τίκτουσι μάταια.» Κακὰ γὰρ βουλευόμενοι σοὶ ἑαυτοῖς τεκταίνουσιν ὄλεθρον, οὐκ ἀδι κοῦσι τὸν ἐπιβουλευόμενον. 5Ὠὰ ἀσπίδων ἔρρηξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν. Τῇ εἰρημένῃ ἐκδόσει καὶ ταῦτα συμ β αίνει· ᾠοῖς γὰρ ἀσπίδων ἀπεικάζει τοὺς λογισμούς, ἱστῷ δὲ ἀράχνης τῆς κα κίας τὸ ἀ σθενές . Καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν ἐσθίειν συν τρίψας οὔριον εὗρε, καὶ ἐν αὐτῷ βασιλίσκος. Ὁ γὰρ δεσπό της Χριστός, ᾧ τὴν θηριώδη ταύτην ἐπιβουλὴν ἀπεκύησαν, ἀνεμιαῖον εὗρε καὶ οὔριον τὸ ᾠόν· βλάβην γὰρ ἐκεῖθεν οὐδεμίαν ἐδέξατο. Δῆλος δὲ ὅμως ὁ τῶν ἐπιβουλευόντων σκοπός· κατὰ γὰρ τὴν ἐκείνων γνώμην |174 b| ὅτι πικρότατον θηρίον ὁ βασιλίσκος ἐκ τῶν ᾠῶν ἐξῄει, ἡ δὲ τοῦ ἐπιβουλευομένου δύναμις καὶ τὸ ᾠὸν συνέτριψε καὶ οὔριον ἔδειξεν. Τοῦτο καὶ διὰ τῶν ἑξῆς δηλοῖ· 6Ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ἔργων τῶν χειρῶν αὐτῶν. Καθάπερ γὰρ τὰ ἀραχναῖα ὑφάσματα τὰ μὲν σμικρότατα θηρεύει ζῳύφια, ὑπὸ δὲ τῶν μειζόνων διασπᾶται ῥᾳδίως, οὕτως καὶ τὰ τούτων μηχανήματα ὁ ὑπ' αὐτῶν ἐπιβουλευθεὶς εὐπετῶς μάλα διέσπασεν. Τὰ γὰρ ἔργα αὐτῶν ἔργα ἀνομίας, καὶ ἔργον ἄδικον ἐν χερσὶν αὐτῶν. 7Οἱ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι ταχινοὶ ἐκχέαι αἷμα ἀναίτιον, καὶ οἱ διαλογισμοὶ αὐτῶν διαλογισμοὶ ἀφρόνων, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, 8καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασιν, οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν· αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην. Διὰ πάντων φησὶ παρα νομοῦσι τῶν μορίων τοῦ σώματος, διὰ τῶν χειρῶν, διὰ τῶν ποδῶν, διὰ τῆς γλώττης· ὁ δὲ λογισμὸς πρὸ τούτων παρανομεῖ, ἐξέπεσε γὰρ εἰς ἀφροσύνην, ὅθεν οὐδὲ τὴν εἰρήνην παραγενομένην ἐπέγνω. 9Διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη. Ἔρημοι γὰρ τῆς θείας κηδε μονίας ἐγένοντο. Ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν. Εὐημε ρίαν φησὶ προσμείναντες παρεδόθησαν δυσπραξίᾳ· φῶς γὰρ ἐνταῦθα τὴν εὐημερίαν καλεῖ, τὴν δὲ δυσκληρίαν σκότος ὀνομάζει. 10Ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσιν. Τούτοις καὶ τὰ πράγματα μαρτυρεῖ· ἀναγινώσκοντες γὰρ τὴν θείαν γραφὴν οὐχ ὁρῶσι τὴν ταύτης ἀλήθειαν καὶ τυφλοῖς ἐοίκασι ψηλαφῶσι μὲν τοῖχον οὐχ ὁρῶσι δὲ τοῦτον. Πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ. Τοῦτο πάν των ἀνιαρότατον· τοῦ γὰρ ἡλίου τῆς δικαιοσύνης πᾶσαν τὴν οἰκουμένην φωτίσαντος αὐτοὶ προσπταίουσι καὶ καταπίπτουσιν ὡς ἐν μέσῃ νυκτί. Ὡς ἀποθνήσκοντες στενάζουσιν. Οὕτως ἀνιαρὸν διαπορε ύσονται βίον ὡς καὶ τὴν ζωὴν αὐτῶν θανάτῳ προσεοικέναι. 11Ὡς ἄρκος καὶ ὡσεὶ περιστερὰ ἅμα πορεύσονται, τοῦ μὲν θηρίου τὸ ὠμοβόρον μιμούμενοι, τῆς δὲ περιστερᾶς τὴν ἀδολεσχίαν ἐν τοῖς θρήνοις δεικνύντες. Διδάσκει δὲ ὁ λόγος καὶ ὃ καθ' ἡμῶν ἔχουσι μῖσος καὶ ἣν περίκεινται ὀδύνην τὰ οἰκεῖα θεωροῦντες κακά. Εἶτα εἰς ἐξομολόγησιν αὐτοὺς καὶ μεταμέλειαν ὁ φιλάν θρωπος ἐκκαλούμενος διὰ τῆς προφητικῆς γλώττης τὸν τῆς ἐξομολογήσεως ὑποδείκνυσι τρόπον· Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστιν· σωτηρία μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. Ἠλπίσαμέν φησι τῆς σῆς ἀπολαύσασθαι προμηθείας καὶ τῆς ἐλπίδος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διημαρτήκαμεν. Καὶ τὴν αἰτίαν διδάσκει· 12Πολλὴ γὰρ ἡμῶν <ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. Οὐ σὺ ἡμῶν> ἠμέλησας, ἀλλ' ὁ παράνομος ἡμῶν βίος τῆς σῆς ἡμᾶς ἐπιμελείας ἐστέρησεν. Αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν, 13ἠσεβήσαμεν καὶ ἐψευσάμεθα ἐν κυρίῳ καὶ ἀπέστημεν ἀπ' ὄπισθεν τοῦ θεοῦ ἡμῶν, ἐλαλήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν, ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους 14καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν. Ταῦτα δὲ ὁ προφη τικὸς διεξέρχεται λόγος, τοὺς ὠφελεῖσθαι βουλομένους πα ρακαλῶν τούτοις τοῖς λόγοις τὸν δεσπότην ἱλεοῦσθαι ὅτι ἴσμεν ἡμῶν τὰ πλημμελήματα, ἔγνωμεν τὴν ἀσέβειαν, ἐψευσάμεθά σε τὸν δεσπότην ὑποσχόμενοι μὲν φυλάττειν σου τοὺς νόμους, τούτους δὲ παραβάντες, ἀντιλέγοντές σοι διετελέσαμεν, ἄδικα φθεγγόμενοι, ἄδικα λογι ζόμενοι, τὴν σὴν οὐ δειμαίνοντες κρίσιν, πόρρω τῆς δικαιοσύνης γινόμενοι. Εἶτα μετα βάλλει τοῦ λόγου τὸ σχῆμα καὶ τούτων αὐτῶν τὴν κατηγορίαν ποιεῖται· |175 a| Ὅτι καταναλώθη ἐν ταῖς ὁδοῖς ἡ ἀλήθεια. Φροῦδός φησιν ἐγένετο, τοῦ ψεύδους αὐτὴν κατακρύψαντος. Καὶ δι' εὐθείας οὐκ ἠδύναντο ἐλθεῖν. Τὴν γὰρ ἐναντίαν ὁδεύοντες διετέλεσαν. 15Καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι. Ἔδειξε πῶς ὑπεχώρησεν ἡ ἀλήθεια · συνιδεῖν γάρ φησι τὸ δέον οὐκ ἠβουλήθησαν ἀλλὰ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι τὸ πρακτ έον τε καὶ συμφέρον. Ἐγένετο ἡ ἀλήθεια ἐπιλεί πουσα, καὶ ὁ ἐκκλίνων ἀπὸ κακοῦ πολιορκούμενος. Οὕ τω γὰρ πόρρω τῆς ἀληθείας ἐγένοντο ὡς προφανῶς πολεμεῖν τοῖς ἀποστρεφομένοις τὴν πονη ρίαν καὶ τὰ ἀγαθὰ αἱρου μένοις. Καὶ εἶδε κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις, 16Καὶ εἶδε, καὶ οὐκ ἦν ἀνήρ, καὶ κατενόησε, καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος. Ἀπαρέσκει γὰρ τῷ δικαίῳ κριτῇ τὰ ἄδικα ἔργα οὐδὲ ἄνδρας καλεῖ τοὺς τούτων ἐργάτας· «ἄνθρωπος» γὰρ «ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.» Καὶ ἠμύνατο αὐτοὺς ἐν τῷ βραχίονι αὐτοῦ καὶ ἐν τῇ ἐλεημοσύνῃ αὐτοῦ ἐστηρίσατο. Ἀντὶ τῆς ἐλεημοσύνης οἱ Τρεῖς Ἑρμηνευταὶ «τὴν δικαιοσύνην» τεθείκασιν· δικαίαν αὐτο ῖς φησι τιμωρίαν ἐπήγαγεν. Βραχίονα δὲ τὴν ἐνέργειαν ὀνομάζει. Καὶ ἡ ἐλεημοσύνη δὲ τὸ χρήσιμον τῆς παιδείας διδάσκει· ἐπ' ὠφελείᾳ γὰρ ὁ τῶν ὅλων παιδεύει θεός. 17Καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως καὶ τὸ περιβόλαιον ζήλου 18ὡς ἀνταποδώσων ἀνταπόδοσιν, ὄνειδος τοῖς ὑπεναντίοις αὐτοῦ, ἄμυναν τοῖς ἐχθροῖς αὐτοῦ. Ὑπέδειξεν ἡμῖν ὁ προφητικὸς λόγος οἷόν τινα στρατηγὸν κατὰ πολεμίων καθωπλισμένον τὸν τῶν ὅλων θεόν. Τὸ δὲ εἶδος τῶν ὅπλων πνευματικῶς νοεῖν παρασκευάζει τὰ τροπικῶς εἰρημένα· τὸν θώρακα οὐκ ἐκ σιδήρου ἀλλ' ἐκ δικαιοσύνης πεποιημένον ἔδειξε καὶ τὴν περικεφαλαίαν ὡςαύτως σωτηρίαν ἐκάλεσε καὶ τὸ ἱμάτιον ἐκδικήσεως καὶ τὸ περιβόλαιον ζήλου, ἀντὶ τοῦ· δικαίως καὶ ἐπὶ σωτηρίᾳ τὴν τιμωρίαν ἐπάξει. Σωτήριος γὰρ αὐτοῦ καὶ ἡ κόλασις· πλειόνων γὰρ ἁμαρτημάτων τοὺς ἀναιρουμένους ἐλευθεροῖ. Εἶτα μετὰ ἀστερίσκων πρόσκειται· Ταῖς νήσοις ἀπόδομα ἀποτίσει. Τοὺς γὰρ Ἰουδαίους κο λάζων τοῖς ἔθνεσι λοιπὸν τὴν ἐπηγγελμένην εὐλογίαν προσοίσει καὶ ἀποτίσει ὅπερ τοῖς πατρι άρχαις ὑπέσχετο, ὑπέσχετο δὲ ἐν τῷ σπέρματι αὐτῶν εὐλογήσειν πάντα τὰ ἔθνη. Τοῦτο δὲ καὶ τὰ ἑξῆς σημαίνει· 19Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου καὶ οἱ ἀπὸ ἀνατολῶν ἡλίου τὸ ὄνομα αὐτοῦ τὸ ἔνδο ξον. Πᾶσαν δεδήλωκε τὴν ὑφ' ἡλίῳ διὰ τῶν ἀνατολῶν καὶ δυσμῶν. Διὰ τούτου δὲ τῶν ἐθνῶν ἁπάντων τὴν θεογνωσίαν θεσπίζει. Ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ κυρίου, ἥξει μετὰ θυμοῦ. Ὁρῶντες γὰρ οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην ἄνθρωποι, οἵας ἔδοσαν Ἰουδαῖοι δίκας ὑπὲρ ὧν κατὰ τοῦ σωτῆρος ἐτόλμησαν, προσκυνήσουσιν εἰκότως τὸν τὴν θείαν ἐπιδείξαντα δύναμιν. Εἶτα διδάσκει τίνος χάριν ἐπήγαγε τὴν ὀργὴν Ἰουδαίοις· 20Καὶ ἥξει ἕνεκεν Σιὼν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ, εἶπε κύριος. Πρὸς αὐτοὺς γὰρ πρώτους ὁ σωτὴρ παρεγένετο καὶ πρῶτον αὐτῶν ἐβουλήθη τὴν ἀσέβειαν λῦσαι. Τοῦτο δὲ καὶ αὐτὸς ἔλεγεν· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.» Καὶ μέντοι καὶ τοὺς ἀποστόλο υς πρὸς αὐτοὺς ἀπέστειλε πρώτους, ἔφη γὰρ πρὸς αὐτούς· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαριτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰακώβ.» 21Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, λέγει κύριος. Ταῦτα ἐπηγγειλά μην τε αὐτοῖς καὶ πεπλήρωκα. Τὸ πνεῦμα τὸ ἐμὸν ὅ ἐστιν ἐπὶ σοὶ καὶ τὰ ῥήματα ἃ δέδωκα εἰς τὸ στόμα σου <οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου> καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου, εἶπε κύριος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Στόμα μὲν ἐνταῦθα τὸ ἀποστολικὸν καλεῖ, σπέρμα δὲ ἀποστόλων τῆς ἐκ<είνων> διδασκαλίας τοὺς διδασκ άλους. Ὑπι σχνεῖται τοίνυν τὴν χάριν τοῦ πνεύματος τοῖς εἰς αὐτὸν πεπιστ ευκόσι .............. .... |175 b| ........ μέχ ρι τῆς τοῦ παρόντος αἰῶνος συντελείας τοῖς θείοις λόγοις ἐπεντρυφᾶν. Ταύτης τοίνυν τῆς χάριτο ς καὶ ἡμεῖς ἀπολαύοντες τὸν ταύτης χορηγὸν ἀνυμνήσωμεν ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 19 ΤΟΜΟΣ ΙΘ΄ 601Φωτίζου φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. Θαυμαζόντων ποτὲ τῶν ἱερῶν ἀποστόλων τῶν τοῦ ναοῦ λίθων τὸ μέ γεθος εἶπεν ὁ κύριος· «Οὐ μὴ μείνῃ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ.» Ἐρομένων πάλιν ἐκείνων· «Πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας;» Τὰ δύο κατὰ ταὐτὸν ὁ δεσπότης διδάσκει, οὐ κατὰ δι αίρεσι ν λέγων ἀλλ' ἀμφότερα προλέγων ὁμοῦ, τά τε περὶ τῆς Ἰουδαϊκῆς τά τε περὶ τῆς καθόλου πολιτείας. Δια κρίνουσι δὲ ὅμως οἱ ν<ο>ῦν ἔχοντες καὶ γινώσκουσι, τίνα μὲν ἁρμόττει τῷ τέλει τῆς Ἰουδαίων λ ατρείας, τίνα δὲ τῇ συντελείᾳ τοῦ κόσμου. Οὕτω κἀνταῦθα τρεῖς ἔχει κατὰ ταὐτὸν ὑποθέσεις ἡ πρόρρησις· προθεσπίζει γὰρ ὡς μὲν ἐν σκιογραφίᾳ τὴν ἐπὶ Κύρου καὶ Δαρείου γεγενημένην τῆς Ἱερουσαλὴμ οἰκοδομίαν· ὡς ἐν εἰκόνι δὲ ἐκ πλειόνων γεγραμμένῃ χρωμάτων καὶ τῆς ἀληθείας ἀκριβεστέρους δείκνυσι τοὺς τύπους, τὴν τῆς ἁγίας ἐκκλησίας λαμπρότητα· προδηλοῖ δὲ ὅμως καὶ αὐτὸ τὸ τῆς εἰκόνος ἀρ χέτυπον, τοῦτο δέ ἐστιν ὁ μέλλων βίος καὶ ἡ ἐν οὐρανοῖς πολιτεία. Ταύτην δὲ τὴν διαίρεσιν καὶ ὁ θεῖος ἡμ ᾶ ς ἐδίδαξε Παῦλος· «Σκιὰν γάρ» φησιν «ἔχων ὁ νόμος τῶν μελλόντων καὶ οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων.» Καὶ καλεῖ πράγματα μὲν μέλλοντα τὸν ἀθάνατον ἐκεῖνον καὶ ἄλυπον βίον, τὴν ἀγήρω ζωὴν φροντίδος ἀπηλλαγμένην· εἰκόνα δὲ πραγμάτων τὴν ἐκκλησιαστικὴν πολιτείαν τὴν κατὰ τόνδε τὸν βίον ὡς οἷόν τε μιμουμένην τὰ μέλλοντα· σκιὰν δὲ τὸν νόμον ταύτης ἀμυδρότερον ταῦτα διδάσκοντα. Καὶ γὰρ οἱ ζωγράφοι ἔχουσι μὲν τὸ ἀρχέτυπον οὗ κατὰ μίμησιν γράφουσι, σκιαγραφοῦσι δὲ πρότερον, εἶτα περιβάλλουσι τὰ χρώματα τῇ σκιᾷ. Εἰ δὲ ἀντιτείνουσιν Ἰουδαῖοι εἰς ἑαυτοὺς ἕλκειν πᾶσαν τὴν προφητείαν πειρώμενοι, δι' αὐτῆς αὐτοὺς σὺν θεῷ φάναι τῆς προφητείας ψευδομένους ἐλέγξομεν. Ταῦ τα τοίνυν τὰ προειρημένα ῥητὰ ἁρμόττει μὲν οὕτω πως καὶ τῇ παλαιᾷ Ἱερουσαλὴμ παρ' ἐλπίδα πᾶσαν δε ξα μένῃ τὴν προτέραν λαμπρότητα· ἁρμόττει δὲ διαφερόντως τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τῆς θεογνωσίας δεξα μέ νῃ τὸ φῶς καὶ τοῦ σωτῆρος τὴν δόξαν περικειμένῃ. 2Ὅτι ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ φανήσεται. Καὶ τοῦτο ὡσαύτως διπλῆν ἔχει ἔννοιαν. Κατέ λυσε μὲν γὰρ τὴν Βαβυλωνίων δυναστείαν καὶ οἷόν τινι σκότῳ τῇ πολιορκίᾳ καὶ τῇ δουλείᾳ παρέδωκεν, ἐν δὲ τοῖς κατὰ τὴν Ἱερουσαλὴμ τὴν οἰκείαν δύναμιν ἔδειξεν ἀνεγείρας αὐτὴν καὶ περίβλεπτον ἀποφήνας. Ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῆς ἁγίας αὐτοῦ πεποίηκεν ἐκκλησίας· αἰσχύνῃ μὲν γὰρ καὶ σκότῳ παρέδωκε τοὺς διώκοντας, αὐτὴν δὲ περίβλεπτον ἀπειργάσατο. Καὶ παρὰ πάντων τὸ ἄμαχον αὐτοῦ κηρύττεται τῆς δυνάμεως. 3Καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου καὶ ἔθνη τῇ λαμπρότητι τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνατολῆς ςου. Εἰπάτωσαν Ἰουδαῖοι ποῖοι βασιλεῖς τὴν κατὰ νόμον λατρείαν ἠσπάσαντο, ποῖα δὲ ἔθνη δι' αὐτῶν ἐποδηγήθη πρὸς τὸν τῶν ὅλων θεόν. Ἀλλ' ἐκεῖνοι μὲν οὐκ ἂν δείξαιεν, παρ' ἡμῖν δὲ ὁρᾶται τῆς προφητείας τὸ τέλος· τῆς γὰρ ἁγίας τοῦ θεοῦ ἐκκλησίας τὸ φῶς καὶ τὰ ἔθνη κατηύγασε καὶ βασιλεῖς πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν. 4Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε συνηγμένα πάντα τὰ τέκνα σου· ἥκασι πάντες <οἱ> υἱοί σου μακρόθεν. Καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. Οὐδὲ τοῦτο κατ' ἀκρίβειαν τοῖς Ἰουδαίοις ἁρμόττει· οὐδὲ γὰρ ἅπαντες ἐπανῆλθον οἱ γενόμενοι δορυάλωτοι ἀλλ' οἱ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς καὶ οὐδὲ οὗτοι πάντες ἀλλ' ὅσοι τῆς προγονικῆς εὐσε βείας ἀντείχοντο· μεμενήκασι γὰρ οἱ μὲν τὴν παρ' Ἀσσυρίοις διαγωγὴν ἀσπασάμενοι, οἱ δὲ τῆς Αἰγύπτου τὴν οἴκησιν προελόμενοι, οἱ δὲ εἰς ἅπαντα διεσπαρμένοι τὰ ἔθνη. Ἡ δὲ τοῦ θεοῦ ἐκκλησία ἐκ τῶν ἐθνῶν ἁπάντων συλλέγει τὰ τέκνα· καὶ ἔστιν ἰδεῖν ἐξ ἁπάσης τῆς οἰκουμένης εἰς τὴν τῶν Ἱεροσολύμων συντρέχοντας |176 a| πόλιν, οὐχ ἵνα ἐν τῷ Ἰουδαίων ναῷ τὸν θεὸν προσκυνήσωσιν ἀλλ' ἵνα τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως τοὺς πολυθρυλήτους ἴδωσι τόπους. 5Τότε ὄψῃ καὶ χαρήσῃ καὶ φοβηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης καὶ ἐθνῶν καὶ λαῶν. Οὐδὲ τοῦτο τοῖς Ἰουδαίοις ἁρμόττει· ποίων γὰρ αὐτοῖς ἐθνῶν καὶ λαῶν προσηνέχθη πλοῦτος; Ἡ δὲ τοῦ θεοῦ ἐκκλησία τὰ πάλαι τοῖς δαίμοσι προσφερόμενα δέχεται, καὶ ἡ πάλαι πικρὰ τῶν ἐθνῶν θάλασσα τῷ ξύλῳ τοῦ σωτηρίου σταυροῦ γλυκανθεῖσα καὶ τὴν παράδοξον δεξα μένη μεταβολὴν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ προσφέρει τὰ δῶρα, διαφερόντως δὲ εἰς τὴν Ἱεροσολύμων ταῦτα προσφέρουσι πόλιν ἐκ πάσης γῆς καὶ θαλάττης συντρέχοντες. Καὶ ἥξουσιν 6ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γηφά, πάντες ἐκ Σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ λίβανον οἴσουσί σοι, καὶ τὸ σωτήριον παρὰ κυρίου εὐαγγελιοῦνται, 7καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσεταί σοι, καὶ κριοὶ Ναβεὼθ ἥξουσί σοι, καὶ ἀνενεχθήσεταί σοι δῶρα δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται. Μαδιὰμ καὶ Κηδὰρ καὶ Γεφὰ ἔθνη ἐστὶ βαρβάρων νομάδων ἐκ τοῦ Ἰσμαὴλ καταγόντων τὸ γένος, Σαβὰ δὲ φῦλόν ἐστιν Αἰθιοπικόν. Διδάσκει δὲ καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις· ἣν γὰρ τῶν Βασιλειῶν ἡ ἱστο ρία βασίλισσα<ν> ὀνομάζει Σαβά, ταύτην ὁ κύριος βασίλισσαν Αἰθιόπων καλεῖ, φησὶ δὲ οὕτως· «Βασίλισσα Αἰθιόπων ἀναστήσεται καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τῆς σοφίας Σολομῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε.» Ἐκ τούτων ἦν καὶ ὁ εὐνοῦχος ὃν ὁ Φίλιππος μυσταγωγήσας ἐβάπτισεν. Ταῦτα δὲ καὶ ὁ θεσπέσιος εἶπε Δαυὶδ τοῦ κυρίου προλέγων τὴν ἐνα νθρώπησιν . Εἰρηκὼς γάρ· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν, ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη» ἐπάγει· «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως τῶν περάτων τῆς οἰκουμένης. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι, βασιλεῖς Θαρσὶς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύ σουσιν αὐτῷ.» Ἄραβες δὲ καλοῦνται καὶ οἱ τοῦ Κηδὰρ καὶ οἱ τοῦ Μαδιὰμ καὶ Γεφὰ καὶ Ναβεώθ, οἳ τῆς Ἀραβίας οἰκοῦσι τὰ ἔρημα· ἐπὶ καμήλων δὲ οὗτοι καὶ δρομάδων ὀχοῦνται. Καὶ μέντοι καὶ δῶρα προσ φέρειν ἐκ τούτων εἰώθασι τῷ τῶν ὅλων θεῷ· καὶ οἱ μὲν τῷδε τῷ ἀποστόλῳ πελάζοντες ἐκ είνῳ δῶ ρα προσφέρουσιν, οἱ δὲ <τῷδε> τῷ μάρτυρι γειτνιάζοντες δι' ἐκείνου τὸν θεὸν ἱλεοῦνται καὶ οἷόν τινας ἀ παρχὰς ἅπερ ἂν ὑπόσχωνται προσκομίζουσιν. Πρὸς δὲ ταῖς καμήλοις καὶ τὰ πρόβατα προσφέρειν εἰώ θασιν. Εἰ δέ τις ἀκριβῶς τῶν ῥητῶν καταμάθοι τὴν ἔννοιαν, αὐτοὺς εὑρήσει τοὺς ἀνθρώπους πρόβατα καὶ κριοὺς καὶ καμήλους προσηγορευμένους. Οὐ γὰρ εἶπεν· Οἴσουσι καμήλους, ἀλλ'· Ἥξουσιν ἀγέλαι καμήλων καὶ καλύψουσί σε κάμηλοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μαδιάμ, καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχ θήσεταί σοι. Διδάσκει δὲ ὁ λόγος ὅτι καὶ οἱ ἀλογώτερον διακείμενοι τοῦ τῆς θεογνωσίας φωτὸς κοινωνή σουσιν. Καὶ μὲν δὴ καὶ ἐπὶ τὸ θυσιαστήριον οὐκ ἄλογα εἶπεν ἀνενεχθήσεσθαι δῶρα ἀλλὰ |176 b| δε κτά, τουτέστιν ἀρεστά. Αὐτοῦ ἔστι φωνή· «Θυσία αἰνέσεως δοξάσει με», καί· «Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως.» 8Τίνες οἵδε ὡσεὶ νεφέλαι πέτονται καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς αὐτῶν ἐπ' ἐμέ; Ἐστὶ Σιών. Τὸ Σιὼν ἔνια τῶν ἀντιγράφων οὐκ ἔχει οὐδὲ τὸ Ἑξαπλοῦν οὐδὲ ἡ Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἔκδοσις οὐδ' αὐτὴ ἡ Ἑβραϊκὴ γραφή, ἀλλ' ὅμως ἡμεῖς ὡς κείμενον ἑρμηνεύσομεν. Σι ὼν γὰρ πολλάκις ἐδείξαμεν οὐ μόνον τὴν παλαιὰν ἐκείνην ὀνομαζομένην ἀλλὰ καὶ τὴν τοῦ θεοῦ ἐκκλησίαν καὶ τὴν τῶν οὐρανῶν πολιτείαν· «Προσεληλύθατε» γάρ φησι «Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.» Ἐκπλήττεται τοίνυν ἡ τοῦ θεοῦ ἐκκλησία τὰ νέφη τῶν πρὸς αὐτὴν συντρεχόντων θεωμένη δήμων, οἳ μιμοῦνται περιστερὰς μετὰ τῶν νεοττῶν πετομένας. Εἰ δέ τις ἀκριβῶς νοῆσαι βούλεται τὸ χωρίον, ἐν ταῖς δημοτελέσιν ἑορταῖς, ἢ ταῖς δεσποτικαῖς ἢ ταῖς τῶν ἁγίων μαρτύρων, θεασάσθω τὰ πλήθη συρρέοντα καὶ τὰς μὲν τὰς θυγατέρας ἢ ταῖς ἀγκάλαις φερούσας ἢ ταῖς χερσὶ ποδηγούσας τοὺς δὲ μετὰ τῶν υἱέων βαδίζοντας, καὶ ὄψεται ἀληθῶς πνευμα τικὰς περιστερὰς μετὰ τῶν νεοττῶν πετομένας καὶ πρὸς τὴν νέαν παραγινομένας Σιών. 9Ἐμὲ νῆσοι ὑπομένουσι καὶ πλοῖα Θαρσὶς ἐν πρώτοις τοῦ ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν μετ' αὐτῶν διὰ τὸ ὄνομα κυρίου τὸ ἅγιον καὶ διὰ τὸ τὸν ἅγιον Ἰσραὴλ ἔνδοξον εἶναι. Ἠκούσαμεν τοῦ μακαρίου Δαυὶδ λέγον τος · «Βασιλεῖς Θαρσὶς καὶ νῆσοι δῶρα προσοίσουσιν», καὶ πάλιν· «Ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας.» Θαρσὶς δὲ τὴν Καρχηδόνα καλεῖ τῆς πάλαι μὲν Λιβύης νῦν δὲ Ἀφρικῆς ὀνομαζομένης τὴν μητρόπολιν. Καὶ γὰρ ἡνίκα ὁ αὐτὸς εἶπε προφήτης· «Ὀλολύζετε πλοῖα Καρχηδόνος ὅτι ἀπώλετο», παρὰ τῷ Ἑβραίῳ «Θαρσὶς» εὕρομεν κείμενον. 10Καὶ οἰκοδομήσουσιν υἱοὶ ἀλλογενεῖς τὰ τείχη σου καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι. Κῦρος μὲν τὴν Ἱερου σαλὴμ οἰκοδομηθῆναι προσέ ταξε , μεμένηκε δὲ τὸ ἔργον ἀτέλεστον· ἐπὶ Δαρείου δὲ τοῦ Ὑστάσπου ὁ θεῖος μόνος ἀνῳκοδομήθη νεώς · ἐπὶ Ἀρταξέρξου δὲ τοῦ Μακρόχειρος Νεεμίας οὐκ ἀλλογενὴς ὢν ἀλλ' Ἰουδαῖος τῆς τῶν τειχῶν οἰκοδο μίας ἐφρόντισεν οὐ βασιλικῶν χρημάτων ἔχων δαπάνην ἀλλ' ἐξ ἐράνου ταύτην συλ λέξας · μετὰ μέντοι τὴν τῶν Ἰουδαίων κατάλυσιν οἱ Ῥωμαίων βασιλεῖς τῆς Ἱερουσαλὴμ τοὺς περι βό λους ἐδείμαντο. Εὕροι δ' ἄν τις ἀκριβέστερον νοῆσαι θελήσας τοὺς ἐξ ἀλλοφύλων ἐθνῶν διδασκά λους εὐχαῖς ταύτην καὶ διδασκαλίαις φρουροῦντάς τε καὶ φυλάττοντας. Διὰ γὰρ ὀργήν μου ἐπάταξά σε καὶ διὰ ἔλεόν μου ἠγάπησά σε. Καὶ τῇ πάλαι Ἱερουσαλὴμ ἁρμόττει ταῦτα καταλυθείσῃ μὲν δι' ἁμαρτίας, ἀνοικοδομηθείσῃ δὲ διὰ μόνην φιλανθρωπίαν, καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ἥτις πάλαι μὲν ἐρήμῳ ἀπείκασται θείας οὐκ ἀξιουμένη κηδεμονίας, μετὰ δὲ ταῦτα τῆς τοῦ σωτῆρος προνοίας ἀπήλαυσεν. 11Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντὸς ἡμέρας καὶ νυκτὸς καὶ οὐ κλεισθήσονται τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν καὶ βασιλεῖς αὐτῶν ἀγομένους. Ποία δύναμις ἐθνῶν εἰς τὴν παλαιὰν ἔδραμεν Ἱερουσαλὴμ προσκυνήσεως χάριν; Ποῖοι δὲ βασιλεῖς ὑπ' ἄλλων ἀγόμενοι τὸν τῶν ὅλων θεὸν ἐκεῖ προσεκύνησαν; Τῆς δὲ τοῦ θεοῦ ἐκκλησίας αἱ πύλαι διὰ παντὸς ἀνεῴγασι τοὺς προσιόντας ὑποδεχόμεναι, αἳ καὶ τοὺς εὐσεβεῖς ὑποδέχονται βασιλέας ὑπὸ τῆς τῶν ἱερῶν ἀποστόλων ἀγομένους διδασκαλίας. 12Τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς οἵτινες οὐ δου λεύσουσί σοι ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. Καὶ τοῦτο σαφῶς ἐλέγχει τὴν Ἰουδαίων παροινίαν· οὔτε γὰρ ἔθνη οὔτε βασιλεῖς μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον Ἰουδαίοις ἐδούλευσαν, τῇ δὲ ἐκκλησίᾳ τοῦ θεοῦ δουλεύουσι καὶ ὅσοι τὴν δουλείαν ἠρνήθησαν καταγέλαστοι μὲν καὶ δείλαιοι καὶ τρισάθλιοι κατὰ τὸν παρόντα βίον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγένοντο, οὐκ ὄψονται δὲ τὴν αἰώνιον ζωήν. 13Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Ταῦτα εἰκὸς μὲν καὶ ἐπὶ τοῦ προτέρου γεγενῆσθαι νεὼ καὶ μετακομίσαι πάλαι αὐτοὺς ἀπὸ |177 a| τοῦ Λιβάνου ξύλα. Ἐγὼ δὲ οἶμαι Λίβανον τὴν Ἰουδαίων καλεῖσθαι μητρόπολιν· τοῦτο γὰρ πολλάκις ἐδειξάμην· «Ἡ δόξα» γάρ φησι «τοῦ Λιβάνου ἐδόθη αὐτῇ», τουτέστι τῇ ἐρήμῳ, «καὶ ἡ τιμὴ τοῦ Καρμήλου.» Καὶ ἐνταῦθα ὁ προφητικὸς λόγος τὴν δόξαν τοῦ Λιβάνου, τουτέστι τὴν Ἰουδαϊκὴν περιφάνειαν, ἣν <ἡ> τοῦ ἁ γίου πνεύματος αὐτοῖς ἐδεδώρητο χάρις, εἰς τὴν ἐκκλησίαν μετατεθήσεσθαι προεθέσπισεν. Κυπαρίσσους δὲ καὶ πεύκας καὶ κέδρους οὐκ ἄν τις ἁμάρτοι τοὺς ἁγίους ὀνομάζων προφήτας διαφορὰν ἔχοντας κατὰ τὸ μέτρον τῆς χάριτος· «Δίκαιος» γάρ φησιν «ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.» Πάντες δὲ οὗτοι νῦν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὴν προφητικὴν διδασκαλίαν προσφέ ρουσιν . 14Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινῶν τῶν ταπεινωσάντων σε καὶ παροξυνάντων σε, καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε. Τὴν μὲν Ἱερουσαλὴμ οὐ προσεκύνησαν Βαβυλώνιοι, τὴν δὲ τοῦ θεοῦ ἐκκλησίαν οἱ πλεῖστοι τῶν ἐθνῶν προσκυνοῦσι, μάλιστα δὲ οἱ τούτων υἱοί. Ἐκείνων γὰρ δεξαμένων τοῦ βίου τὸ πέρας οὗτοι μεταμαθόντες τὴν ἀλήθειαν προσφέρουσι τῷ σωτῆρι τὸ σέβας ἐν τοῖς εὐκτηρίοις αὐτοῦ οἴκοις ποιούμενοι τὴν προσκύνησιν. Καὶ κληθήσῃ πόλις κυρίου Σιὼν τοῦ ἁγίου Ἰσραὴλ 15διὰ τὸ γενέσθαι σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν ςοι. Καὶ μὴν ἡ Ἱερουσαλὴμ ἑτέραν προση γορίαν ἐδέξατο· Αἰλίαν γὰρ αὐτὴν οἱ Ῥωμαίων ἐκάλεσαν βασιλεῖς. Πῶς τοίνυν δείκνυται τῆς προφητείας τὸ ἀψευδές, εἰ μή τις πνευματικώτερον τὴν Σιὼν νοήσοι; Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Πῶς τοῦτο ἁρμόττει τῷ τῶν Ἰουδ αίων ναῷ πρὸ τετρακοσίων ἢ καὶ πλειόνων ἐτῶν δεξαμένῳ τὴν ἐρημίαν; 16Καὶ θηλάσεις γάλα ἐθνῶν καὶ πλοῦτον βασιλέων φάγεσαι καὶ γνώσῃ ὅτι ἐγὼ κύριος ὁ σῴζων σε καὶ ὁ ἐξαιρούμενός σε θεὸς Ἰσραήλ. Ποίων βασιλέων ἡ παλαιὰ Ἱερουσαλὴμ μετὰ τὴν ἐπάνοδον ἐκομίσατο πλοῦτον; Ἢ ποίων ἐθνῶν καθάπερ γάλα τὴν τῶν ἀγαθῶν ἐθήλασεν ἀφθονίαν; Ἀλλὰ καὶ τοῖς λίαν ἀναισχυντοῦσι δῆλον οἶμαι καθέστηκεν, ὡς ἡ τοῦ θεοῦ ἐκκλησία δείκνυσι τῆς προρρήσεως τὴν ἀλήθειαν· αὕτη γὰρ διηνεκῶς καὶ τὰ βασιλικὰ δέχεται δῶρα καὶ τὰ παρὰ τῶν ἐθνῶν προσφερόμενα κομιζομένη τὸν τούτων αἴτιον ἀνυμνεῖ. Εἶτα δείκνυσι καὶ τῶν δώρων τὴν πολυτέλειαν· 17Καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσόν, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. Καὶ ταύτης ἔστιν ἰδεῖν ἐν ταῖς τῶν εὐκτηρίων οἴκων οἰκοδομίαις τῆς προφητείας τὴν ἀλήθειαν· χρυσῷ γὰρ καὶ ἀργύρῳ πεποικιλμένοι διαλάμπουσιν, οὐχ ἵνα τοῦ θεοῦ τὴν χρείαν πληρώσωσιν ἀλλ' ἵνα τῶν εὐσεβῶν τὸ φιλότιμον δείξωσιν. Καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ, 18καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου οὐδὲ σύντριμμα καὶ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου. Τούτων ἔκβασιν ἀληθεστέραν ὄψεται πᾶς ἐν τῷ μέλλοντι βίῳ· ἐκεῖνος γὰρ ὁ βίος ἀδικίας ἐλεύθερος, ἐκεῖνος τῇ ἄκρᾳ δικαιοσύνῃ κοσμεῖται, ἐκεῖνος ἀληθῶς ἀταλαίπωρος καὶ φροντίδων ἀπηλλαγμένος. Ὡς ἐν τύπῳ δὲ εὕροι τις ἂν καὶ ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ταῦτα· τῆς γὰρ τῶν εἰδώλων ἀπήλλακται πλάνης, τὸν δὲ τῶν ὅλων θεὸν διηνεκῶς ἀνυμνεῖ, προμηθοῦνται δὲ τῶν ἀδικουμένων οἱ ταύτης ἡγεμόνες ὡς οἷόν τε. Ἀλλὰ κληθήσεται σωτήριον τὰ τείχη ςου καὶ αἱ πύλαι σου γλύμματα. Τὸ γλύμμα ὁ μὲν Ἀκύλας «ὕμνησιν» ἡρμήνευσεν, ὁ δὲ Θεοδοτίων «καύχημα», ὁ δὲ Σύμμαχος «αἴνεσιν». Οἱ γὰρ πνευματικοὶ τῆς ἐκκλησίας περίβολοι τοῖς πεπιστευκόσι σωτηρί αν πο ρίζουσιν, αἰνέσεως δὲ καὶ ὕμνων αἱ ταύτης πύλαι πεπλήρωνται. 19Καὶ οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτίσει σοι τὴν νύκτα· ἔσται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γάρ σοι ὁ θεὸς φῶς αἰώνιον καὶ ὁ θεὸς δόξα σου. 20Οὐ γὰρ δύσεταί σοι ὁ ἥλιος, καὶ ἡ σελήνη οὐκ ἐκλείψει· ἔσται γάρ σοι κύριος φῶς |177 b| αἰώνιον. Καὶ τοῦτο ἀκριβῶς ὁ μέλλων ἔχει βίος· ἐκεῖνος γὰρ οὔτε σελήνης οὔτε ἡλίου χρῄζει· αὐτὸ γὰρ ἔχει τοῦ θεοῦ τὸ ἄρρητον φῶς. Τούτου δὲ ὡς ἐν τύπῳ καὶ νῦν οἱ πιστεύοντες ἀπολαύουσιν· ὑπὸ γὰρ τούτου φωτιζόμενοι τὴν ἀπλανῆ πορείαν ὁδεύουσιν. Καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ σπέρματός σου. 21Καὶ ὁ λαός σου πᾶς <δίκαιος> δι' αἰῶνος, καὶ κληρονο μήσουσι τὴν γῆν. Καὶ ταῦτα περὶ τοῦ μέλλοντος προηγό ρευσε βίου· ἐκεῖνος γὰρ ἔχει τῆς γνώμης τὸ ἄτρεπτον, ἐκεῖνος τῇ αἰωνίῳ δικαιοσύνῃ κεκόσμηται, ἐκεῖνος ἁμαρτίας ἐλεύθερος, ἐκεῖνος οὐκ ἔχει ἄωρον οὐδὲ πρεσβύτην ἀλλὰ ζωὴν ἀτελεύτητον, ἐν ἐκείνῳ κληρονομοῦσι τὴν γῆν τῶν ζώντων οἱ ἄξιοι. «Ἔσται γάρ» φησιν «ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή.» Φυλάσσων τὸ βλάστημα τῆς φυτείας μου, ἔργον χειρῶν μου εἰς δόξαν. Ὁ δὲ Σύμμαχος οὕτως· «Βλαστὸς τῆς φυτείας μου ἔργον χειρῶν μου εἰς τὸ ἐνδοξασθῆναι», ὁ δὲ Θεοδοτίων οὕτως· «Βλαστὸς τῆς φυτείας αὐτοῦ τὰ ἔργα τῶν χειρῶν δοξάσει.» Καὶ διὰ τούτων τοίνυν καὶ διὰ τῶν Ἑβδομήκοντα αἴτιον τῶν εἰρημένων κ αὶ οἱονεὶ φυτουργὸν εὑρίσκομεν τὸν τῶν ὅλων θεόν· αὐτὸς γὰρ αὐτοῦ τὴν ἐκκλησίαν ἐφύτευσεν, αὐτὸς δι αφυλάττει βλαστήσασαν καὶ τὴν ἐντεῦθεν προσγινομένην δέχεται δόξαν. 22Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα· ἐγὼ κύριος κατὰ καιρὸν συνάξω αὐτούς. Ταῦτα καὶ ἐν τοῖς ἱεροῖς εὐαγ γελίοις ἔφη· «Ἀποστελεῖ γὰρ τοὺς ἀγγέλους αὐτοῦ καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἀπ' ἄκρων οὐρανῶν ἕως τῶν ἄκρων αὐτῶν.» Τότε καὶ τὰς ἐν τοῖς οὐρανοῖς ἀποδώσει μονὰς πρὸς τὴν ἀξίαν ἑκάστῳ, τότε τῶν εἰς συμμορίας καὶ βίους ἡγήσονται διαιρουμένων οἱ τούτων πρωτεύοντες. Οὕτω ταῦτα συμπεράνας πάλιν εἰς τὸν δεσπότην Χριστὸν μεταφέρει τὴν πρόρρησιν, ὃς κατὰ τὸν παρόντα βίον ταῦτα τῇ ἐκκλησίᾳ δεδώρηται καὶ τ ὴν μέλλουσαν πολιτείαν ὑπέσχετο. 611Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με κύριος. Οὐ δεόμεθα πολλῶν ἀποδείξεων ταύτην ἑρμηνεύοντες τὴν προφητείαν· αὐτὸς γὰρ ἡμῖν ταύτην σαφῆ πεποίηκεν ὁ δεσπότης. Εἰς γὰρ τὴν συναγωγὴν εἰσελθὼν καὶ τόδε τὸ βιβλίον λαβών, εἶτα ἀναπτύξας καὶ τήνδε τὴν προφητείαν ἀναγνοὺς ἔφη πρὸς τοὺς ἀκούοντας· «Σήμερον ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν» καὶ ἔδειξεν ἄντικρυς ἑαυτὸν διὰ τοῦ προφήτου περὶ αὐτοῦ ταῦτα φθεγξάμενον. Ἐχρίσθη δὲ τῷ παναγίῳ πνεύματι οὐχ ὡς θεὸς ἀλλ' ὡς ἄνθρωπος. Καὶ ἤδη δὲ ἐν τοῖς ἔμπροσθεν τοῦτο πολ λάκις ἐδείξαμεν. Εὕραμεν δὲ ἐν τῷδε τῷ βιβλίῳ κείμενον· «Ἰακὼβ ὁ παῖς μου ἀντιλήψομαι αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου προσεδέξατο αὐτὸν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει», καὶ πάλιν· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν.» Αὐτὸς τοίνυν ἐνταῦθά φησιν· Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με κύριος. Καὶ τὰς αἰτίας λέγει τῆς χρίσεως· Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. Εἰς ἐσχάτην γὰρ πτωχείαν ἐξέ πεσε τῶν ἀνθρώπων ἡ φύσις, διαφερόντως δὲ τὰ ἔθνη τοῖς εἰδώλοις δουλεύοντα. Ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλε ψιν. Ταῦτα πάντα τοὺς ἀνθρώπους καλεῖ· πτωχοὺς μὲν ὡς τὸν οὐράνιον ἀπολέσαντας πλοῦτον, συντετριμμένους δὲ τὴν καρδίαν ὡς τὸ λογικὸν διαφθείραντας, τυφλοὺς δὲ ὡς θεὸν ἀγνοήσαντας καὶ τῇ κτίσει λατρεύσαντας, αἰχμαλώτους δὲ ὡς πρὸς τὸν τύραννον αὐτομολήσαντας καὶ τῆς προτέρας ἐκπεσόντας ἐλευθερίας. 2Καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταπο δόσεως τῷ θεῷ ἡμῶν. Οὐ γὰρ μόνον ἡμῖν τὴν τῶν ἁμαρτη μάτων ἄφεσιν ἐδωρήσατο καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀπήλλαξε καὶ τὸ θεῖον ὑπέδειξε φῶς, ἀλλὰ καὶ τὴν μέλλουσαν ἐπηγγείλατο βιοτὴν καὶ τὴν δικαίαν ἠπείλησε κρίσιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐνιαυτὸν γὰρ |178 a| δεκτὸν τὴν προτέραν αὐτοῦ παρουσίαν οἶμαι χρηματίζεσθαι, ἡμέραν δὲ ἀνταποδόσεως τῆς κρίσεως τὴν ἡμέραν. Παρακαλέσαι πάντας τοὺς πενθοῦν τας. Τῇ γὰρ ἐλπίδι τῆς ἀναστάσεως ἐκέρασε τοῦ θανάτου τὴν ἀθυμίαν. 3Δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν αὐτοῖς ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας. Τό· ἄλειμμα εὐφροσύνης, ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος «ἔλεον ἀγαλλιάσεως» ἡρμήνευσαν. Αἰνίττεται δὲ τὸ μυστικὸν χρῖσμα, οὗ ἀξιούμενοι τὴν εὐφροσύνην δεχόμεθα καὶ τῆς δόξης τὴν ἀμπεχόνην· τὴν γὰρ καταστολὴν στολὴν νοητέον. Οὕτω γὰρ καὶ ὁ Θεοδοτίων· «περιβόλαιον καυχήματος», καὶ ὁ Σύμμαχος· «περιβόλαιον ὑμνήσεως». Τὸ δέ· ἀντὶ πνεύματος ἀκη δίας, οἱ Τρεῖς «ἀντὶ πνεύματος ἀμαυροῦ» τεθείκασ ιν . Ἐξελάσας γὰρ ἀφ' ἡμῶν τὸ ἀμαυρὸν καὶ σκυθρωπὸν τῆς ἀκηδίας πνεῦμα, τῆς δόξης ἡ μῖν τὴν περιβολὴν τέθεικεν. Ἐθρηνῴδουν δὲ διαφερόντως οἱ τὴν Σιὼν οἰκοῦντες ἅγιοι τὴν τῶν οἰκητόρων αὐτῆς ὁρῶντες ἀσέβειαν. Ἐκ τούτων ὁ μέγας ἐκεῖνος Συμεὼν ὁ καὶ χρηματισθεὶς τοῦ «μὴ ἰδεῖν θάνατον, ἕως ἂν ἴδῃ τὸν χριστὸν κυρίου», ἐκ τούτων ἡ προφῆτις Ἄννα καὶ ἕτερ οι ἦσαν πολλοὶ τὴν μὲν Ἰουδαίων παρανομίαν θρηνοῦντες τὴν δὲ τοῦ θεοῦ σωτηρίαν προσ μένοντες· τού τοις ἔλυσε τὸ πένθος ἐπιφανείς. Καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα κυρίου εἰς δόξαν. Τουτέστιν οὗτοι οἱ ἐκ τῆς Σιὼν ἐκλεγόμενοι, οἱ δυοκαίδεκα, οἱ ἑβδομήκοντα, οἱ ἑκατὸν εἴκοσι, οἱ πεντα κόσιοι, οἱ τρισχίλιοι, αἱ πολλαὶ μυριάδες. Οὕτω καὶ ὁ μακάριος λέγει Δαυίδ· «Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον.» Οἱ δὲ Τρεῖς ἀντὶ τοῦ· γενεαὶ δικαιοσύνης, «ἰσχυροὶ τῆς δικαιοσύνης, φυτὸν κυρίου εἰς τὸ δοξασθῆ ναι» τεθείκασιν. Οἷον γάρ τινες ἄριστοι τῆς εὐσεβείας στρατηγοὶ τὴν οἰκουμένην περινο στήσαντες κατέλυσαν τὴν ἀσέβειαν καὶ πρῶτοι γενόμενοι τοῦ κυρίου φυτὰ τὴν ἔρημον κα τε φύτευσαν. 4Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξερημωμένας πρότερον ἐξαναστήσουσι καὶ ἀνακαινιοῦσι πόλεις ἐρήμους, ἐξερημωμένας ἀπὸ γενεᾶς καὶ γενεᾶς. Δειξάτωσαν ταῦτα Ἰουδαῖοι γεγενημένα. Ἡμεῖς δὲ δείκνυμεν τὰς ὑπὸ τῆς δυσσεβείας διαφθαρείσας πόλεις ὑπὸ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν τὸ ἐκείνων κήρυγμα διαδεξαμένων εὐσεβῶς ἀνοικοδομηθείσας τε καὶ νεουργηθείσας. 5Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοὶ ὑμῶν. Ἐξ ἀλλοφύλων γὰρ ἐθνῶν οἱ τῆς ἐκκλησίας διδάσκαλοι, οὓς καὶ ποιμένας καὶ ἀροτῆρας καὶ ἀμπελουργοὺς ὠνόμασεν. 6Ὑμεῖς δὲ ἱερεῖς κυρίου κληθήσεσθε, λειτουργοὶ θεοῦ ἡμῶν ῥηθήσεται ὑμῖν. Τὸ δὲ ἀποστολικὸν ὄνομα ἐξαίρετον οἱ τρισμακάριοι ἔσχον ἐκεῖνοι· εἰ γὰρ καὶ τὸ ἐκείνων οὗτοι διεδέξαντο ἔργον, ἀλλ' οὖν τὴν ἐκείνων προσηγορίαν οὐδεὶς ἁρπάσαι τολμᾷ. Ἰσχὺν ἐθνῶν κατέδεσθε καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. Τὴν γὰρ κρατοῦσαν ἀσέβειαν καταλύσαντες τὸν πνευματικὸν αὐτοῖς χορη γήσατε πλοῦτον θαυμαζόμενοι παρὰ πάντων ἐπὶ τῇ ξένῃ μεταβολῇ. 7Ἀντὶ τῆς αἰσχύνης αὐτῶν τῆς διπλῆς καὶ ἀντὶ τῆς ἐντροπῆς ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν. Πρὸς τοὺς ἱεροὺς ἀποστόλους ταῦτα λέγει · Μὴ δυσχεράνητε διωκόμενοι καὶ στρεβλούμενοι καὶ ὀνείδη παρὰ πάντων δεχόμενοι καὶ μυρία θανάτου ὑπομένοντες εἴδη· διὰ γὰρ τῶν ὑμετέρων παθημάτων τεύξεται τῆς σωτηρίας τὰ ἔ θνη καὶ τῆς τῶν εὐφραινομένων μερίδος γενήσεται. Διὰ τοῦτο τὴν γῆν αὐτῶν ἐκ δευτέρου κληρονομήσουσιν. Καὶ δεικνὺς τῆς κληρονομίας τὸν τρόπον ἐπήγαγεν· Καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἀπαλλαγήσε ται γὰρ ἡ γῆ τῆς προτέρας ἀρᾶς καὶ ἔσται καινή, ἣν περίκειται νῦν ἀποδυομένη |178 b| φθοράν. Οὕτω γὰρ καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθή σεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.» Δευτέραν τοίνυν κληρο νομίαν τὸν μέλλοντα βίον ἐκάλεσεν. 8Ἐγὼ γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις <καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς>. <...> <Τὸ δέ· καὶ δώσω τὸν μόχθον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῶν δικαίοις,> οὕτως οἱ Τρεῖς ἡρμήνευσαν· «καὶ δώσω τὴν ἐργασίαν αὐτῶν ἐν ἀληθείᾳ»· ἀποδώσω γὰρ αὐτοῖς τὸν μισθὸν πληρῶν μου τὴν ὑπόσχεσιν. 9Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν καὶ τὰ ἔγγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν. Τῶν ἱερῶν ἀποστόλων σπέρμα καλεῖ καὶ ἔγγονα τοὺς τὸ ἐκείνων κήρυγμα διαδεξαμένους. Πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ τοῦ θεοῦ. 10Καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ τῷ κυρίῳ. «Ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται» κατὰ τὴν τοῦ κυρίου διδασκαλίαν. Ὅπως δέ εἰσιν ἐπίσημοι τοῦ σωτῆρος ἡμῶν οἱ θεράποντες, αὐτὰ μαρτυρεῖ τὰ πράγματα· ὁρῶμεν γὰρ τοὺς τὰς μεγίστας πεπιστευμένους ἀρχὰς διηνεκῶς πρὸς τούτους συντρέχοντας καὶ σὺν θερμῇ προθυμίᾳ τὴν παρὰ τούτων εὐλογίαν κομιζομένους. Οὕτω ταῦτα προθεσπίσας μεταβάλλει τοῦ λόγου τὸ σχῆ μα καὶ ἐκ προσώπου τῆς ἐκκλησίας πρὸς τὸν εὐεργέτην βοᾷ· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. Ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης τοῦ παναγίου βαπτίσματος τὴν χάριν καλεῖ· «Ὅσοι γάρ» φησιν «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.» Διὸ καὶ ἐν τῇ Ἑβραίων φωνῇ τὸ ἱμάτιον σωτηρίου ἱμάτιον ἰεσῶα καλεῖται, τουτέστιν Ἰησοῦ. Ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατε κόσμησέ με κόσμῳ. Νύμφην μὲν ἑαυτὴν καλεῖ ὡς τῷ νυμφίῳ συνεζευγμένη, νυμφίον δὲ ὡς τὸν νυμφίον ἐνδεδυ μένη. Τὴν δὲ μίτραν «στέφανον» οἱ Τρεῖς Ἑρμηνευταὶ προσηγόρευσαν. Τούτου τοῦ κόσμου καὶ ὁ μακάριος μέμνηται Δαυίδ· «Παρέστη» γὰρ «ἡ βασίλισσά» φησιν «ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη.» Δηλοῖ δὲ ὁ λόγος τοῦ παναγίου πνεύματος τὰ ποικίλα χαρίσματα. 11Καὶ ὡς γῆ αὔξουσα τὸ κάλλος καὶ ἄνθος αὐτῆς καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει, οὕτως ἀνατελεῖ κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. Ἔδειξε πᾶσαν τὴν οἰκουμένην ἕνα δικαιοσύνης γεγενημένην παράδεισον. 621Διὰ Σιὼν οὐ σιωπήσομαι καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς δικαιοσύνη μου καὶ τὸ σωτήριόν μου ὡσεὶ λαμπὰς καυθήσεται. Ταῦτα αὐτὸς λοιπὸν ὁ νυμφίος φησίν· Δείξω γάρ φησι τῇ Σιὼν καὶ τῇ Ἱερουσαλήμ, ὡς τὸν ὑπ' αὐτῆς σταυρωθέντα πάντα προσκυνήσει τὰ ἔθνη καὶ πᾶσαν τῆς ἐμῆς σωτηρίας αἱ ἀκτῖνες διαδραμοῦνται τὴν οἰκουμένην. 2Καὶ ὄψεται τὰ ἔθνη τὴν δικαιοσύνην σου καὶ βασιλεῖς τὴν δόξαν σου. Σοῦ, τῆς ἀγαλλομένης ἐπὶ τῇ σωτηρίῳ περιβολῇ, τῆς ἀρεστῆς μου νύμφης ἣν παντοδαπῷ κατεκόσμησα κόσμῳ. Καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν ὃ ὁ κύριος ὀνομάσει αὐτό. Εἰπάτωσαν Ἰουδαῖοι, ποῖον ἐσχήκασι καινὸν ὄνομα· μέχρι γὰρ τοῦ παρόντος Ἰουδαῖοι καλοῦνται. Οἱ δὲ τῷ κυρίῳ πεπιστευκότες τὴν καινὴν προσηγορίαν ἐδέξαντο, οὐκ ἐξ Ἀβραὰμ ἢ Ἰσραὴλ ἢ Ἰούδα καλούμενοι ἀλλ' ἐξ αὐτοῦ προσαγορευόμενοι τοῦ δεσπότου Χριστοῦ· Χριστιανοὶ γὰρ παρὰ πάντων καλοῦνται ἅτε δὴ διὰ τοῦ παναγίου βαπτίσματος τὸν Χριστὸν ἐνδυσάμενοι. 3Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ κυρίου καὶ διάδημα βασιλείας ἐν χειρὶ κυρίου θεοῦ σου 4καὶ οὐκέτι κληθήσῃ Ἐγκαταλελειμμένη, καὶ ἡ γῆ σου οὐκέτι κληθήσεται Ἔρημος. Πολλάκις ἔρημον τὰ ἔθνη ὁ προφητικὸς προση γό ρευσε λόγος· καὶ ἐπὶ πλεῖστον δὲ ἐγκατελείφθησαν χρόνον οὔτε προφήτην οὔτε νομοθέτην θεῖον δεχόμενοι. Ἀλλ' ὅμως αὐτοῖς καὶ καινὸν δέδωκεν ὄνομα καὶ διάδημα βασιλείας αὐτοὺς |179 a| καὶ στέφανον νυμφικὸν ὀνομάζει· καὶ γὰρ νύμφην αὐτοὺς προσηγόρευσε καὶ βασιλείαν οὐρανῶν αὐτοῖς ἐπηγγείλατο. Σοὶ γὰρ κληθήσεται Θέλημα– ἐμὸν καὶ τῇ γῇ σου Οἰκουμένη, ὅτι εὐδοκήσει κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. Εὐδοκίαν αὐτὴν καὶ ἐν τῷ Ἄισματι Ἀισμάτων καλεῖ. Εὐδο κία<ν> δὲ καλεῖ τὸ ἀγαθὸν θέλημα. Οὕτως καὶ ὁ θεῖος ἀπόστολος· «κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ». Δει κνὺς δὲ τὸ πλῆθος τῶν πεπιστευκότων οἰκουμένην αὐτὴν ὀνομάζει. 5Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ οὕτως κατοικήσουσιν οἱ υἱοί σου· καὶ ὃν τρόπον εὐφρανθήσεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί. Ἐπειδὴ τῆς νύμφης ἐμνημόνευσεν, ἀναγκαίως καὶ τῆς παρθένου τέθεικε τὴν εἰκόνα, ἵνα δείξῃ τοῦ γάμου τὸ διάφορον. 6Καὶ ἐπὶ τῶν τειχῶν σου, Ἱερουσαλήμ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσουσι μιμνῃσκόμενοι κυρίου. Ἱερουσαλὴμ πάλιν αὐτὴν ὀνομάζει τὴν νύμφην, φύλακας δὲ καλεῖ τοὺς κατὰ πόλιν καὶ κώμην τῶν εὐσεβῶν λαῶν ἡγουμένους, οἵτινες νύκτωρ καὶ μεθ' ἡμέραν τὸν θεὸν ἀνυμνοῦντες τὴν θείαν φυλάττουσι πόλιν. Εἰ δὲ καὶ ἀγγέλους τούτους ὑπολάβοι τις εἶναι, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. «Παρεμβαλεῖ» γάρ φησιν «ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.» 7Οὐκ ἔστι γὰρ ὅμοιος ὑμῖν. Οὐδένα γὰρ ἄλλον φησὶ τοιο ῦτον εὑρήσετε δίκαιον, ἅγιον, ἀληθῶς θεόν, ἐπιμελῶς ὑμῶν προμηθούμενον. Οὕτω καὶ ὁ μακάριος ἔφη Μωυσῆς· «Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε; Τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις;» Οὕτω καὶ ὁ θ εῖος Δαυίδ· «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.» Οὕτω καὶ ὁ θεῖος Ἱερε μίας · «Πόθεν ὅμοιός σοι κύριε; Πόθεν ὅμοιός σοι βασιλεῦ τῶν ἐθνῶν;» Ἐὰν διορθώσῃ καὶ ποιήσῃ Ἱερουσαλὴμ ἀγαυρίαμα ἐπὶ τῆς γῆς, καύχημα ἐν τῇ γῇ. Τοῦτο δὲ μαθήσῃ τῆς προτέρας ἀγνοίας ἀπαλλα γ εῖσα καὶ τοὺς αἰχμαλωτεύσαντάς σε δαίμονας ἀνδρείως καταγωνισαμένη. 8Ὤμοσε κύριος κατὰ τῆς δόξης αὐτοῦ καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ, εἰ ἔτι δώσει τὸν σῖτόν σου καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου ἐφ' ᾧ ἐμόχθησας, 9ἀλλ' οἱ ςυναγα γόντες φάγονται αὐτὸν καὶ αἰνέσουσι τὸν κύριον καὶ οἱ συναγαγόντες πίονται αὐτὸν ἐν ταῖς ἐπαύλεσί μου ταῖς ἁγίαις. Σοῦ γὰρ γενναίως ἀγωνιζομένης ἐγὼ στρατηγήσω καί, ἐπειδὴ οὐδένα ἄλλον ἔχω μείζονα καθ' ὃν ὀμνύναι δεῖ, κατὰ τῆς οἰκείας δόξης καὶ κατὰ τῆς οἰκείας δυνάμεως ὄμνυμι, ὡς σοὶ τοὺς σοὺς φυλάξω καρποὺς καὶ οὐ συγχωρήσω τούτους ἁρπαγῆναι συνήθως, ἀλλὰ σὺ τῶν πόνων ἀπολαύσῃ τῶν σῶν. Σῖτον δὲ καὶ οἶνον καὶ βρώματα τροπικῶς τοὺς τῆς δικαιοσύνης νοητέον καρπούς. 10Πορεύεσθε, περιέλθετε διὰ τῶν πυλῶν μου, σκευάσατε τὴν ὁδὸν καὶ ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ ῥίψατε. Καὶ ταῦτα νομίζουσιν Ἰουδαῖοι τὴν αὐτῶν προλέγειν ἐπάνοδον, ἀλλ' οὐκ ἐᾷ νοεῖν οὕτω τὰ ἑξῆς. Φησὶ γάρ· Ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη· 11Ἰδοὺ γὰρ κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. Ἀκουστὸν δὲ ἕως ἐσχάτου τῆς γῆς πεποίηκεν ὁ θεὸς οὐ τὸ οἰκοδόμημα τῆς Ἱερουσαλὴμ ἀλλὰ τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς τοῦ δεσπότου ἀνάληψιν καὶ τοῦ πνεύματος τοῦ ἁγίου τὴν ἐπιφοίτησιν καὶ τῶν μελ λόντων ἀγαθῶν τὴν ἐλπίδα. Τούτοις εὐτρεπισθῆναι κελεύει τοῖς κήρυξι τὴν ὁδὸν καὶ ὁμαλὴν ταύτην καὶ λείαν γενέσθαι τῆς δυσκολίας ἀναιρουμένης. Λίθους γὰρ καλεῖ τὰ κωλύματα. Οὕτω καὶ ἐν τοῖς πρόσθεν ὁ προφητικὸς ἔφη λόγος· «Ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς πεδία.» Εἶτα τῆς ὁδοῦ σκευασθείσης κελεύει τοῖς κήρυξιν εἰπεῖν τῇ θυγατρὶ Σιών, τουτέστι τῇ κατὰ τὴν οἰκουμένην ἐκκλησίᾳ· Ἰδοὺ ὁ σωτήρ σου παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθὸν μετ' αὐτοῦ καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ 12καὶ καλέσει αὐτὸν λαὸν ἅγιον λελυτρωμένον ὑπὸ κυρίου. Οἱ προ φῆται ἔλεγον· «Ἰδοὺ κύριος μετὰ |179 b| ἰσχύος ἔρχεται», ἐνταῦθα δὲ ἐκ προσώπου τῶν ἀποστόλων· Ἰδοὺ ὁ σωτήρ σου παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθόν. Τούτου δὲ τοῦ μισθοῦ καὶ ἄνω ἐμνήσθη καὶ τοῦ ἔργου ὁμοίως, καὶ οὐ χρὴ ταυ το λογίᾳ κεχρῆσθαι. Σὺ δὲ κληθήσῃ ἐπιζη τουμένη πόλις καὶ οὐκ ἐγκαταλελειμμένη. Πάλαι γὰρ ἐγκα τε λέλειπτο· οὔτε γὰρ Μωυσέα τὸν μέγαν οὔτε ἄλλον τινὰ ἐδέξατο τῶν προφητῶν οἰκιστήν. Ἐ ντεῦθεν ἡμᾶς ἡ προφητεία διδάσκει τοῦ πολέμου τὸν τρόπον, ὃν ὑπὲρ ἡμῶν ὁ δεσπότης ἀ ναδεξ άμενος καὶ νενίκηκε καὶ κατέλυσε τὸν πολέμιον καὶ συνέτριψε τὸν τῆς δουλείας ζυγόν. 631Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ, οὗτος ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος πολλῆς; Σχηματίζει τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγον εἰς ἐρώτησιν ὁ προφήτης· μηνύει δὲ ὡς οἶμαι τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ δεσπότου. Καὶ τὸ ψαλμικὸν μεμίμηται σχῆμα· καὶ γὰρ ἐκεῖ ὁμοίως ἐρωτῶσί τινες· «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;» οὐκ ἐπειδὴ ἠγνόουν αἱ ἐπουράνιαι δυνάμεις τὸν ἀνιόντα, ἀλλὰ διὰ τῆς ἐρωτήσεως καὶ ἀποκρίσεως ἡμᾶς ἀκριβέστερον ἐκδιδάσκουσαι τοῦ ἀναληφ θέντος τὴν φύσιν. Οὕτω καὶ ἐνταῦθα πυνθάνονταί τινες· Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; Ἐδὼμ δὲ τὴνἐρυθρὰν ὀνομάζουσι γῆν, Βοσὸρ δὲ τὴν σάρκα· θαυμάζουσι δὲ ὅτι ἐν γηίνῃ καὶ σαρκίνῃ στολῇ ἄρρητον τοῦ περιβε βλη μένου τὸ κάλλος καὶ τοσοῦτον ὡς βιάζεσθαι τοὺς ὁρῶντας εἰς ἔρωτα. Τούτου τοῦ κάλλους καὶ ὁ μακάριος μέμ νηται Δαυίδ· «Ὡραῖος» γάρ φησι «κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Ὅτι Ἐδὼμ τὸ πυρρὸν ἑρμηνεύεται, ἄ ντικρυς τῆς νύμφης ἐν τῷ Ἄισματι τῶν Ἀισμάτων βοώσης. «Ὁ ἀδελφιδός μου πυρρὸς καὶ λευκός». Δι πλῆ ἡ φύσις· διὸ λευκὸν μὲν καλεῖ τὸ ἀπρόσιτον τῆς θεότητος φῶς, πυρρὸν δὲ τὸ ἀνθρώπειον εἶδος. Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Τοῖς θαυμάζουσιν αὐτοῦ τὸ κάλλος ταύτην δέδωκε τὴν ἀπό κρισιν· Ἐγώ φησι διδάξω ὑμᾶς τῆς δικαίως γεγενημένης σωτηρίας τὸν τρόπον. Εἶτα πάλιν ἐρωτῶσιν · 2Ἵνα τί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς πάτημα τοῦ ληνοῦ; 3Πλήρης καταπεπατημένης. Στολὴν αὐτοῦ καὶ ἱμάτιον τὴν ἀνθρω πότητα προσαγορεύει· ἀπὸ δὲ τῆς πλευρᾶς αὐτοῦ «ἐξῆλθεν αἷμα καὶ ὕδωρ» κατὰ τὴν τοῦ εὐαγγελιστοῦ μαρτυρίαν. Ληνὸν δὲ ὀνομάζει τὴν τῶν πολεμίων κατάλυσιν· καθάπερ γὰρ ἐν ταῖς ληνοῖς ἅπαντες οἱ βότρυες ἀποθλίβονται, οὕτω καὶ τὸν διάβολον καὶ πᾶσαν αὐτοῦ τὴν φάλαγγα παντελῶς ὁ δεσπότης κατέλυσεν. Διδάσκει τοίνυν τοὺς ἐρομένους ὅπερ μαθεῖν ἐβουλήθησαν· Ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ· καὶ κατεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου καὶ κατέθλασα αὐτοὺς ἐν τῇ ὀργῇ μου καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. Καὶ κατερ ράνθαι λέγει τὰ ἱμάτια τῷ κατανικήματι τῶν ἐχθρῶν. 4Ἡμέρα γὰρ ἀνταποδόσεως ἦλθεν αὐτοῖς καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστιν. Καιρὸς γάρ ἐστι καὶ τούτους δοῦναι ὧν ἐτόλμησαν δίκας καὶ τοὺς ἀδίκως αὐτοῖς δεδουλευκότας ἐλευθερίας τυχεῖν. 5Καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν ὁ βοηθῶν· καὶ προσενόησα, καὶ οὐθεὶς ἀντελαμβάνετο· καὶ ἐρρύσατό με ὁ βραχίων μου. Τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ.» Οὕτω καὶ ἐνταῦθα ὁ κύριος ἔφη ὅτι οὐδεὶς ἦν ὁ βοηθῶν καὶ οὐδεὶς ἀντελαμβάνετο–οὐ γὰρ εἶχε συνερ γοῦσαν τὴν τῶν ἀνθρώπων δικαιοσύνην–, ἤρκεσε δὲ ὁ ἐμὸς βραχίων τοῦ καταλῦ σαι τοὺς πολεμίους. Βραχίονα δὲ καλεῖ τῆς δικαιοσύνης τὴν δύναμιν· ἀκηλίδωτον γὰρ καὶ ἁμ αρτίας ἐλευθέραν διεφύλαξε καὶ ἣν ἀνέλαβε φύσιν. Καὶ ὁ θυμός μου αὐτὸς ὑπέστη, 6καὶ κατεπάτησα αὐτοὺς ἐν τῇ ὀργῇ μου καὶ ἐμέθυσα αὐτοὺς ἐν τῷ θυμῷ μου καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς τὴν γῆν. Ἀντὶ τοῦ αἵματος οἱ Τρεῖς Ἑρμηνευταὶ «τὸ νεῖκος» τεθείκασιν. Δικαίᾳ χρησά μενός φησι κατ' αὐτῶν ὀργῇ πανωλεθρίᾳ παρέδωκα· καὶ οἷόν τινι κάρῳ τῇ συμφορᾷ κατε χόμενοι ἀκίνητοι κεῖνται ὑπὸ τῶν δορυαλώτων πατούμενοι. Ταύτης τοίνυν τῆς εὐεργεσίας ἀπολα ύσαντες καὶ τῆς πικρᾶς ἐκείνης ἀπαλλαγέντες δουλείας τὸν τούτων αἴτιον |180 a| ἀνυμνήσωμεν. Αὐτὸς γὰρ τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος πόλεμον ἡμῖν ἔ δωκ ε τῆς νίκης καὶ τῆς εἰ ρήνης τὸ δῶρον, ὧν εἰς τὸ τέλος ἀπολαύοιμεν χάριτι τοῦ νενικηκότος, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ πανα γίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 20 ΤΟΜΟΣ Κ΄ 7Τὸν ἔλεον κυρίου ἐμνήσθην, τὰς ἀρετὰς ἀναμνήσω, τὴν αἴνεσιν κυρίου ἐπὶ πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσιν. Τὴν ἄφατον τοῦ δεσπότου προθεσπίσας φιλανθρωπίαν καὶ τὴν διὰ τῆς ἐνανθρωπήσεως γεγενημένην σωτηρίαν προαγορεύσας μάλα εἰκότως ἐπήγαγεν· τὸν ἔλεον κυρίου ἐμνήσθην. Ἐλέου γὰρ καὶ φιλανθρωπίας ἡ τῆς ἐνανθρωπήσεως χάρις. Τὰς μέντοι ἀρετὰς ὁ μὲν Ἀκύλας «ὑμνήσεις», ὁ δὲ Θεοδοτίων καὶ ὁ Σύμμαχος «αἰνέσεις» ἡρμήνευσαν· τὸ δὲ ἀνταποδίδωσιν ὁ Σύμμαχος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«εὐεργέτησεν» εἶπεν. Ἀκριβέστερον μέντοι οἱ Ἑβδομήκοντα τὸ ἀνταποδίδωσι τεθείκασιν· ἐπειδὴ γὰρ τιμωρίαν ὠφείλομεν, σωτηρίαν δὲ ἀντὶ τιμωρίας ἐλάβομεν, εἰκότως τὸ ἀνταποδίδωσι τεθείκασιν ἀντὶ τοῦ· τοῖς ἐναντίοις ἡμᾶς ἀμείβεται ἀντὶ κακῶν διδοὺς ἀγαθά. Ταύτην γὰρ τὴν διάνοιαν καὶ ὁ Ἀκύλας τέθεικεν. Κύριος κριτὴς δίκαιος τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν κατὰ τὸν ἔλεον αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Οὐ μόνῃ τῇ δικαιοσύνῃ κεχρημένος δικάζει, ἀλλ' ἐλέῳ κιρνᾷ τὸ δίκαιον, μᾶ λλον δέ· νικᾷ ἡ φιλανθρωπία τὸ δίκαιον. 8Καὶ εἶπεν· Οὐχὶ ὁ λαός μού ἐστι τέκνα μου καὶ οὐ μὴ ἀθετήσουσιν; Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν 9ἐκ πάσης θλίψεως. Ἐχρήσατο δὲ φιλανθρωπίᾳ εἰς τὸν νέον ἀποβλέψας λαόν, ὃν καὶ τῆς υἱοθεσ ίας ἠξίωσεν· οἷς μαρτυρεῖ καὶ τὸ ἑδραῖον τῆς πίστεως· οὐ γὰρ μὴ ἀθετήσουσιν. Οὐ πρέσβυς οὐδὲ ἄγγελος ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν αὐτοὺς διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν, αὐτὸς ἐλυτρώσατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. Διὰ τούτους φησὶ καὶ τῶν ἄλλ ων τῶν παρανομούντων ἠνέσχετο καὶ πάντων προμηθούμενος διετέλεσε καὶ παντοδαπῆς αὐτοὺς προνοίας ἠξί ωσεν οὐκ ἀγγέλοις διακόνοις τῆς σωτηρίας χρησάμενος ἀλλ' αὐτὸς τῆς ἐνανθρωπήσεως ἀναδεξάμενος τὸ μυστήριον. Τὸ δέ· Οὐ πρέσβυς οὐδὲ ἄγγελος, ὁ Θεοδοτίων «Οὐ πολιορκητὴς οὐδὲ ἄγγελος» ἔφη. Οὐδενὶ γὰρ ἄλλῳ τὸν ὑπὲρ ἡμῶν ἐνεχείρισε πόλεμον ἀλλ' αὐτὸς ἐπολέμησεν, αὐτὸς ἠρίστευσεν, αὐτὸς κατέλυσε τοῦ τυράννου τὸ κράτος. 10Αὐτοὶ δὲ ἠπείθησαν καὶ παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, αὐτὸς κύριος ἐπολέμησεν αὐτούς. Αὐτὸς μὲν τῇ ἀρρήτῳ χρώμενος ἀγαθότητι πάντα ὑπὲρ τῆς αὐτῶν ἐπραγματεύσατο σωτη ρίας· οἱ δὲ πονηρίᾳ συζῶντες, τουτέστιν Ἰουδαῖοι, καὶ «ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες», ᾗ φησιν ὁ θεσπέσιος Στέφανος–ἐντεῦθεν δὲ κἀκεῖνος τὴν κατηγορίαν ὕφηνεν–οὐκ ἐδέξαντο τὴν σωτηρίαν ἀλλὰ τῆς εἰρήνης τὴν ἀφορμὴν πολέμου πρόφασιν ἐποιήσαντο· οὗ δὴ χάριν τῆς ἀχαριστίας αὐτοὺς εἰσεπράξατο δίκας. 11Καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων, Μωσῆ καὶ λαοῦ αὐτοῦ. Ἐμνήσθη δὲ καὶ τῶν πάλαι γεγενημένων ἐπὶ Μωυσέως τοῦ νομοθέτου· καὶ γὰρ οἱ ἐπ' ἐκείνου δυσσεβοῦντες καὶ παρανομοῦντες ἐν τῇ ἐρήμῳ καταναλώθησαν. Ποῦ ἐστιν ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων αὐτοῦ; Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, 12ὁ ἀναγα γὼν τῇ δεξιᾷ τὸν Μωυσῆν; Ὁ δὲ Ἀκύλας οὕτως· «Ποῦ ὁ ἀναβιβάσας αὐτοὺς ἀπὸ θαλάσσης σὺν νομεῦσι ποιμνίου αὐτοῦ;» Καὶ ὁ Σύμμαχος δὲ καὶ ὁ Θεοδοτίων «ἀπὸ θαλάττης» ἀντὶ τῆς γῆς τεθείκασιν· οὕτω δὲ καὶ παρὰ τοῖς Ἑβδομήκοντα εὗρον κείμενον ἐν τῷ Ἑξαπλῷ. Μέμνηται δὲ ὁ προφητικὸς λόγος τῆς διὰ θαλάττης γεγεν η μένης πορείας· προορῶν γὰρ αὐτοὺς τῆς θείας κηδεμονίας ἐρήμους γεγενημένους καὶ κατὰ τὴν ἡ μῖν γ εγε νη μέ νην πρόρρησιν διασπασθέντα μὲν τοῦ ἀμπελῶνος τὸν φραγμόν, καταλυθέντα δὲ τὸν τοῖχ ον, αὐτὸν δὲ ὑπὸ πάντων πατού μενον, τῶν παλαιῶν ἐκείνων ἀναμιμνῄσκεται, ὅτε διῃρέθη μὲν τὸ πέλαγος , ἐγένετο δὲ αὐτοῖς ἱππήλατον πεδίον ὁ τῆς θαλάττης πυθμήν, εἶδον δὲ τοὺς πολεμίους ἅπαντ ας ὑποβρυχίους γεγενημένους, ἀπήλαυον δὲ καὶ προφητικῆς χάριτος, δι' ἐκείνων τοῦ παν αγίου πνεύματος τὰ ἐσόμενα προδηλοῦντος. Ὁ μέντοι θεῖος ἀπόστολος τοῦτο εἰς τὸν δεσπότην Χριστὸν οὐχ ὡς ἀληθῶς |180 b| ἔλαβ εν ἀλλ' ὡς τυπικῶς ἐπὶ τὴν ἀλήθειαν μετήνεγκεν· καθάπερ <γὰρ> τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων διωκ όντων διέβη τὴν θάλατταν ὁ λαὸς ἡγουμένου τοῦ Μωυσέως, οὕτως τοῦ διαβόλου καὶ τῶν δαιμόνων πολεμούντων συνέτριψε μὲν ὁ δεσπότης Χριστὸς τοῦ θανάτου τὰς πύλας καὶ πρῶτος ταύτας διῆλθεν, ἐξάγει δὲ καὶ πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν. Τούτου δὴ χάριν ὁ θεῖος ἀπόστολος ταῦτα τίθησιν ἐπὶ τοῦ δεσπότου Χριστοῦ τὰ ῥητὰ καί φησιν· «Ὁ ἀναγαγὼν ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν.» Τούτου ἐστὶν ὁ Μωυσῆς ὑπουργός τε καὶ τύπος· οὗτος γὰρ ὁ ἀληθινὸς «ποιμὴν ὁ τὴν ψυχὴν αὐτοῦ τεθεικὼς ὑπὲρ τῶν προ βάτων». Εἶτα τῶν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐρυθρᾷ Θαλάττῃ γεγενημένων ἀναμιμνῄσκει· Ὁ βραχίων τῆς δόξης αὐτοῦ κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ ποιῆσαι ἐν αὐτῷ ὄνομα αἰώνιον. Τῇ γὰρ ἐνεργείᾳ τοῦ θείου προστάγματος διῃρέθη τὸ πέλαγος καὶ ἐγένετο αὐτοῖς «τὸ ὕδωρ τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων». Τοῦτο γὰρ εἶπεν· κατίσχυσεν, τουτέστιν· ἔστη καὶ ἡ ῥοώδης φύσις ἐμιμεῖτο τειχῶν οἰκοδομίαν. 13Ἤγαγεν αὐτοὺς δι' ἀβύσσου ὡς ἵππον δι' ἐρήμου 14καὶ ὡς κτήνη διὰ πεδίου, καὶ οὐκ ἐκοπίασαν. Ἐν ταῖς ἐρήμοις εὐπετ ῶς ὁ ἵππος δύναται τρέχειν· οὐ γὰρ ἔστιν αἱμασιῶν καὶ δένδρων κωλύματα. Καὶ τὰ κτήνη δὲ ὡσαύ τως μετὰ πολλῆς μὲν δυσκολίας τὰ ὄρη διαβαίνει, εὐπετῶς δὲ μάλα τὰ πεδία διέρχεται. Τὴν πολλὴν τοίνυν τῆς διαβάσεως διὰ τούτων δεδήλωκεν εὐκολίαν, ὑποδείκνυσι δὲ καὶ τῶν γεγενημένων τὸ αἴ τιον· Κατέβη πνεῦμα παρὰ κυρίου καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου τοῦ ποιῆσαι σεαυτῷ ὄνομα δόξης. Ἡ θεία γὰρ αὐτοὺς ἐποδήγησε χάρις, καὶ δῆλος ἐγένετο πᾶσι τοῦ Ἰσραὴλ ὁ θεός. Ἐντεῦθεν πρὸς αὐτὸν τὸν θεὸν ὁ προφήτης μεταφέρει τὸν λόγον ὑπὲρ τοῦ λαοῦ τὴν ἱκετείαν προσφέρων· 15Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ κύριε καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης. Ὁρῶν τὸν λαὸν τῆς προτέρας κηδεμονίας ἐστερη μένον καὶ τὸν ναὸν τῆς θείας χάριτος γενόμενον ἔρημον, ἱλεούμενος αὐτὸν λέγει· Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ κύριε, ἄνω θεν γὰρ ἐποπτεύειν δύνασαι τὰ ἡμέτερα· πλήρωσον πάλιν τὸν ναὸν τῆς χάριτός σου. Ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, ὅτε ἀνέσχου ἡμῶν· Μακροθυμῶν ἡμῖν ἀεὶ δέσποτα διετέλεις, ἔφερες τὴν ἡμετέραν παρανομίαν, ζήλῳ κατὰ τῶν πολεμίων ἐκέχρησο καὶ τὴν ἄμαχόν σου δύναμιν δήλην ἐποίεις. 16Σὺ γὰρ ἡμῶν πατὴρ εἶ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ κύριε πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστιν. Οὐδεὶς ἡμᾶς ἐκείνων τῶν παλαιῶν προγόνων ἐπίσταται· διὸ σὲ μόνον καὶ δεσπότην καὶ πατέρα καλοῦμεν· σὸς γὰρ λαὸς ἐχρηματίσαμεν ἄνωθεν. 17Τί ἐπλάνησας ἡμᾶς κύριε ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε; Ἡ πολλή σου μακροθυμία ταύτην ἡμῖν εἰργάσατο τὴν ἀναίδειαν· ἐπειδὴ γὰρ παρανομοῦντας οὐκ ἠνείχου κολάζειν, ἐπεμείναμεν παρανομοῦντες καὶ τῶν σῶν νόμων καταφρονοῦντες. Τοιοῦτόν ἐστι καὶ τὸ τῷ μακαρίῳ Μωυσῇ εἰρημένον· «Ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραώ.» Ἀνεξικα κ ί ᾳ γὰρ πολλῇ καὶ μακροθυμίᾳ χρησάμενος βατράχοις αὐτὸν καὶ σκνιψὶ καὶ μυίαις κατ' ἀρχὰς ἐ μασ τίγωσεν, ὁ δὲ ὑπέλαβε τὸν θεὸν μὴ δύνασθαι μείζοσιν αὐτὸν ὑποβάλλειν τιμ ωρίαις. Ὅτε δὲ τὰ πρωτότοκα τῶν Αἰγυπτίων ὁ ὀλοθρεύων διέφθειρε καὶ καθί κετο αὐτοῦ τῆς σκληρᾶς καὶ ἀντιτύπου καρδίας ἡ τῆς ὀδύνης αἴσθησις, τότε εἴξας ἀπέλυσε τὸν λαόν. Δῆλον δὲ το ί νυν ὅτι, εἰ τοῦ το εὐθὺς ἐξ ἀρχῆς γενέσθαι προσέταξεν, ἀφέθη ἂν ἐξ ἀρχῆς ὁ λαός. Ἐπειδὴ δὲ τῇ συ νήθει μακροθυμίᾳ καὶ φιλανθρωπίᾳ χρώμενος σμικρὰς αὐτῷ παιδείας προσήνεγκεν, ἀντέτεινεν ὀνει δίζων . Οὗ δὴ χάριν εἶπεν ὁ τῶν ὅλων θεός· «Ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραώ», τουτέστιν ἀνεξικακῶν καὶ μακροθυ μῶν. Καὶ γὰρ ἡμεῖς τοῖς συνεχῶς ἁμαρτάνουσιν οἰκέταις εἰώθαμεν λέγειν· Εἰ ἐξ ἀρχῆς ἐπαι δεύθης, οὐκ ἂν ἦσθα τοιοῦτος. Οὕτω καὶ ὁ προφήτης ἐκ προσώπου τοῦ λαοῦ τὸν |181 a| δεσπότην ἀντιβολῶν ἔλεγεν· Τί ἐπλάνησας ἡμᾶς κύριε ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε; Ἐπὶ πλεῖστόν φησιν ἐμακροθύμησας, ὁρῶν ἀδεῶς παρανομοῦντας οὐκ ἐπαίδευσας· ἐντεῦθεν ἀντίτυπον καρδίαν ἐσχήκαμεν, διὰ τοῦτο τὴν εὐθεῖαν ὁδὸν κατελίπομεν. Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, 18ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Ἀναμνήσθητι τῶν ἡμετέρων προγόνων, οἳ σοὶ θεράποντες ἐχρημάτισαν, ἀναμνήσθητι τῶν ἡμετέρων φυλῶν ἃς ἐν τῇ ἐρήμῳ διέκρινας, ἃς σὸν ὠνόμα σας κλῆρον, καὶ μὴ παντελῶς ἡμᾶς ἐξελάσῃς τῶν ἁγίων σου περιβόλων. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Τὰ ἄδυτα καὶ ἄψαυστα καὶ μόνοις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῖς ἱερεῦσι βατὰ ἔρημα ἐγένετο καὶ ὑπὸ τῶν δυσσεβῶν πολεμίων κατεπατήθη. Δυσσεβεῖς γὰρ ἦσαν οὐ μόνον Βαβυλώνιοι ἀλλὰ καὶ Μακεδόνες καὶ Ῥωμαῖοι, ἡνίκα τὴν Ἱερουσαλὴμ ἐξεπόρθησαν. 19Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς. Τῆς παντοδαπῆς ἐκείνης ἐγυμνώθημεν προμηθείας καὶ τοῖς ἡμετέροις ἐοίκα μεν προγόνοις, οἳ ἐν Αἰγύπτῳ δουλεύοντες οὐδέπω σὸς λαὸς ἐχρημάτιζον. Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται 641ὡς κηρὸς τήκεται ὑπὸ πυρός, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους σου, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις σου. Ταῦτα δὲ πεπόνθαμεν οὐ διὰ τὴν σὴν ἀσθένειαν ἀλλὰ διὰ τὴν ἡμετέραν παρανομίαν. Σοῦ γὰρ οὐρανόθεν τὴν οἰκείαν ἐπιφάνειαν ποιουμένου κλονεῖται τὰ ὄρη καὶ κηροῦ δίκην πυρὶ πελάζοντος διαλυθή σεται. Πῦρ δὲ τοὺς ἡμετέρους δυσμενεῖς δαπανήσει καὶ φανερὰ πᾶσιν ἡ σὴ γενήσεται δύναμις. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται· 2ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Πάντα σοι ῥᾴδια, πάντα σοι εὐπετῆ· σεῖσαι τὴν γῆν, ταράξαι τὰ ἔθνη. 3Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον θεὸν πλὴν σοῦ. Δι' αὐτῶν μεμαθήκαμεν τῶν πραγμάτων ὡς σὺ μόνος ὑπάρχεις θεός· ἑτέρου γὰρ οὐδενὸς οὔτε ἐθεασάμεθα οὔτε ἠκούσαμεν ἔργα θεῷ πρέποντα. Καὶ τὰ ἔργα σου ἀληθινά. Οὐ γὰρ ἔοικας τοῖς τῶν εἰδώλων τεχνάσμασι καὶ ταῖς παντοδαπαῖς ἐξαπάταις. Καὶ ποιήσεις τοῖς ὑπομένουσί σε ἔλεον· 4συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Ἔδειξε τοῦ ἐλέου τὸ δίκαιον· οὔτε γὰρ ὁ ἔλεος τοῦ θεοῦ ἄκριτος οὔτε ἡ κρίσις ἀνέλεος. Διά τοι τοῦτο τοῖς ὑπομένουσι καὶ τοῖς ποιοῦσι τὸ δίκαιον τὴν τοῦ ἐλέου χορηγίαν συνέ ζευξεν. Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. Ἀγανακτεῖς δὲ καθ' ἡμῶν οὐκ ἀδίκως· ἡ γὰρ ἡμετέρα παρανομία τὴν ὀργὴν παραθήγει. Οὕτω καὶ ὁ Σύμμαχος ἡρμήνευσεν· «Ἰδοὺ σὺ ὠργίσθης ἁμαρτανόντων ἡμῶν.» Οὐ γὰρ αὐτοῦ ὀργισθέντος ἥμαρτον, ἀλλ' ἐκείνων ἁμαρτόντων ὠργίσθη. Διὰ τοῦτο ἐπλανήθημεν 5καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες <ἡμεῖς>. Ἡμαρτηκότων ἡμῶν ὠργίσθης· ὀργισθεὶς δὲ τῆς σῆς ἡμᾶς προνοίας ἐγύμνωσας. Ἡμεῖς δὲ ταύτης γυ μνωθέν τες τῇδε κἀκεῖσε περιπλανώμεθα καὶ τῆς σῆς ἐστερήμεθα ἁγιωσύνης μυσαροί τινες καὶ ἀκάθαρτοι γεγε νημένοι. Καὶ ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν. Ἄξιον θαυμάσαι τοῦ προφήτου τὴν σύνεσιν· τῷ γὰρ ἀκαθάρτῳ ῥάκει οὐ τὴν ἁμαρτίαν ἀλλὰ τὴν δικαιοσύνην αὐτῶν ἀπείκασεν. Εἰ δὲ ἡ δικαιοσύνη ἐκείνῳ ἀπείκασται, οὐκ ἔχει εἰκόνα παραβαλλομένη ἡ ἁμαρτία. Καὶ ἐξερρύημεν ὡς φύλλα πάντες ἡμεῖς διὰ τὰς ἀνομίας ἡμῶν, οὕτως ἄνεμος οἴσει ἡμᾶς. Ἔδειξε καὶ διὰ τούτων τῆς τιμωρίας τὸ δίκαιον. Τῆς πολλῆς φησι παρανομίας τίνομεν δίκας καὶ ἐοίκαμεν φύλλοις ὑπὸ λαίλαπος φερομένοις. 6Καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου, ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν καὶ παρέδωκας ἡμᾶς ταῖς ἁμαρτίαις ἡμῶν. Εἰς ἀναλγησίαν ἐξεπέσαμεν καὶ τῶν ἐπικειμένων οὐκ |181 b| αἰσθανόμεθα συμφορῶν οὐδὲ τὴν τούτων αἰτοῦμεν ἀπαλλαγήν· τῆς γὰρ σῆς γυμνωθέντες ἐπιμελείας διὰ τὴν πολλὴν παρανομίαν ἐξεδόθημεν τῇ δουλείᾳ. 7Καὶ νῦν κύριε πατὴρ ἡμῶν σὺ εἶ, ἡμεῖς δὲ πηλός· καὶ σὺ ὁ πλάστης ἡμῶν, ἔργα τῶν χειρῶν σου πάντες ἡμεῖς. Τῆς ἀρχαίας ἀναμιμνήσκει δημιουργίας καὶ πατέρα καλεῖ καὶ δεσπότην καὶ πλάστην καὶ τὴν ἀνθρωπείαν φύσιν ὀνομάζει πηλόν, ἵνα καὶ διὰ τούτων ἀνοίξῃ τὰς τοῦ ἐλέου πηγάς. 8Μὴ ὀργίζου ἡμῖν κύριε ἕως σφόδρα καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Τό· μὴ ἐν καιρῷ, «μὴ εἰς τὸν αἰῶνα» ὁ Σύμμαχος εἴρηκεν ἀντὶ τοῦ· εἰς τέλος. Οὕτω καὶ ὁ μακάριος ἔφη Δαυίδ· «Ἵνα τί ὁ θεὸς ἀπώσω εἰς τέλος;», καὶ πάλιν· «Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν», καὶ ἑτέρωθι· «Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.» Κατὰ μέντοι τοὺς Ἑβδομήκοντα οὕτως νοή σω μεν· μὴ ἐν τῷ καιρῷ τῆς τῶν πολεμίων προσβολῆς τῶν ἡμετέρων ἁμαρτημάτων μνησθῇς. καὶ νῦν ἐπίβλεψον κύριε ὅτι λαός σου πάντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡμεῖς, 9πόλις τοῦ ἁγίου σου, τουτέστι τοῦ Δαυίδ· αὐτοῦ ἐχρη μάτιζε πόλις. Ἐγενήθη ἔρημος Σιὼν ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ· εἰς κατάραν 10ὁ οἶκος τοῦ ἁγιάσματος ἡμῶν, καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν ἐγενήθη πυρί καυστος, καὶ πάντα τὰ ἔνδοξα ἡμῶν συνέπεσαν. Εἰ ἡμεῖς φιλανθρωπίας φησὶν ἀνάξιοι οἱ σὸς λαὸς χρηματίσαντες, τὴν πόλιν φειδοῦς διὰ τὸν ταύτης ἀξίωσον οἰκιστήν· ἔρημος γὰρ αὕτη γεγένηται. Καὶ τῇ μνήμῃ τῆς προσηγορίας εἰς ἔλεον διεγείρει· Ἐγενήθη ἔρημος Σιὼν ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ. Τὸ δέ· εἰς κατάραν ὁ οἶκος τοῦ ἁγιάσματος ἡμῶν, οἱ μὲν Ἄλλοι «εἰς ἀφανισμὸν» ἡρμήνευσαν. Ἔχει δὲ καὶ ἡ κατάρα διάνοιαν τῷ πάθει πρόσφορον· εἰώθασι γὰρ πάντ ες λέγειν· Πάθοις ἃ ὁ δεῖνα πέπονθεν. Ὁ πολυθρύλητος τοίνυν νεώς, ὁ πλήρης ἁγιωσύνης, ὁ παρὰ πᾶσιν ἀοίδιμος πολεμικῷ μὲν ἐνεπρήσθη πυρί, πρόκειται δὲ τοῖς ἐπιτωθάζουσιν εἰς κατάραν. 11Καὶ ἐπὶ τούτοις πᾶσιν ἀνέσχου κύριε καὶ ἐσιώπησας. Ταῦτα δὲ πάντα ὁρῶ<ν> ὑπὸ τῶν πολεμίων γιγνόμενα ἠνέσχου μακροθυμῆσαι. Καὶ τὴν αἰτίαν διδάσκει· Καὶ ἐταπείνωσας ἡμᾶς ἕως σφόδρα. Ἵνα γὰρ ἡ μᾶς ταπεινώσῃς καὶ τὸ ἡμέτερον φρόνημα καταλύσῃς, οὐκ ἐβουλήθης κολάσαι τοὺς ταῦτα τετολ μηκότας. Ταύτης ὑπὸ τοῦ προφήτου τῆς ἱκετείας προσενεχθείσης ἀποκρίνεται ὁ τῶν ὅλων θεὸς τῇ αὐτῇ χρώμενος γλώττῃ· 651Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εἶπον· Ἰδού εἰμι ἰδού εἰμι ἐν ἔθνει οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. Οὐ δέχομαί φησι τὴν ὑπὲρ τούτων πρεσβείαν· ἄλλον ἐξελεξάμην λαόν, οὐκέτι τῶν ἀχαρίστων ἀνέξομαι. Δῆλος τοῖς κατὰ τὴν οἰκουμένην ἔθνεσιν ἐγενόμην· εἶδον οἱ ἐν σκότει φῶς, ἔγνωσαν οἱ ἀγνοοῦντες τὸν ποιητήν, εὗρον οἱ μὴ ζητοῦντες τὸν θησαυρόν, οἱ προφήτας οὐκ ἐσχηκότες τῷ ὑπ' ἐκείνων κηρυττομένῳ πιστεύουσιν. 2Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ἐν ὁδῷ οὐ καλῇ ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. Τὰ μὲν οὖν ἔθνη προφήτην οὐ δεξάμενα τὸν εὐεργέτην ἐπέγνω, οὗτοι δὲ παντοδαπῆς ἐπιμελείας τετυχηκότες ὄνησιν οὐδεμίαν ἐδέξαντο ἀλλὰ τῇ συνήθει παρανομίᾳ προσμένουσιν. Τὸ δέ· ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου, δηλοῖ μὲν τὴν ἐν παντὶ τῷ χρόνῳ γεγενημένην αὐτῶν ἐπιμέλειαν, αἰνίττεται δὲ καὶ τοῦ σταυροῦ τὸ σωτήριον πάθος, ἐν ᾧ τὰς χεῖρας ἐξέτεινεν. Εἶτα καὶ τὴν πολλὴν αὐτῶν ἀσέβειαν καὶ παραν ομίαν γυμνοῖ· 3Ὁ λαὸς οὗτος ὁ παροξύνων με ἐναντίον ἐμοῦ διὰ παντὸς αὐτοὶ θυμιάζουσιν ἐν τοῖς κήποις καὶ θυμιῶσιν ἐπὶ ταῖς πλίνθοις 4τοῖς δαιμονίοις καὶ τοῖς οὐκ οὖσιν. Εἰδό τες ὡς ὁρῶ τὰ γιγνόμενα παρόντος μου τοὺς δαίμονας θεραπεύουσι, παροξύνειν με διὰ τῶν τολμωμένων βουλό μενοι. Ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται δι' ἐνύπνια. Σφᾶς |182 a| αὐτοὺς ἐκδεδωκότες τῇ πλάνῃ καὶ ταῖς καθ' ὕπνον γινομέναις φαντασίαις ἀκολουθοῦσι καὶ τούτου χάριν καὶ παρὰ τοὺς τάφους καθεύδειν ἀνέχονται καὶ ἐν τοῖς ἀφωρισμένοις σπηλαίοις τοῖς δαίμοσιν. Οἱ ἐσθίοντες κρέας ὕειον καὶ ζωμοὺς θυσιῶν, μεμολυσμένα πάντα τὰ σκεύη αὐτῶν. Τῆς τοῦ νόμου παραβάσεως κατηγορεῖ διδάσκων, ὡς οὐκ ἀντεχόμενοι τοῦ νόμου οὐδὲ τὴν ἔννομον πολιτεία ἀσπαζόμενοι τὴν μιαιφονίαν ἐκείνην ἐτόλμησαν καὶ τὸν εὐεργέτην τῷ ξύλῳ προσήλωσαν– παρανομοῦσι γὰρ οἵ γε τὸν νόμον ἀεὶ ἀδεῶς παραβαίνοντες–ἀλλὰ συνήθως ἀχάριστοι περὶ τὰς θείας γενόμενοι εὐεργεσίας . 5Οἱ λέγοντες· Πόρρω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καθαρός εἰμι. Τοιοῦτοι ἦσαν οἱ τοῦ σωτῆρος κατηγοροῦντες καὶ λέγοντες· «Ἵνα τί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;» Τοιοῦτος ἦν ὁ Φαρισαῖος ὁ «ἐν αὐτῷ λέγων· Εἰ ἦν οὗτος προφήτης, ᾔδει τίς καὶ ποταπὴ ἡ γυνὴ αὕτη ἡ ἁπτομένη αὐτοῦ». Τοιοῦτος ἦν ὁ ἐν τῷ ἱερῷ προσευχόμενος καὶ λέγων· «Εὐχαριστῶ σοι, ὁ θεός, ὅτι οὔκ εἰμι ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων ἄδικοι, πλεονέκται, μοιχοί, οὐδὲ ὡς οὗτος ὁ τελώνης.» Εἶτα δεικνὺς τοῦ τύφου τὴν βλάβην ἐ πάγει · Οὗτος καπνὸς τοῦ θυμοῦ μου, πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. Ὥσπερ γὰρ τὰ ξύλα διεγείρει τὴν φλόγα, οὕτως ὁ τῦφος, οὕτως


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἡ ἀλαζονεία τὸν ἐμὸν ἐξάπτει θυμόν. 6Ἰδοὺ γέγραπται ἐνώπιον ἐμοῦ· Οὐ μὴ σιωπήσω, ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν 7πάσας τὰς ἁμαρτίας αὐτῶν καὶ τῶν πατέρων αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει κύριος. Ἐπειδὴ πάσῃ συζῶντες παρανομίᾳ ὡς ἄκ ρας ἀρετῆς ἐπειλημμένοι τῶν ἄλλων ὑπερφρονοῦσι, δρέψονται ὧν τολμῶσι τἀπίχειρα καὶ δι δάσκει ὡς οὐ μόνον κατὰ τὸν παρόντα βίον ἀλλὰ κἀν τῷ μέλλοντι δώσουσι δίκας· τούτου γὰρ χά ριν εἴρηκεν· Καὶ τῶν πατέρων αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει κύριος. Οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων. Περὶ τῶν πατέρων αὐ τῶν ταῦτα λέγει. Καὶ ἐπὶ τῶν βουνῶν ὠνείδισάν με. Ἀποδώσω τὰ ἔργα αὐτῶν πρῶτον εἰς τὸν κόλπον αὐτῶν. Τὴν ἐσομένην ἐν τῷ μέλλοντι βίῳ δεδήλωκε κρίσιν. Εἶτα διδάσκει, τίνος χάριν οὕτως α ὐτῶν παρανομούντων ἐπὶ πλεῖστον ἠνέσχετο χρόνον· 8Οὕτως λέγει κύριος· Ὃν τρόπον ἐὰν εὑρεθῇ ῥὰξ ἐν τῷ βότρυι καὶ ἐροῦσιν· Μὴ λυμήνῃ αὐτήν, ὅτι εὐλογία κυρίου ἐστὶν ἐν αὐτῇ, οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι· τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας. Ὥσπερ γάρ φησιν, εἴ τις ἐν βότρυι μίαν εὕροι πέπειρον ῥᾶγα, δι' ἐκείνην παντὸς τοῦ βότρυος φείδεται, ἵνα τῷ θεῷ τὴν ἀπαρχὴν προσενέγκῃ, οὕτως ἐγὼ ἐπαγγειλάμενος τῷ Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν τὰ ἔθνη πάντα δι' ἐκεῖνο τὸ σπέρμ α παντὸς τοῦ Ἰσραὴλ ἠνεσχόμην παρανομοῦντος, διὰ τοῦτο οὐ περιεῖδον Αἰγυπτίοις δουλεύοντας, τούτου χάριν αὐτ οὺς τῆς τῶν Βαβυλωνίων ἠλευθέρωσα δυναστείας. 9Καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος μου τὸ ἅγιον. Ἄντικρυς ἡμῖν τὸν προφητευόμενον ὁ προφητικὸς ὑπέδειξ ε λόγ ος· τοῦ γὰρ σπέρματος ἀναμνήσας, δι' οὗ τὴν εὐλογίαν τοῖς ἔθνεσι δώσειν ὁ θεὸς ἐπηγγείλατο, τοῦ Ἰακὼ β ἐμ νημό νευσε καὶ τοῦ Ἰούδα. Ἣν γὰρ διὰ τῶν προγόνων καὶ ὑπὸ τοῦ θεοῦ τῶν προγόνων ὁ Ἰακὼβ εὐλογίαν ἐ δέξ ατο, ταύτην οὔτε τῷ Ῥουβὶμ τῷ πρωτοτόκῳ οὔτε τῷ Συμεὼν τῷ δευτέρῳ οὔτε τῷ Λευὶ τῷ τρίτῳ, ἐξ οὗ τὸ τῶν ἱερέων ἐβλάστησε γένος, οὔτε τῷ Ἰωσὴφ τῷ ποθουμένῳ ἀλλὰ τῷ Ἰούδᾳ δέδωκεν· «Οὐκ ἐκλείψει» γὰρ ἔφη «ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν.» Τούτου χάριν ὁ τῶν ὅλων ἔφη θεός· Καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ ἐξ Ἰούδα, τουτέστι τὴν τῶν ἐθνῶν προσδοκίαν, δι' ἧς εὐλογήσειν ἐπηγγειλάμην πάσας τῆς γῆς τὰς φυλάς. Εἶτα μετὰ τοῦ δεσπότου Χριστοῦ καὶ τῶν εἰς αὐτὸν πεπιστευκότων ἀποστόλων καὶ τῶν ἄλλων τῶν τὸ ἐκείνων διαδεξαμένων κήρυγμα μνημονεύει· |182 b| Καὶ κληρο νομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου καὶ κατοι κήσουσιν ἐκεῖ. Ἔπειτα καὶ τῶν ἐθνῶν προλέγει τὴν κλῆσιν· 10Καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου οἳ ἐζήτησάν με. Δρυμὸν τὰ ἔθνη καλεῖ διὰ τὴν προτέραν ἀ πιστίαν , ἐπαύλεις δὲ τὰς ἐκκλησίας καλεῖ, ποίμνια δὲ τοὺς ἐν ταύταις ἀθροι ζομένους λαούς. Διὰ δὲ τῆς Ἀχὼρ φάραγγος αἰνίττεται τὴν ἐν ταῖς ἐκκλησίαις γινομένην κατάνυξιν· τὸν γὰρ Ἄχαρ ἢ καὶ Ἀχὼρ κεκλοφότα καὶ τὸν περὶ τοῦ ἀναθέματος παραβεβηκότα νόμον ἔν τινι κατέλ ευσαν φάραγγι καὶ διὰ τοῦτο τὸ πάθος πολλῆς ἐνεπλήσθησαν κατανύξεως. 11Ὑμεῖς δὲ οἱ ἐγκαταλείποντές με καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου καὶ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν καὶ πληροῦντες τῷ δαίμονι κέρασμα, 12ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες σφαγῇ πεσεῖσθε. Πάντα γὰρ δυσσε βείας μεστά· πρῶτον μὲν τὸ τὸν εὐεργέτην καταλιπεῖν καὶ τοῦ ἀφιερωμένου τῷ θεῷ καταφρονῆσαι ναοῦ, εἶτα τὸ ἀντὶ θεοῦ τοῖς δαίμοσι τοῖς ἀντιθέοις δουλεῦσαι καὶ ἀντὶ τῆς τοῦ θεοῦ προνοίας προελέσθαι τὴν τύχην καὶ ταύτην νομίζειν οἰκονομεῖν τὰ ἀνθρώπεια πράγματα καὶ ταύτην προσφέρειν τὰ ὑπὸ θεοῦ χορηγούμενα. Ὅτι ἐκάλεσα ὑμᾶς καὶ οὐχ ὑπηκούσατε, ἐλάλησα καὶ παρηκούσατε καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. Ἐκάλεσε μὲν αὐτοὺς καὶ διὰ τῶν προφητῶν, καὶ ἀντιτείνοντες διετέλεσαν· ἐκάλεσε δὲ αὐτοὺς καὶ ἐνανθρωπήσας· «Ἰησοῦς» γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησιν «ἔκραξε καὶ εἶπεν· Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω», καὶ πάλιν· «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.» Ἀλλὰ τὴν σωτήριον οὐκ ἐδέξαντο κλῆσιν, τὰς δὲ νομικὰς παρατηρή σεις καὶ τὰς θυσίας, ἃς οὐκ ἐβούλετο, τῆς δωρουμένης αὐτοῖς προετίμησαν χάριτος. 13Διὰ τοῦτο τάδε λέγει κύριος· Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε· 14ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ καρδία<ς>, ὑμεῖς δὲ κεκράξετε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν καὶ ἀπὸ συντριβῆς πνεύμα τος ὀλολύξετε. Ἡ τῶν ἐναντίων παράθεσις μείζονα τοῖς κολαζομένοις τὴν ὀδύνην ἐργάζεται· αὐτίκα τοίνυν Ἰουδαίους οὐχ οὕτως ἡ σφετέρα δυσημερία λυπεῖ, ὅσον ἀνιᾶ τῆς ἐκκλησίας ἡ εὐπραξία. 15Καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ κύριος ὁ θεός. Τό· εἰς πλη σμονήν, οἱ Τρεῖς Ἑρμηνευταὶ «εἰς ὅρκον» τεθείκασιν. Εἰώθασι δὲ πολλοὶ λέγειν οὕτως· Μὴ πάθοιμι ἃ ὁ δεῖνα πέπονθεν. Καὶ τ ῶ ν Ἑβδομήκοντα δὲ ἡ ἑρμηνεία ἔργῳ θεωρεῖται· βδελυκτὸν γὰρ καὶ προσκορὲς καὶ αὐτὸ τῶν Ἰουδαίων τὸ ὄνομα . Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν, 16ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς. Καὶ ἤδη τοῦτο προεῖπε τὸ ὄνομα. Καινὸν δέ ἐστι καὶ οὐ παλαιόν· μετὰ γὰρ τὴν ἐπιφάνειαν τοῦ δεσπότου Χριστοῦ Χριστιανοὶ προσηγο ρεύθησαν οἱ πιστεύσαντες. Ἀντὶ πάσης δὲ τοῦτο προσφέ ρουσιν εὐφημίας οἱ ἄνθρωποι· ὅταν γὰρ ἐπαινέσαι βουληθῶσι, μετὰ τὰς πολλὰς εὐφημίας ἐπιλέγειν εἰώθασιν· ἀληθῶς Χριστιανός. Καὶ παρακαλοῦντες πάλιν εἰώθασι λέγειν· Ὡς Χριστιανὸς ποίησον, ὃ πρέπει Χριστιανῷ ποίησον. Οὕτως εὐλογίας καὶ εὐφημίας ἡ προσηγορία μεστή. Εὐλογήσουσι γὰρ τὸν θεὸν τὸν ἀληθινόν, τουτέστιν οἱ τοῦ καινοῦ ὀνόματος ἀξιούμενοι. Καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν θεὸν τὸν ἀληθινόν. Ἀπορρίψουσι γὰρ τῶν εἰδώλων τὴν μνήμην καὶ τὸν ἀληθινὸν θεὸν ἐν τῷ στόματι διατελέσουσι περιφέροντες. Ἐπιλήσονται γὰρ τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. Θλῖψιν τὴν πλάνην ἐκάλεσεν ὡς πρόξενον συμφορῶν. 17Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδὲ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, 18ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ ὅσα ἐγὼ κτίζω. Τοῦτο καὶ |183 a| ὁ ἀπόστολος ἔφη· «Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.» Οὕτω καὶ διὰ τοῦ προφήτου· Εὐφροσύνη φησίν ἐστι καὶ ἀγαλλίαμα ὅσα ἐγὼ κτίζω. Σωτηρίαν γὰρ αἰώνιον παρέξουσι τὰ ὑπ' ἐμοῦ γιγνόμενα· γέγονε δὲ <ὁ> οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ τοῖς πάλαι πλανωμένοις καὶ ταῦτ α θεο ποιοῦσιν· ἐπέγνωσαν γὰρ τὸν τούτων δημιουργὸν καὶ ἔμαθον ὡς οὐ θεοὶ ταῦτα ἀλλὰ θεοῦ ποιή ματα . Καινὰ τοίνυν ἐστὶ τοῖς ἕτερα ἀνθ' ἑτέρων ὁρῶσιν· παυσαμένης γὰρ τῆς πλάνης ὤφθη τὸ ποίη μα ποίημα καὶ ὁ ποιητὴς ποιητής. Ἰδοὺ ἐγὼ ποιῶ τὴν Ἱερουσαλὴμ ἀγαλλίαμα καὶ τὸν λαόν μου εὐφροσύνην 19καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλὴμ καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου, καὶ οὐκέτι οὐ μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ καὶ φωνὴ κραυγῆς. Περὶ τῆς καινῆς κτίσεως προθεσπίσας ἀναγκ αίως Ἱερουσαλὴμ ἐκείνην ὀνομάζει, περὶ ἧς καὶ ὁ θεῖος ἀπόστολος· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν», καὶ πάλιν· «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.» Ἐκείνην ἀγαλλίαμα ποιήσειν λέγει καὶ τὸν ἐκείνης λαὸν εὐφροσύνην, ἐκείνην ἐλευθέραν ὀνομάζει κλαυθμοῦ. Εἰ δὲ μὴ πείθονται Ἰουδαῖοι , δειξάτωσαν τὴν αὐτῶν Ἱερουσαλὴμ δακρύων ἀπαλλαγεῖσαν· συμφοραῖς γὰρ αὕτη παρεδόθη μ ὲν πολλαῖς , ἐκείνη δὲ μόνη βιοτὴν ἄλυπον ἔχει καὶ δακρύων ἀπηλλαγμένην. Μαρτυρεῖ δὲ καὶ τὰ ἑξῆς τῇδε τῇ διανοίᾳ· 20Καὶ οὐ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος ἡμέραις καὶ πρεσβύτης ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ· ἔσται γὰρ ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νέος υἱὸς ἑκα τὸν ἐτῶν, ὁ δὲ ἀποθνῄσκων ἁμαρτωλὸς υἱὸς ἑκατὸν ἐτῶν καὶ ἐπικατάρατος ἔσται. Καὶ τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν ἴσην ἔχει τὴν ἡλικίαν· ἀθάνατος γὰρ καὶ ἡ τῶν δικαίων ἀπόλαυσις καὶ τῶν ἡμαρτηκότων ἡ κόλασις. Καὶ τὰς διαφόρους δὲ ἡλικίας ἐκβάλλει, καὶ τὴν ἄωρον καὶ τὴν ἔξωρον, τὸν δὲ τέλειον ἀριθμόν, τουτέστι τὸν ἑκατόν, τέθεικεν ἐπὶ τῆς ἀτελευτήτου ζωῆς. Τὸ δέ· υἱὸς ἑκατὸν ἐτῶν, κατὰ τὸ Ἑβραίων καὶ Σύρων ἰδίωμα τέθεικεν ἀντὶ τοῦ· ἑκατὸν ἐτῶν. 21Καὶ οἰκοδομήσουσιν οἰκίας καὶ αὐτοὶ ἐνοικήσουσι, καὶ φυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ φάγονται τὰ γενήματα αὐτῶν· 22καὶ οὐ μὴ οἰκοδομήσουσι καὶ ἄλλοι ἐνοικήσουσι, καὶ οὐ μὴ φυτεύ<σ>ουσι καὶ ἄλλοι φάγονται. Τροπικῶς ταῦτα κατὰ τὸ οἰκεῖον ἰδίωμα τέθεικεν, οἰκίας καὶ ἀμπελῶνας τὴν ἀρετὴν ὀνομάζων. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος· «Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα αὐτοῦ ἐκ τοῦ πνεύματος αὐτοῦ θερίσει ζωὴν αἰώνιον», καὶ πάλιν· «Ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλο γίαις ἐπ' εὐλογίαις καὶ θερίσει», καὶ ἑτέρωθι· «Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.» Κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου, τὰ ἔργα τῶν πόνων αὐτῶν παλαι<ώ>σουσιν. Πῶς δύναται ταῦτα προσαρμοσθῆναι τοῖς τὸν θνητὸν τοῦτον διοδεύουσι βίον; αἰώνιον γὰρ ὁ προφητικὸς λόγος ὑπισχνεῖται ζωήν. Περὶ γὰρ ἐκείνου τοῦ ξύλου ἔφη ὁ θεός· «Μήποτε ἐκτείνῃ Ἀδὰμ τὴν χεῖρα αὐτοῦ καὶ φάγῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ζήσεται εἰς τὸν αἰῶνα.» Γέγονε δὲ ἡμῖν ξύλον ζωῆς ὁ σωτήριος σταυρός· ἐδέξατο γὰρ οἷόν τινα καρπὸν τὸ ζωοποιὸν σῶμα, εἰς ὃ οἱ τὰς χεῖρας ἐκτείνοντες καὶ τοῦ καρποῦ μεταλαμβάνοντες τὴν αἰώνιον ζῶσι ζωήν. Οἱ ἐκλεκτοί μου 23οὐ κοπιάσουσιν εἰς κενὸν οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν, ὅτι σπέρμα εὐλογημένον ὑπὸ τοῦ θεοῦ εἰσι καὶ τὰ ἔγγονα αὐτῶν μετ' αὐτῶν. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν κυρίῳ.» Τέκνα δὲ καὶ ἔγγονα εὐλογημένα τοὺς διὰ τῆς πίστεως ἀναγεννωμένους καλεῖ, περὶ ὧν καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ |183 b| εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.» Καὶ Γαλάταις δὲ γράφων οὕτως ἔφη· «Τεκνία μου οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.» 24Καὶ ἔσται πρὶν ἢ κεκρᾶξαι αὐτοὺς ἐγὼ ἐπακούσομαι αὐτῶν, ἔτι λαλούντων αὐτῶν ἐρῶ· Τί ἐστιν; Οὕτως ἐν Ἱεροσολύμοις καθειργμένῳ τῷ Παύλῳ ὤφθη ὁ κύριος λέγων· «Θάρσει Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτως σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.» Οὕτως ἐν Φιλίπποις ἔσεισε τὰ θεμέλια τοῦ δεσμωτηρίου καὶ διέλυσε τὰ δεσμά, οὕτω τὸν κορυφαῖον τῶν ἀποστόλων ἐξήγαγε τῆς φυλακῆς, οὕτως ἅπαντα τὸν τῶν ἀποστόλων χορὸν καθειργμένον ἀπέλυσεν. 25Τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα. Ταῦτα καὶ ἤδη προείρηκε, τῆς ἐξ Ἰεσσαὶ ῥάβδου προαγορεύσας τὴν βλάστην. Ὁρῶμεν δὲ τ ῆς προφητείας τὸ τέλος· κατὰ ταὐτὸν γὰρ καὶ ἄρχοντες καὶ ἀρχόμενοι καὶ βασιλεῖς καὶ ὑπήκοοι καὶ σοφοὶ καὶ ἰδιῶται μίαν ἔχουσι τράπεζαν, τὴν διδασκαλίαν τοῦ πνεύ ματος. Ἄρνας γὰρ ἐκάλεσε τοὺς ἐπιεικείᾳ συζῶντας, τοὺς δὲ τοῦ πλείονος ἐφιεμένους λύκους ὠνόμασε, λέοντα δὲ τὸν τῆς βασιλείας ἐπειλημμένον, βοῦς δὲ τοὺς ἱερωσύνης ἠξιωμένους, ἄχυρα δὲ τὴν βουσὶν ἀφωρισμένην τροφήν, τουτέστιν· οὐκέτι σαρκοβόρος ἔσται ὁ λέων ἀλλὰ τῆς τῶν βοῶν τροφῆς μεταλήψεται. Ὄφις δὲ γῆν ὡς ἄρτον. Ταύ την γὰρ αὐτῷ τὴν τροφὴν ἐξ ἀρχῆς ὁ δίκαιος ἀπένειμε δικαστής· «Καὶ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.» Ὄφιν δὲ καλεῖ τὸν κοινὸν τῶν ἀνθρώπων ἐχθρόν· τοῦτον ὑπέβαλε ταῖς ἀρχαίαις ἀραῖς. Δηλοῖ δὲ καὶ τὰ ἑξῆς· Οὐκ ἀδικήσουσιν οὐδὲ λυμανοῦνται ἐπὶ παντὶ τῷ ὄρει μου τῷ ἁγίῳ, λέγει κύριος. Ἐπὶ τῆς γῆς γὰρ ἰλυσπώμενος καὶ ὑπὸ τῶν ἁγίων καταπατούμενος καὶ τῷ ξύλῳ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σταυροῦ συντριβόμενος πάσης ἰσχύος ἐστέρηται. Εἰ δὲ κατὰ τὸ ῥητὸν ἔσεσθαι ταῦ τα προσμένου σιν Ἰουδαῖοι, εἰπάτωσαν ποῖον ὄφελος ἐντεῦθεν γενήσεται· τί γὰρ οἱ ἄνθρωποι κερ δαν οὖσι λεόντων μὲν ἄχυρα ἐσθιόντων, τῶν ὄφεων δὲ τὴν γῆν ποιουμένων τροφήν; Ἀλλὰ τὴν τούτω ν ἄνοιαν καταλιπόντες τῆς ἑρμηνείας ἐχώμεθα. 661Οὕτως λέγει κύριος· Ὁ οὐρανός μοι θρόνος καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον τοῦτον οἶκον οἰκο δομήσετέ μοι; λέγει κύριος, καὶ ποῖος οὗτος τόπος τῆς κατοικήσεώς μου; 2Πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἔστιν ἐμὰ ταῦτα πάντα, λέγει κύριος. Τὴν τοπι κὴν διὰ τούτων ἐκβάλλει λατρείαν καὶ δείκνυσιν ἑαυτὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καὶ τῶν ἄλλων ἁπάντων δημιουρ γὸν καὶ χειροποιήτου ναοῦ μὴ δεόμενον. Διδάσκει δὲ αὐτοὺς καὶ τὸ οἰκεῖον μέ γε θος, ἕως οἷοί τε μαθεῖν ἦσαν· Εἰ τὸν οὐρανὸν θρόνον ἔχω, πηλίκον οἶκον οἰκοδομῆσαί μοι δύνασθε; Οὐ τῆς ὑμετέρας δέομαι συνεργίας ὁ ταῦτα πάντα τεκτη νάμενος λόγῳ καὶ οὐ διὰ τὴν ἐμαυτοῦ χρείαν ἀλλὰ διὰ τὴν τῶν ἀνθρώπων εὐεργεσίαν πεποιηκώς. Εἶτα διδάσκει οἷς ἀρέσκεται· Καὶ ἐπὶ τίνα ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Οἶκον ἀληθινὸν ἐγὼ καὶ ναὸν ἅγιον τὸν κατὰ τὰς ἐμὰς ἐντολὰς πολιτευόμενον ἔχω, τὸν δεδιότα καὶ τρέμοντα τὴν τῶν ἐμῶν προσταγμάτων παράβασιν, τὸν πρᾴῳ τρόπῳ καὶ ταπεινῷ φρονήματι χρώμενον. 3Ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον ὡς ὁ τύπτων ἄνδρα, θυσιάζων πρόβατον ὡς ὁ ἀποκτείνων κύνα, ὁ δὲ ἀναφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, ὁ διδοὺς λίβανον εἰς μνημόσυνον ὡς βλάσφημος. Τὴν νομικὴν λατρείαν διὰ τού των ἐξέβαλε διδάσκων ὡς ἐκείνων χάριν ἐξ ἀρχῆς ταῦτα νενομοθέτηκεν, οὐ ταῖς θυσίαις ἀ ρεσκό μενος ἀλλ' ἐκείνων ὡς ἀσθενῶν προμηθούμενος. Διὰ τοῦτο τὰ συγκεχωρημένα τοῖς ἀπηγο ρευμένοις συγ κ ρ ίνει· τὸ μὲν γὰρ θύειν μόσχον καὶ θυσιάζειν πρόβατον καὶ προσφέρειν σεμίδαλιν καὶ λιβανωτὸν ὑπὸ τοῦ θεοῦ συνεκεχώρητο πάλαι, τὸ δὲ ἄρχειν χειρῶν ἀδίκων καὶ βλασφημίᾳ τὴν γλῶτταν μολύνειν πα ντελῶς ἀπηγόρευτο, ὕες δὲ καὶ κύνες ἀκάθαρτα ἐνενόμιστο. Καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησεν. Οὐ τοῖς ἐμοῖς ἐπεί σθησαν |184 a| λόγοις ἀλλὰ τοῖς οἰκείοις ἠκολούθησαν λογισμοῖς. 4Καί γε ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν καὶ τὰς ἁμαρτίας αὐτῶν ἀνταποδώσω αὐτοῖς, ὅτι ἐκάλεσα αὐτοὺς καὶ οὐχ ὑπήκουσάν μου, <ἐλάλησα καὶ οὐκ ἤκουσάν μου,> καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξαντο. <Ἐπειδή φησιν ἐξελέξαντο> οὐχ ἅπερ ἐβουλόμην ἀλλ' ἅπερ ἠθέλησαν, ἐπάξω κἀγὼ τιμωρίας αὐτοῖς, ἃς αὐτοὶ μὲν οὐ βούλονται ἐγὼ δὲ δικαίως ἐποίσω. Ἐμπαίγματα γὰρ τὰς τιμωρίας ἐκάλεσεν. Ἐκάλεσα γὰρ αὐτοὺς καὶ οὐχ ὑπήκουσάν μου. Οὕτω ταῦ τα κατὰ τῶν ἀντιλεγόντων προαγορεύσας πρὸς τοὺς πεπιστευκότας μεταφέρει τὸν λόγον· 5Ἀκού σατε τὸ ῥῆμα κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ, εἴπατε· Ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσο μένοις, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ ὑμῶν, κἀκεῖνοι αἰσχυνθήσονται. Τοῦτο καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις νομοθετεῖ· «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς.» Διὰ τοῦτο ὁ μακάριος ἔλεγε Παῦλος· «Ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται.» Διὰ τοῦτο ὁ μακάριος Στέφανος τοῖς ἀπιστοῦσι διαλεγόμενος ἔλεγεν· «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε.» Τοῦτο καὶ διὰ τοῦ προφήτου παρεγγυᾷ τῶν ὅλων ὁ κύριος τοῖς τρέμουσι τὸν λόγον αὐτοῦ, ἀδελφοὺς καλεῖν τοὺς μισοῦντας καὶ βδελυσσομένους, ὥστε δοξασθῆναι τοῦ σωτῆρος τὸ ὄνομα. Τοῦτο γάρ φησιν ὑμῖν μὲν εὐ φρο σύνην ἐκείνοις δὲ προξε νήσει αἰσχύνην. Μετὰ ταῦτα τῆς πόλεως τὴν πολιορκίαν προδιαγ ράφει · 6Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις αὐτῷ. Τὴν ἐσομένην κατὰ τὸν καιρὸν τῆς ἁλώσεως ὀλολυγὴν ὁ προφητικὸς δεδήλωκε λόγος καὶ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τιμωρίας διδάσκων τὸ δίκαιον εἶπεν ὅτι τῶν ὅλων ὁ κύριος δίκας πράττεται τοὺς ἀντικειμένους αὐτῷ. Οὕτω δείξας τῶν Ἰουδαίων τὸν ὄλεθρον τὰς τῆς ἐκκλησίας ὠδῖνας θ εσπί ζει καὶ τὸν ἐν ἀκαρεῖ βλαστήσαντα νέον λαόν φησιν· 7Πρὶν τὴν ὠδίνουσαν τεκεῖν καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. Καὶ τὸ σύντομον τῆς γεννήσεως καὶ τὸ ἰσχυρὸν τοῦ γεννηθέντος δεδήλωκεν· διὰ γὰρ τοῦ ἄρρενος τὴν ἰσχὺν παρεδήλωσεν. Εἶτα ἐκπληττόμενός φησιν · 8Τίς ἤκουσε τοιοῦτον ἢ τίς ἑώρακεν οὕτως; Εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ καὶ ἔτεκεν ἔθνος εἰς ἅπαξ; Ὅτι ὤδινε Σιὼν καὶ ἔτεκε τὰ παιδία αὐτῆς. Ἃ διὰ τῶν λόγων ὁ προφήτης ἐδίδαξεν, ἡ πεῖρα δείκνυσιν ἐναργῶς· τοῦ γὰρ μεγάλου δημηγορήσαντος Πέτρου ὁμοῦ τρισχιλίους ἡ χάρις ἐγέννησε καὶ πάλιν ἄλλην διδασκαλίαν προσενεγκόντος πεντακισχιλίους κατὰ ταὐτὸν ἀπεκύησεν· οὗτοι δὲ «πάντες ζηλωταὶ τοῦ νόμου» ἐτύγχανον, ᾗ φησιν ὁ θεῖος Ἰάκωβος. Ταῦτα διὰ τῆς προφητικῆς γλώττης προηγόρευσεν ὁ τῶν ὅλων θεός, τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς δηλοῖ· 9Ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην καὶ ἐγὼ οὐ γεννήσω; Προεῖπόν φησι καὶ οὐ δώσω τῇ προρ ρή σει τὸ τέλος; ἀλλ' ἐγὼ μὲν ταῦτα ποιῶ, οἱ δὲ πονηρίᾳ συζῶντες τοιαύτην ὁρῶντες τὴν θα υματουρ γίαν ἐπιμένουσιν ἀπιστοῦντες. Καὶ οὐκ ἐμνήσθης μου, λέγει κύριος. Οὐκ ἰδοὺ γεννῶσαν καὶ στεῖραν ἐγὼ ἐποίησα; λέγει κύριος ὁ θεός σου. Σὺ πάλαι ἐγέννησας προφήτας, ἡ δὲ ἐξ ἐθνῶν ἐκκλησία στεῖρα ἦν κατ' ἐκεῖνον τὸν καιρόν. Νῦν δὲ τοὐναντίον ἐγένετο· σὺ μὲν γὰρ ἐπαύσω τοῦ τίκτειν, αὕτη δὲ τῆς πολυπαιδίας τὴν χάριν ἐδέξατο. 10Εὐφράνθητε ἅμα Ἱερουσαλὴμ καὶ πανηγυρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες αὐτήν, χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι ἐπενθεῖτε ἐπ' αὐτῇ, 11ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστῶν παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλά σαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. Μετὰ τῶν ἐξ Ἰουδαίων τοὺς ἐξ ἐθνῶν προσκαλεῖται καὶ παρακ ε λεύεται κοινωνῆσαι τοῖς ἐκ τούτων σεσωσμένοις τῆς εὐφροσύνης, ὑποσχόμενος διὰ τούτων παρέ ξειν |184 b| αὐτοῖς παράκλησιν · διὰ γὰρ τῶν ἱερῶν ἀποστόλων οἱ ἐξ ἐθνῶν πεπιστευκότες καὶ ἀνεγεννή θησαν καὶ ἐτρά φ ησαν. 12Ὅτι τάδε λέγει κύριος· Ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν. Ταῦτα περὶ τῶν ἱερῶν ἀποστόλων λέγει, οὓς ἀοιδίμους καὶ πολυθρυλήτους παρὰ πᾶσιν ἀνθρώποις ἀπέφηνεν. Τούτων τὸ γέρας καὶ τὸ κλέος ποταμῷ ἀπείκασε καὶ χειμάρρῳ πλημμυροῦντι. Τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσεται καὶ ἐπὶ γονάτων παρακληθήσεται. Ταύτης Κορινθίοις μετέδωκε τῆς τροφῆς ὁ θεῖος ἀπόστολος λέγων· «Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε.» Καὶ ἀλλαχοῦ δὲ ἔστιν ἀκοῦσαι λεγόντων αὐτῶν· «Ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε.» Οὕτω πάλιν ὁ θεσπέσιος Παῦλος Ἐφεσίους παρα καλεῖ λέγων· «Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ», καὶ Κορινθίοις· «Παρακαλῶ ὑμᾶς ἀδελφοί, ἵνα τὸ αὐτὸ λέγητε πάντες», καὶ Ῥωμαίοις· «Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ», καὶ πάλιν· «Τὰ σπλάγχνα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται, οὐ στενοχω ρεῖσθε ἐν ἡμῖν.» 13Ὡς εἴ τινα μήτηρ αὐτοῦ παρακαλέσει, οὕτως κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε 14καὶ ὄψεσθε, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ. Οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον διὰ τῶν ἐμῶν κηρύκων παντοίαν ὑμῖν προσοίσω παράκλησιν ἀλλὰ κἀν τῇ ἐπουρανίῳ πόλει παντο δαπῆς ὑμᾶς εὐφροσύνης ἐμπλήσω, τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν δωρούμενος. Ταύτην γὰρ παρεδήλωσε, βοτάνῃ φυομένῃ τῶν ὀστῶν ἀπεικάσας τὴν βλάστην. Καὶ γνωσθήσεται ἡ χεὶρ κυρίου τοῖς φοβουμένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν. Καὶ διδάσκων τῆς ἀπειλῆς τὸ εἶδός φησιν· 15Ἰδοὺ κύριος ὡς πῦρ ἥξει καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν αὐτοῦ καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός. Τὴν δευτέραν τοῦ κυρίου παρουσίαν διὰ τούτων προλέγει. Ἔοικε δὲ τούτοις καὶ τὰ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις εἰρημένα· «Ὄψεσθε» γάρ φησι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης μετὰ τῶν ἐκλεκτῶν ἀγγέλων», καὶ πάλιν· «Φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Σκοτισθήσεται γὰρ ὁ ἥλιος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου.» Τὸν μέντοι ἀποσκορακισμὸν «ἐπιτίμησιν» ἐκάλεσαν οἱ Λοιποί. 16Ἐν γὰρ πυρὶ κυρίου κριθήσεται πᾶσα ἡ γῆ καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη· «Ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει», καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ κύριος· «Πᾶς γὰρ πυρὶ ἁλισθήσεται.» Καὶ γὰρ τὸν χρυσὸν τὸν δόκιμόν τε καὶ κίβδηλον τὸ πῦρ δοκιμάζει. Ῥομφαίαν δὲ καλεῖ τὴν τιμωρητικὴν ἐνέργειαν. Οὕτω καὶ ὁ θεῖ ος ἔφη Δαυίδ· «Πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ», καὶ ὁ θεσπέσ ιος Δανιήλ· «Ποταμὸς πυρὸς πορευόμενος εἷλκεν ἔμπροσθεν αὐτοῦ.» Πολλοὶ τραυματίαι ἔσονται ὑπὸ κυρίου 17οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι ἐν τοῖς κήποις καὶ ἐν τοῖς προθύροις· οἱ ἐσθίοντες κρέας ὕειον καὶ τὰ βδελύγματα καὶ τὸν μῦν ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, λέγει κύριος, 18καὶ ἐγὼ τὸν λογισμὸν αὐτῶν καὶ τὰ ἔργα αὐτῶν ἐπίσταμαι καὶ ἀντα ποδώσω αὐτοῖς. Τραυματίας καλεῖ τοὺς τῇ πονηρίᾳ παρα δεδομένους, ἁγνιζομένους δὲ καὶ καθαριζομένους ἐν κήποις καὶ ἐν προθύροις τοὺς ἀπολουσμοῖς κεχρημένους. Διδάσκει δὲ ὡς καὶ τῆς κατὰ νόμον λατρείας εὐθύνας ἀπαιτήσει τοὺς πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως ὑπ' ἐκείνῳ γεγενημένους. Τούτου χάριν καὶ κρεῶν ὑείων καὶ τῶν ἄλλων τῶν κατὰ τὸν νόμον ἀπηγορευμένων ἐμνήσθη. Ἀπαιτῶ δὲ αὐτοὺς τούτων φησὶν εὐθύνας, ἐπει δὴ τὸν σκοπὸν αὐτῶν ἀκριβῶς ἐπίσταμαι· ὡς γὰρ τῶν ἐμῶν προσταγμάτων |185 a| καταφρονοῦντες τὰ νενομοθετημένα παρέβαινον. Ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου, 19καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον. Σαφῶς δεδήλωκεν ὡς οὐ μόνης τῆς Ἰουδαίων ἕνεκα σωτηρίας ἀνέλαβε τὴν τοῦ δούλου μορφὴν ἀλλὰ πᾶσι τοῖς ἔθνεσι τὴν σωτηρίαν ὀρέγων. Σημεῖον δὲ καλεῖ τοῦ σωτηρίου σταυροῦ τὸν τύπον. Καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη· εἰς Θαρσὶς καὶ Φοὺδ καὶ Λοὺδ καὶ Μοσὸχ καὶ Θοβὲλ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόρρω, αἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα οὐδὲ ἑωράκασί μου τὴν δόξαν, καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσιν. Τοῖς ἱεροῖς ἀποστόλοις ὁ δεσπότης ἔφη· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.» Ἐπ' ἐκείνων ἡ προκειμένη προφητεία τὸ πέρας ἐδέξατο· ἐκεῖνοι γὰρ ἅπασι τοῖς ἔθνεσι τὸ θεῖον προσήνεγκαν κήρυγμα. Θαρσὶς δὲ καλεῖ τὴν Καρχηδόνα, τὴν τῆς Λιβύης μητρόπολιν, καὶ Φοὺδ αὐτὸ ἅπαν τῶν Λιβύων τὸ ἔθνος, Λοὺδ δὲ Λυδοὺς καὶ Μοσὸχ Καππαδόκας καὶ Θοβὲλ Ἴβηρας, λέγει δὲ καὶ τὴν Ἑλλάδα καὶ τὰς νήσους καὶ διὰ τούτων πάντα τὰ ἔθνη τὰ μήτε ἐγνωκότα τὸν τῶν ὅλων θεὸν μήτε πεῖραν αὐτοῦ τῆς δυνάμεως ἐσχηκότα. Οὗτοι δέ φησιν ἄξουσι τούτους παρ' ἐμοῦ πεμπόμενοι· 20Ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον τῷ θεῷ μεθ' ἵππων καὶ ἁρμάτων ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδείων εἰς τὴν ἁγίαν πόλιν εἰς Ἱερουσαλήμ, εἶπε κύριος, ὡς ἂν εἰσενέγκοιεν οἱ υἱοὶ Ἰσραὴλ ἐμοὶ τὰς θυσίας αὐτῶν μετὰ ψαλμῶν εἰς τὸν οἶκον κυρίου· 21καὶ ἀπ' αὐτῶν λήψομαί μοι ἱερεῖς καὶ Λευίτας, εἶπε κύριος. Ἀδελφοὺς αὐτῶν καλεῖ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας διὰ τὸ ὁμοφυὲς τῆς φύσεως. Ἦσαν δὲ καὶ ἐν τοῖς ἔθνεσιν Ἰουδαῖοι, καὶ ἐξ ἐθνῶν πλεῖστος ἐπίστευσεν ὅμιλος. Ἐκ τούτων ἦν Κρῖσπος ὁ ἀρχισυνάγωγος καὶ Σωσθένης πάλιν ἀρχισυνάγωγος, οἳ τῆς τοῦ θεσπεσίου Παύλου διδασκαλίας ἀπήλαυσαν, καὶ ἄλλοι δὲ μυρίοι ἔν τε Ἀντιοχίᾳ τῆς Πισιδίας καὶ Ἰκονίῳ καὶ Λύστροις κἀν ταῖς ἄλλαις πόλεσιν, οἳ τὴν σωτήριον διδασκαλίαν ἐδέξαντο. Τούτους οἷόν τινα δῶρα τῷ θεῷ τῶν ὅλων προσήνεγκαν οἱ θεῖοι ἀπόστολοι μετά τινος ἀρρήτου τιμ ῆς . Διὰ γὰρ δὴ τῶν ἵππων καὶ τῶν λαμπηνῶν καὶ τῶν σκιαδείων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἐσομένην τιμὴν π αρεδή λωσεν, ἐπειδὴ ταῦτα παρ' ἀνθρώποις ἐστὶν ἀξιέραστα. Οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη ὅτι «εἰς ἀέρα ἁρπαγησόμεθα». Καὶ καθάπερ πάλαι ὁ Ἰσραὴλ τὰς κατὰ νόμον μοι θυσίας προσέφερεν ᾄδων τε καὶ χορεύων, οὕτω μοι τὰ λογικὰ ταῦτα προσοίσουσι θύματα τῆς ἀληθείας οἱ κήρυκες, ἐξ ὧν κατὰ τόνδε τὸν βίον ἱερέας τε καὶ Λευίτας χειροτονήσω. Τοῦτο δὲ σαφῶς ἔδειξε τήν τε Ἰουδαίων ἀποβολὴν καὶ τῶν ἐθνῶν τὴν κλῆσιν· οὐκέτι γὰρ τοὺς ἐκ Λευὶ τὸ γένος κατάγοντας ἱερέας καλεῖ, ἀλλ' ἐκ τῶν πεπιστευκότων ἐθνῶν τούτους χειροτονεῖ. 22῝Ον τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ μενεῖ ἐναντίον ἐμοῦ, λέγει κύριος, οὕτως στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν. Ὥσπερ ἅπασαν τὴν ὁρωμένην μεταβαλὼν κτίσιν καινὴν ἀπεργάσομαι, οὕτως ὑμῶν ἀείμνηστον φυλάξω τὸ γένος, οὐχ ὑμῶν δὲ μόνων ἀλλὰ καὶ τῶν δι' ὑμῶν πεπιστευκότων. 23 Καὶ ἔσται μῆνα ἐκ μηνὸς καὶ σάββατον ἐκ σαββάτου ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλήμ, εἶπε κύριος. Τὴν ἐν τοῖς οὐρανοῖς διαγράφων πολιτείαν καὶ τῶν διαφόρων μονῶν ἐμνημόνευσε, περὶ ὧν ὁ κύριος εἶπεν· «Πολλαὶ μοναὶ παρὰ τῷ πατρί μου», τουτέστιν ἀξιωμάτων διαφοραί. Τούτους λέγει διὰ παντὸς ἑορτάζοντας ἀγάλλεσθαι καὶ χορεύειν· μῆνα γὰρ καὶ σάββατον τὰς ἑορτὰς ὀνομάζει, ἐν ταύταις γὰρ ἑώρταζον Ἰουδαῖοι· «Τὰς» γὰρ «νεομηνίας ὑμῶν» φησι «καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι.» Περὶ ταύτης τῆς εὐφροσύνης καὶ ὁ μακάριος ἔφη Δαυὶδ τῆς ἐπουρανίου μεμνημένος Ἱερουσαλήμ· |185 b| «Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί», καί· «Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.» 24 Καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. Ἔδειξε κἀν τοῖς θείοις εὐαγγελίοις ὡς καὶ ὁ Λάζαρος ἑώρα τοῦ πλουσίου τὴν κόλασιν, κἀκεῖνος τοῦ Λαζάρου τὴν εὐφροσύνην. Διδάσκει τοίνυν κἀνταῦθα ὡς οἱ τῆς εὐφροσύνης ἐκείνης ἀπολαύοντες τοὺς κολαζομένους ὁρῶσι τίνοντας ὧν ἐπλημμέλησαν δίκας, διαφερόντως δὲ τοὺς αὐτὸν τὸν τῆς οἰκουμένης δεσπότην τῷ ξύλῳ προσηλῶσαι τετολμηκότας. Οὕτω καὶ διὰ τοῦ θεσπεσίου Ζαχαρίου φησίν· «Ὄψονταί με σὺν ᾧ ἐξεκέντησαν», τουτέστι μεθ' ο ὗ προσήλωσαν σώματος· οὐ γὰρ ἐμὲ ἐξεκέντησαν ἀλλ' ὃ ἐνδέδυμαι σῶμα. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ἱκανὸν ὁρᾶν πάσῃ σαρκί. Τὸ διηνεκὲς τῆς τιμωρίας διὰ τούτων δεδήλωκεν· καὶ γὰρ τὸ πῦρ ἄσβεστον καὶ ὁ σκώληξ ἀτελεύτητος. Ταύτην ἠπείλησεν ἐκείνοις τὴν τιμωρίαν, οὐκ ἐκείνοις δὲ μόνοις ἀλλὰ καὶ τοῖς τοὺς θείους αὐτοῦ παραβαίνουσι νόμους. Ινα τοί νυν μὴ ταύτης αὐτοῖς κοινωνήσωμεν τῆς τιμωρίας, φύγωμεν τῆς παρανομίας τὴν κοινωνίαν· οὕτω γὰρ τοῦ χοροῦ τῶν εὐφραινομένων ἐσόμεθα. Ταῦτα κατὰ τὸ μέτρον τῆς δοθείσης ἡμῖν γνώσεως ἡρ μηνεύσ αμεν καὶ τὸ προφητικὸν ἀνεπτύξαμεν γράμμα. Ὑμεῖς δὲ οἱ ἐντυγχάνοντες, εἰ μὲν εὕροιτέ τι τῶν πό νων ἄξιον, τὸν τούτων χορηγὸν ἀνυμνήσατε· εἰ δὲ τῆς ὑποσχέσεως ἀποδέουσαν τὴν σαφήνειαν, τὸν σκοπὸν ἀποδεξάμενοι δότε συγγνώμην καὶ τὸ εὑρισκόμενον συλλέγοντες κέρδος ἱκετείαν τῶν πόνων ἀμείψασθε, ἵνα σὺν ὑμῖν καὶ ἡμεῖς τὴν ἀξιάγαστον ἐκείνην καὶ τριπόθητον ἴδωμεν πόλιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ πνεύματι ν ῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.